ΔΗΜΟΣ Ι.Π. ΜΕΣΟΛΟΓΓΙΟΥ
ΒΑΛΒΕΙΟΣ
ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΤΡΟΠΟΣ ΑΠΟΚΤΗΣΗΣ:
ΔΩΡΕΑ
ΠΑΠΑΝΑΓΙΚΗΣ ΣΧΟΛΗΣ
ΗΜΕΡ. ΕΙΣΑΓΩΓΗΣ:
22-01-13
ΑΡΙΘΜΟΣ ΕΙΣΑΓΩΓΗΣ:
22.953
ΑΡΙΘ. ΤΑΞΙΝΟΜΗΣΗΣ:
938 ΟΜΗ

Α. 6. 22.953
5984

# ΑΙ ΚΑΘ' ΟΜΗΡΟΝ ΑΡΧΑΙΟΤΗΤΕΣ
ΚΑΙ
# ΑΙ ΚΕΡΚΥΡΑΪΚΑΙ ΑΡΧΑΙΟΛΟΓΙΑΙ·

Ἐκ τῆς Λατινίδος ἐπὶ τὴν Ἑλληνίδα φωνὴν
Ἀντιμετακληθεῖσαι ὑπὸ Ε. Α. τοῦ Β'.
ΠΑΡΑ ΔΕ ΤΩΝ ΖΩΣΙΜΑΙΩΝ ΑΥΤΑΔΕΛΦΩΝ
Α. καὶ Ν. καὶ Ζ. καὶ Μ·
Φιλοτίμῳ δαπάνῃ τύποις ἐκδοθεῖσαι
ἐπὶ τῷ διανεμηθῆναι δωρεὰν τοῖς Φιλολόγοις,
Καὶ
Τῇ Ἀρτισυστάτῳ Αἰσίῳ τε καὶ Ὀλβιοδαίμονι
ΕΠΤΑΝΗΣΩι ΙΩΝΙΚΗι ΠΟΛΙΤΟΚΡΑΤΙΑι
Ὑπερήδιστα καὶ Παγευγνωμόνως ἀνατιθέμεναι·

Δι' ἐπιμελοῦς ἐπιστασίας τοῦ πανοσιολογιωτάτου Ἱερομονάχου
Ἀγαθαγγέλου Ἀδριανοπολίτου.

ΕΝ ΜΟΣΧΑ.
Ἐν τῷ τῆς Κοινότητος Τυπογραφείῳ παρὰ
Λιούμπη, Γαρίῳ καὶ Ποπόβ.
Αὠδ 1804.

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΒΙΒΛΙΟΘΗΚΗ ... ΔΗΜΟΤΙΚΗ

*Съ дозволенія Университетскаго Цензора.*

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

ΤΗι ΑΡΤΙΩΣ ΣΥΓΚΡΟΤΗΘΕΙΣΗι

# ΕΠΤΑΝΗΣΩι ΙΩΝΙΔΙ ΠΟΛΙΤΟΚΡΑΤΙΑι

Η ΤΩΝ ΕΛΛΙΝΙΚΩΝ ΑΡΧΑΙΟΤΗΤΩΝ

## Α Ν Α Θ Ε Σ Ι Σ

„Ἑπτακρότῳ Δυνάμει, νεαρὸν ῥίζωμα λαβούσῃ,
„ Τετρὰς ὁμαιμώνων ὕββαλ' ἔθη τὰ πάλαι·
„Φοίβασε νωλεμέως γὰρ ζήσεσθ' ἑβδομόνησον
„ κάρτος, Ζωσιμάδων τετταραδελφοσύνη·

Α. Ν. Ζ. Μ.

„Ναὶ μὰ τὸν ἡμετέρᾳ ψυχᾷ τετρακτὺν Θέντα,
„Αἰὲν ζησομένης φύσεως, ῥιζάματ' ἔχουσαν!

Αἴθ' ὤφελον! Ε. Α. ὁ Β.

# ΠΙΝΑΞ

## Τῶν Ἐν ταῖς Ὁμηρικαῖς Ἀρχαιότησιν Ἀναφερομένων Συγγραφέων.

---

Ἁρποκρατίων.
Αἰλιανός.
Αἰσχύλος.
Ἄλεξις.
Ἀμμιανός.
Ἀναξιμένης Λαμψακηνός.
Ἀνωνύμου Ἠθικά.
Ἀντιφάνης.
Ἀνθολογία.
Ἀπολλώνιος.
Ἀπίων Γραμματικός.
Ἀπουλήϊος.
Ἀρχίλοχος.
Ἀριστείδης.
Ἀριστοτέλης.
Ἀριστοφάνης.
Ἀρνόβιος.
Ἀρριανός.
Ἀρτεμίδωρος.
Ἀρτίμαχος ὁ Εὐβοϊκός.
Ἀθήναιος.
Αὐγουστῖνος.
Βίων.
Βιργίλιος.
Βιτρούβιος.
Βουρχάρδου ψηφίσματα.
Γαληνός.
Γέλλιος.
Γραφὴ ἡ Θεία.
Δημήτριος.
Δημόκριτος.
Δημοσθένης.
Διόδωρος Σικελιώτης.
Διογενιανός.
Διονύσιος Ἁλικαρνασσεύς.
Διονύσιος Θρᾷξ.

Δονάτος.
Ἑλλάνικος.
Ἐμπεδοκλῆς.
Ἔννιος.
Ἐπίχαρμος.
Ἐτυμολογικός.
Εὐριπίδης.
Εὐσέβιος.
Εὐστάθιος.
Ζηνόβιος.
Ἡρωδιανός.
Ἡρωδιανὸς ὁ Γραμματικός.
Ἡρόδοτος.
Ἡσίοδος.
Ἡσύχιος.
Θεόκριτος.
Θεόφραστος.
Θεόπομπος.
Θουκυδίδης.
Ἱερώνυμος.
Ἴστρος.
Ἰουστῖνος.
Ἰουβενάλιος.
Καλλισθένης.
Κάτων.
Κατύλλος.
Κικέρων.
Κλαύδιος Σατόρνιος.
Κλέαρχος.
Κλείδαμος.
Κλήμης Ἀλεξανδρεύς.
Κόιλιος Αὐρηλιανός.
Κολουμέλλας.
Κούρτιος.
Κόϊντος Σμυρναῖος.
Λακτάντιος.
Λευκανός.
Λίβιος.
Λουκιανός.
Λυσίας.
Μακρόβιος.
Μαρτιάλιος.
Μαρτιανὸς Νομοδιδάσκαλος.
Μελάνθης.
Μένανδρος.
Μινούτιος Φῆλιξ.
Μοδεστῖνος Νομοδιδ.
Μουσαῖος.

Ναζιανζηνός.
Νόμος Λογγοβάρδων.
Νόννος.
Ξενοφῶν.
Ὀρφεύς.
Οὐαλέριος Φλάκκος.
Οὐάῤῥων.
Οὐλπιανός.
Ουαλέριος Μάξιμος.
Ὀβίδιος.
Παυσανίας.
Πίνδαρος.
Παλαίφατος.
Πλάτων.
Πέρσιος.
Πλαῦτος.
Πετρόνιος.
Πλίνιος.
Πευκέρος.
Πλούταρχος.
Πολυδεύκης.
Πολύβιος.
Πορφύριος.
Προκόπιος.

Προμαχίδης Ἡρακλειώτης.
Σαλλούστιος.
Σαπφώ.
Σχολιασταί, ὁ τοῦ Αἰσχύλου,
——— τοῦ Ἀριστοφάνους;
——— τοῦ Εὐριπίδους,
——— τοῦ Ἀπολλωνίου,
——— τοῦ Ἡσιόδου,
——— τοῦ Ὁμήρου,
——— τοῦ Πινδάρου,
——— τοῦ Θεοκρίτου.
Σενέκας.
Σέρβιος.
Σῆξτος Ῥοῦφος.
Σίλιος.
Στάτιος.
Στράβων.
Στωβαῖος.
Σωζόμενος.
Σουετόνιος.
Σουΐδας.
Συνέσιος.
Σύνοδ. Ἀνητηνσία.
Σύνοδ: Βρακκαρηνσία.

Τάκιτος.
Τερέντιος.
Τερτυλλιανός.
Τιβεριανός.
Τιβοῦλλος.
Τίμαιος ὁ Ταυρομενίτης.
Τίρνεβος.
Ὑγῖνος.

Φανίας Ἐρέσιος.
Φῆστος.
Φιλήμων.
Φιλόστρατος.
Φιλόχορος.
Φίλων.
Φωκυλίδης.
Ψευδο - Ἀπουλήϊος περὶ χόρτων.

# ΠΙΝΑΞ
## Τῶν Κεφαλαίων.

### ΒΙΒΛ: Α΄.


Κεφάλ: Α΄. Περὶ Θεῶν τῶν παρὰ τοῖς παλαιοῖς Ἕλλησιν.
Κεφ: Β΄. Περὶ τȣ̃ ἑκάςῳ τῶν Θεῶν ἐπανήκοντος ἔργȣ.
Κεφ: Γ΄. Περὶ τόπων ἱερῶν.
Κεφ: Δ΄. Περὶ τῶν Εἰδώλων τε καὶ Ξοάνων.
Κεφ: Ε΄. Περὶ τῶν Θεοῖς ἱεροπολȣ́ντων
Κεφ: ϛ΄. Περὶ τῶν ἁγνισμῶν.
Κεφ: Ζ΄. Περὶ Ἱκετηριῶν καὶ Εὐχῶν.
Κεφ: Η΄. Περὶ Σπονδῶν, καὶ Θυμιάσεων, καὶ Οὐλοχυτῶν.
Κεφ: Θ΄. Περὶ τῶν σφαγιασμῶν.
Κεφ: Ι΄. Περὶ τῆς ἐν τῷ τὰ ἱερὰ τελεσιȣργεῖν διατυπώσεως.
Κεφ: ΙΑ΄. Περὶ τῶν ἀναθημάτων.
Κεφ: ΙΒ΄. Περὶ τȣ̃ ἐκθειασμȣ̃ τῶν τελευτώντων Ἡρώων, καὶ δὴ καὶ πάντων τῶν ἐν ᾅδȣ.
Κεφ: ΙΓ΄. Περὶ τῆς ἐν τῷ ἐνταφιάζειν ὁσιότητος.
Κεφ: ΙΔ΄. Περὶ τῆς τȣ̃ Νεκρȣ̃ κατακαύσεως.
Κεφ: ΙΕ΄. Περὶ τȣ̃ ἐνταφιασμȣ̃.
Κεφ: Ιϛ΄. Περὶ τῶν Μαντειῶν.
Κεφ: ΙΖ΄. Περὶ Μαγικῶν τεχνῶν.

# ΠΙΝΑΞ.

## ΒΙΒΛ: Β΄.


Κεφ: Α΄. Περὶ τῆς τοῦ Κράτους καταστάσεως.

Κεφ: Β΄. Περὶ τῆς τοῦ Βασιλέως δυνάμεως, καὶ τοῦ ἔργου τοῦ αὐτῷ ἐπανήκοντος.

Κεφ: Γ΄. Περὶ τῆς Βασιλικῆς Κυριότητος.

Κεφ: Δ΄. Περὶ τῶν Βασιλικῶν παρασήμων.

Κεφ: Ε΄. Περὶ τῶν τοῖς Βασιλεῦσι καθυπουργέντων.

Κεφ: ϛ΄. Περὶ τῶν κατ᾽ Ἐκκλησίας ἀγορῶν, ἤτοι Βουλῶν.

Κεφ: Ζ΄. Περὶ Δικαστιῶν.

Κεφ: Η΄. Περὶ Φόνων.

Κεφ: Θ΄. Περὶ κλοπῶν τε καὶ ἁρπαγῶν.

Κεφ: Ι΄. Περὶ ὠνήσεών τε καὶ πράσεων.

Κεφ: ΙΑ΄. Περὶ Δωρεῶν.

Κεφ: ΙΒ΄. Περὶ Κληρονομικῶν.

Κεφ: ΙΓ΄. Περὶ Γάμων.

Κεφ: ΙΔ΄. Περὶ τῆς τελετῆς τῶν Γάμων.

Κεφ: ΙΕ΄. Περὶ Γάμων δευτέρων.

Κεφ: Ιϛ΄. Περὶ Μοιχείας.

Κεφ: ΙΖ΄. Περὶ Παλλακῶν.

Κεφ: ΙΗ΄. Περὶ τῆς ἀγωγῆς τῶν τέκνων.

Κεφ: ΙΘ΄. Περὶ τῶν καθηκόντων τοῖς τέκνοις πρὸς τοὺς Γεννήτορας.

Κεφ: Κ΄. Περὶ Δουλείας.

# ΠΙΝΑΞ.

## ΒΙΒΛ: Γ'.


Κεφ: Α'. Περὶ ἐδωδῆς τῶν πάλαι Ἑλλήνων.

Κεφ: Β'. Περὶ τῆς Πόσεως.

Κεφ: Γ'. Περὶ καιροῦ σιτήσεως.

Κεφ: Δ'. Περὶ Συμποσίων.

Κεφ: Ε'. Περὶ τῶν ἐν Συμποσίοις διατυπώσεων.

Κεφ: Ϛ'. Περὶ Ἐσθῆτος.

Κεφ: Ζ'. Περὶ περιβολαίων Κεφαλῆς, καὶ Ποδῶν, καὶ ἑτέρων τοῦ σώματος ἐπικοσμημάτων.

Κεφ: Η'. Περὶ τῶν Κλινῶν.

Κεφ: Θ'. Περὶ Λούσεως καὶ Χρίσεως.

Κεφ: Ι'. Περὶ Κομμωτικῆς.

Κεφ: ΙΑ'. Περὶ Οἴκου

Κεφ: ΙΒ'. Περὶ τοῦ τῆς Ξενοδοχίας δικαίου.

Κεφ: ΙΓ'. Περὶ τοῦ τύπου τῆς Ξενοδοχίας.

Κεφ: ΙΔ'. Περὶ καθικετεύσεως.

Κεφ: ΙΕ'. Περὶ τοῦ τρόπου τοῦ ἐν τοῖς πένθεσι.


## ΒΙΒΛ: Δ'.


Κεφ: Α'. Περὶ Γεωργίας.

Κεφ: Β'. Περὶ Κυνηγετικῆς.

Κεφ: Γ'. Περὶ γυναικείων ἔργων καὶ ἐνασχολήσεως.

Κεφ: Δ΄. Περὶ τῆς Μȣσικῆς.
Κεφ: Ε΄. Περὶ Ὀρχήσεως.
Κεφ: ς΄. Περὶ Γυμνασίων παντοίων.
Κεφ: Ζ΄. Περὶ Πολέμȣ.
Κεφ: Η΄. Περὶ Κόρυθος, καὶ Θώρακος, καὶ Κνημίδων, καὶ Ἀσπίδος.
Κεφ: Θ΄. Περὶ Δόρατος, ϰ ξίφȣς, ϰ τόξȣ ϰ ἄλλων ὅπλων.
Κεφ: Ι΄. Περὶ τῆς ὕλης τῶν ὅπλων, καὶ τȣ̃ εἴδȣς αὐτῶν.
Κεφ: ΙΑ΄. Περὶ τῶν ἵππων.
Κεφ: ΙΒ΄. Περὶ Νηῶν.
Κεφ: ΙΓ΄. Περὶ Πολιορκήσεως.
Κεφ: ΙΔ. Περὶ τῆς Μάχης.
Κεφ: ΙΕ΄. Περὶ τῶν ἐν τῇ μάχῃ τραυματιῶν.
Κεφ: Ις΄. Περὶ τῶν ἐν πολέμοις λαφύρων.
Κεφ: ΙΖ΄. Περὶ Εἰρήνης, καὶ περὶ Συνθηκῶν.



# ΟΜΗΡΙΚΩΝ ΑΡΧΑΙΟΤΗΤΩΝ

## ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

### ΚΕΦΑΛ. Α'.

### Περὶ Θεῶν τῶν παρὰ τοῖς παλαιοῖς Ἕλλησιν.

Ἅπας ὁ βίος ἀνθρώποις περὶ πράγματα ἐστὶν ἀσχολούμενος, τὰ μὲν ἱερὰ, τὰ δὲ βέβηλα: Προτερεῖ δ' ἐκεῖνα τῇ τάξει, αὐτῆς τῆς φύσεως ἀγούσης τε καὶ ἐκδιδασκούσης ἀρχὴν τῶν πάντων Θεὸν ὑπάρχειν, καὶ αὐτὸν εἶναι θεραπευτέον ὑπὲρ ἅπαντα. Τῇ αὐτῇ τοίνυν τάξει καὶ ἡμᾶς στείχειν εἰκὸς τὰ ἀρχαῖα παρ' Ἕλλησιν ἔθιμα, ἀναγράφοντας: ἐπεὶ οὐδέν τι κἀκείνοις ἐνομίζετο, τοῦ περὶ τὸ θεῖον σεβάσματος πρότερον, οὐδ' ἀρχαιότερον: οἷς τοσαύτη ἦν ἡ περὶ τοῦτο περιεργία, ὥστε καὶ εἰς ποικίλας, καὶ ἀριθμὸν μονονουχὶ νικώσας δεισιδαιμονίας ἐντεῦθεν αὐτοὺς διασπασθῆναι: γὰρ τῆς ἀθεότητος ἀτόπημα ἐκκλίνειν ὡς πορρωτάτω σπουδάζοντες, εἰς πολυθείαν περιπεπτώκασι, μέτρον μὴ ἔχουσαν· ὡς Ἀθηναίους δεισιδαιμονεστέρους τῶν ἄλλων γεγονότας, καὶ Θεῶν ἀγνώστων τινῶν τὴν θεραπείαν δημοσίᾳ παρὰ

σφίσι κατεπαγγεῖλαϑαι· ἢ πάρεςιν ἰδεῖν παρὰ Παυσανίᾳ ἐν τοῖς Ἀττικοῖς Κεφαλ. ΙΔ'. καὶ παρὰ Φιλοςράτῳ, ἐν Βιβλ. ς. εἰς τὸν Ἀπολλωνίȣ βίον, Κεφ. Γ'.

Ὅτι μὲν ȣ̂ν καὶ αὐτοὶ Ἕλληνες ἀνέκαθεν, τῇ τῶν ἄλλων ἐθνῶν ἐξαπάτῃ διετέλεσαν συγχεθέντες, τῶν ἐν τάξει Δαιμονίων τὰ τȣ̂ Κόσμȣ μέρη σεβαζομένων τὰ ἐπισημότερα, μαρτυρεῖ Πλάτων ἐν Κρατύλῳ. „Φαίνονταί μοι (φάσκων), οἱ πρῶτοι τῶν „ἀνθρώπων τῶν περὶ τὴν Ἑλλάδα, τȣ́τȣς μόνȣς Θεȣ̀ς ἡ„γεῖσθαι, ȣ̀ς περ νῦν πολλοὶ τῶν βαρβάρων· Ἥλιον, καὶ Σε„λήνην, καὶ Γῆν καὶ Ἄςρα, καὶ Οὐρανόν„ ὅθεν καὶ τὸ πρῶτον αὐτȣ̀ς ἐκεῖνα Θεȣ̀ς οἴεται ὀνομάσαι, ἐπεὶ κατεῖδον πάντα ἀεὶ ἰόντα δρόμῳ καὶ θέοντα. Τὴν δ' αὐτὴν καὶ Πλȣ́ταρχος (ἐν Α'. Βίβλ. περὶ τῶν Ἀρεσκόντ. Τοῖς Φιλοσοφ. Κεφ. ς.) ἐτυμολογίαν ἐγκρίνει, ἐκ τῆς αὐτῆς καὶ οὗτος πηγῆς τȣ̀ς Ἑλλήνων Θεȣ̀ς ἀρυσάμενος. Μετενήνεκται δ' ȣ̂ν ἔπειτα ἡ τοιάδε ἀποθέωσις, ἐπὶ τȣ̀ς ἀρετῇ τε καὶ κατορθώμασιν ἐν ἀνθρώποις ἀγλαϊσθέντας, ȣ̀ς τελευτήσαντας, ἐπὶ διαφέρȣσι τȣ̂ Παντὸς μέρεσι, καὶ ταῖς ἐν τῷ βίῳ χρείαις οἱονεὶ ἐφόρȣς ἐπέςησαν· Ἀλλὰ γὰρ Ἡρόδοτος (ἐν Εὐτέρπῃ Κεφ. ΝΒ'.) παρὰ τῶν ἐν Δωδώνῃ Ἱεροπόλων παρειληφέναι διέξεισι, Πελασγȣ̀ς τὸ πάλαι, εὐχάς τε δὴ καὶ θυηλὰς τοῖς θεοῖς προσαγηοχέναι, μηδὲν αὐτοῖς ἐπιτιθέντας ἐπώνυμον, ἅτε μήπω τι περὶ αὐτῶν προακηκοότας· „Θεȣ̀ς δὲ ȣ̂τως „ἀποκαλέσαντας, ὅτι κόσμῳ θέντες τὰ πάντα πρήγμα„τα, καὶ πάσας νομὰς εἶχον„ Ἐντεῦθεν χρόνȣ μακρȣ̂ προϊόντος, τὰ Θεῶν ὀνόματα ἐξ Αἰγύπτȣ προῆλθεν· ἅπερ ἀπὸ τȣ̂ Μαντείȣ παραλαβόντες οἱ Δωδωναῖοι, προσεχρήσαντο ὕςερον αὐτοὶ, διὰ τȣ́των τȣ̀ς Θεȣ̀ς ἐπικαλȣ́μενοι, καὶ τοῖς ἄλλοις Ἕλλησι παραδεδωκότες. Ἀλλ' ὅθεν δὴ τῶν Θεῶν ἕκαςοι ὑπῆρχον, καὶ εἴπερ ἐς ἀεὶ διετέλȣν περιόντες οἱ σύμπαντες, καὶ ὑφ' οἵαν ἄρα μορφήν τε καὶ εἶδος διετέλȣν ὑπάρχοντες, ἐν τοῖς

πρώηντε ϰ χθὲς ἀγνοȣμένοις, ὡς εἰπεῖν λόγῳ ϰαὶ αὐτὸς ὑποτίθησιν· ἐπεὶ ȣ̓κ ἐπέκεινα τῶν Ὁμήρȣ χρόνων, τετρακοσίων ἤδη πρὸ αὐτȣ̃ παραῤῥευσάντων, Ὅμηρον αὐτὸν ἡγεῖται, ϰαὶ Ἡσίοδον γενέσθαι, τȣ̀ς πρώτȣς Θεῶν γενεαλογίαν εἰσαγαγόντας παῤ Ἕλλησι, ϰαὶ Θεȣ̀ς προσωνομακότας, τιμάς τε αὐτοῖς προσνείμαντας, ϰαὶ τὰς τεχνῶν ἀποδόντας ἐπινοίας ϰαὶ ἐξευρέσεις, ϰ δὴ ϰαὶ τὰς μορφὰς τὰς αὐτῶν εἰκονίσαντας. „Οὗτοι δ' εἰσὶ (φησὶν αὐτόθι Κεφ. ΝΓ'.) οἱ ποιή„σαντες Θεογονίαν Ἕλλησι, ϰ τοῖσι Θεοῖσι τὰς ἐπωνυμί„ας ἀποδόντες, ϰ τιμάς τε ϰαὶ τέχνας διελόντες, ϰαὶ εἴδος „αὐτῶν σημήναντες·„ ȣ̓δὴ καί τοιγε μὴ ἐκτὸς ἀμφισβητήσεως ὄντος, διὰ τὰ περὶ Μȣσαίȣ τε ϰ Ὀρφέως, ϰαὶ ἄλλων ἀρχαιοτέρων παραδοθέντα· ἀλλ' ἐκεῖνο πάσης ἐςὶν ἔξω ἀντιλογίας, ὅτι ἡ πάλαι τῶν Ἑλλήνων Θεολογία, τοῖς ἐκείνων ὑπομνήμασι μάλιςα καθιέρωται. Καὶ τοίνυν Ὅμηρος ὁ τὰ πρῶτα φέρων ἐν Ποιηταῖς, αὐτὸς ϰαὶ ἡμῖν ἡγεμονεύσει δι' ὅλȣ τȣ̃ παρόντος Συγγράμματος.

Μακρὸν μὲν ἂν εἴη τȣ̀ς Θεȣ̀ς ἅπαντας, ȣ̔̀ς Ὅμηρος πολλαχȣ̃ τῆς Ποιήσεως διειλημμένως καταλέγει, εἰς ἓν ὧδε συνάψαι, ϰ τοῖς ἰδίοις ἕκαςον ἐπικοσμήμασι περιγράψαι. ἅλις ἕξει κεφαλαιωδῶς, ϰαὶ ἐν γένει τὰ τοιαῦτα ἐκτάξασθαι· Τὴν δέ τοι τάξιν αὐτὸς ἡμῖν ὁ Ποιητὴς ὑποβάλλει, (Ἰλιάδ. Γ. ϛ. 275. κξ.) ἐν οἷς Ἀγαμέμνων ἐν τῷ τὰ ὅρκια συνάγειν χεῖρας ἀναχών, ϰαὶ Θεοῖς εὐχόμενος, μετὰ Ζῆνα κύδιςον, μέγιςον, Ἠέλιον τ' ἐπικαλεῖται, ϰαὶ Ποταμȣ̀ς, ϰαὶ Γαῖαν, ϰαὶ τȣ̀ς τοῖς ἀπελθȣ̃σι τȣ̃ βίȣ τὰς ποινὰς ἐπιβάλλοντας· Οὕτως ἀμέλει κατὰ τὰ διαφέροντα τȣ̃ παντὸς μέρη, ἃ ἐτύγχανον ἐκθειάζοντες, οἱ μὲν τοῖς Ἕλλησιν ὑπῆρχον Θεοὶ ȣ̓ράνιοι, οἱ δὲ ὑδάτιοι, οἱ δὲ χθόνιοι, εἶ δὲ τελευταῖον ϰαὶ ὑποχθόνιοι.

Δυωκαίδεκα δ' ἐν τȣ́τοις οἱ πρωτεύοντες ἦσαν, ȣ̔̀ς Θεȣ̀ς μεγάλȣς ἐκάλȣν, ϰαὶ ἐξ Αἰγύπτȣ μετενεχθέντας ἐθεράπευον, ὡς ἡγεῖτο Ἡρόδοτος (ἐν Εὐτέρπῃ Κεφ. Δ'.) „Δώδεκά τε Θεῶν ἐπωνυ„μίας ἔλεγον πρώτȣς Αἰγυπτίȣς νομίσαι, ϰαὶ Ἕλληνας

„παρὰ σφέων ἀναλαβεῖν·„ Τέτες ἀρχαῖος τις Ποιητής, ἐν τοῖς δὲ τοῖς ἔπεσι περιείληφε.

„Δώδεκα εἰσὶ Θεοὶ μεγάλοι: Ζεύς, Ἥρα, Ποσειδὼν,
„ Δημήτηρ, Ἑρμῆς, Ἑςία, Κυλλοπόδων,
„Φοῖβος, Ἐνυάλιός τ' Ἄρης, Παλλὰς τ', Ἀφροδίτη,
„ Ἄρτεμις: εἰσὶ θεοὶ δώδεκα οἱ μεγάλοι.„

Ὁ δὲ Ἔννιος παρὰ Ἀπυληΐῳ, ἐντῷ περὶ τῦ Σωκράτυς Δαιμονίυ (ὡς Ἐσσέλιος ἀναφέρει ἐν τοῖς Ἐννίυ ἀποσπάσμασι:) Λατινιςὶ ὕτως ἐξέθετο, ὡς καὶ τὺς ἓξ τῶν Θεῶν, ἀπὸ τῶν Ἰσαρίθμων θεαινῶν διαςέλλεσθαι:

Iuno, Vefta, Minerva, Ceres, Diana, Venus,
Ἥρα, Ἑςία, Ἀθήνη, Δημήτηρ, Ἄρτεμις, Παφίη.
Mars, Mercurius, Jovis, Neptunus, Vulcanus, Apollo,
Ἄρης, Ἑρμῆς, Ζεύς, Ποσειδὼν, Ἥφαιςος, Ἀπόλλων.

Καὶ γάρ τοι καὶ παρὰ τοῖς Ῥωμαίοις ὡσαύτως ὁ τῶν Θεῶν χορὸς ὕτος ὁ δωδεκάριθμος ἐθρησκεύετο, καθάπερ ὁ Ἀλικαρνασσεὺς ἱςορεῖ Διονύσιος (ἐν τοῖς περὶ τῆς Ῥωμαϊκ. Ἀρχαιολ. Βιβλ. Ζ'.) Ῥωμαίων πομπὴν δημοτελῆ περιγράφων· Ἔνθα δὴ καὶ τὺς εἰρημένυς, Θεῶν ἑτέρων, τῶν μὲν παλαιοτέρων, τῶν δὲ Νεωτέρων, μέσυς ἐκτάσσει. Καὶ παλαιτάτυς μὲν ὑποτίθησι Κρόνον, καὶ Ῥέαν, καὶ Θέμιν, καὶ Λητὼ, καὶ τὰς Μοίρας, καὶ τὴν Μνημοσύνην, καὶ ἄλλυς. Ἐκ τύτων δὲ προελθεῖν (φησὶ) Ζῆνα τε, καὶ Ἥραν, καὶ Ἀθηνᾶν, καὶ Ποσειδῶνα, καὶ τὺς ἐκ τῦ χορῦ τῦ δωδεκαρίθμυ ἐκείνυ λοιπύς· Μεθ' ὓς καὶ τὺς ἐκ τύτων φῦντας, ἐξ ὗπερ Ζεὺς ἔχε τὸ Κράτος· Μετὰ τύτυς δ' ἕπεσθαι Περσεφόνην, καὶ Εἰλείθειαν, καὶ τὰς Νύμφας, καὶ τὰς Μύσας, καὶ τὰς Ὥρας, καὶ τὰς Χάριτας, καὶ τὸν Πατέρα Διόνυσον, καὶ τὺς ἄλλυς τῶν Ἡμιθέων, ὧνπερ αἱ ψυχαὶ, τὰ θνητὰ σώματα ἀποθέμεναι, εἰς Οὐρανὺς ἀνῆλ-

θον, καὶ τιμῶν ἠξιῶσθαι παρίσαντας θειοτέρων, οἷος περ Ἡρακλῆς ἐγένετο, καὶ Ἀσκληπιὸς, καὶ οἱ Διόσκουροι, καὶ Ἑλένη, καὶ ὁ Πᾶν, καὶ ἄλλοι ἀριθμὸν ὑπερπαίοντες. Κἀντεῦθεν ἄρα τὸ παρὰ τῷ Λουκιανῷ ψήφισμα κατὰ τῶν Θεῶν, οὓς, (ἐξαιρουμένων τῶν δώδεκα, καὶ τῶν πρὸ τούτων τῷ Κρόνῳ συγχρόνων) ἐξ οὐρανοῦ ἔδοξεν εἶναι ἀπελατέους.

Ἀλλὰ τὸ Θεῶν γένος τόδε τὸ τελευταῖον, Ἥρωας οἱ Παλαιοὶ ἀπεκάλουν, καὶ τῇ τοιᾷδε ἐπωνυμίᾳ, πάντες μονονουχὶ δῆμοι οἱ ἀν' Ἑλλάδα, τοὺς Ἀρχηγοὺς αὐτῶν ἐπικλείζοντες ὕστερον ἐσεβάζοντο, διαφερόντως δὲ τοὺς Βασιλεῖς, καὶ Ἀμύντορας, καὶ Προμάχους· καὶ ὅλως τοὺς κατ' ἐξοχὴν ἐν σφίσιν ἕκαστοι διαπρέποντας, ἄνδρας τε δὴ καὶ γυναῖκας, τιμὰς αὐτοῖς τὰς Ἡρωϊκὰς λεγομένας ἀφοσιούμενοι· Τοιοῦτοι οἱ παρ' Ἀθηναίοις **ἐπώνυμοι δέκα Ἥρωες** (κατὰ Παυσαν. **Ἀττικ.** Κεφ. Ε'.) ἐξ ὧν καὶ τὰς ἐπωνυμίας οἱ Δῆμοι κεκλήρωνται· ὧν τε τὰ πρῶτα φέρων ἐγένετο Ἐρεχθεὺς ὁ παρ' Ὁμήρῳ (Βοιωτ. Στιχ. 55. ἤτοι Ἰλιάδ. Β'. 547.) κλειζόμενοι, οὗ καὶ Κικέρων Ἀθήνησι θεάσασθαι ἱστορεῖ καὶ τὸ τέμενος, καὶ τὸν Ἱεροπόλον· (ἐν Γ. Βιβλ. τῶν περὶ Φύσ. Θεῶν Κεφ. ΙΘ.)

## ΚΕΦΑΛ. Β.

## Περὶ τοῦ ἑκάστῳ τῶν Θεῶν ἐπανήκοντος ἔργου.

Ἐν τῷ τοιῷδε ὄχλῳ τῶν Θεῶν, ἄλλοις ἄλλα τῶν ἔργων διανεμηθέντα καθῆκε. Ζεὺς μὲν γάρ, οὐρανὸν ἔλαχε διέπειν, καὶ τὰ χειμώνων· ταύτῃ τοι καὶ βροντὰς, καὶ ὄμβρους, καὶ τ' ἄλλα τῶν μετεώρων ἐκ Διὸς Ὅμηρος παράγει· ὥσπερ ἄρα καὶ παντὸς τοῦ βίου τοῦ ἀνθρωπίνου, καὶ τοῦ Κόσμου σύμπαντος προσεπανάπτει τὸ κράτος· Τῷ δέ τοι Ἀπόλλωνι ἡ σωμάτων ἄκεσις ἐγκεχείριστο, ἣν ἐδήλωσεν Ἕκτορα ἐξυγιάσας (Ἰλιάδ. Ο. Στ. 252, καὶ 290.) Τὴν Ἰατρικὴν δ' ἤσκησε περὶ τὸν Ἄρην

Παιήων ('Ιλ. Ε. ϛ. 899.) Ἀυτῷ δὲ (ἐν τῷ Ὕμνῳ) καὶ ἡ Μαντικὴ ἀνατίθεται, καὶ ἡ τῆς Ἀοιδῆς χάρις, καὶ ἡ τῆς Τοξευτικῆς δεξιότης, δι' ἣν ἁπανταχοῦ καὶ ἀκούει Ἑκατηβόλος. Ἑρμῆς δὲ Τέχνης παντοίας νενόμιστο ἀρχηγέτης, καὶ Θεὸς ἦν ὁ Κερδῷος (ὡς ἐκ τοῦ 'Ιλ. Ξ. ϛ. 490.) σεσημείωκε Παυσανίας, Κορινθ. Κεφ. Γ.) ὁ καὶ τῷ Φόρβαντι τὴν περιουσίαν, ἣ λέγεται, ἐκπορίσας. Ὁ δ' αὐτὸς καὶ τῆς κλεπτικῆς ἐτέτακτο Ἔφορος, ὁ καὶ Αὐτόλυκον αὐτὴν ἐκδιδάξας· (Ὀδυσ. Τ. ϛ. 396.) Διὸ κἀν τῷ Ὕμνῳ (ϛ. 292.) Ἀρχὸς προσηγόρευται Φιλητέων· Ὁ δὲ καὶ τῶν ὁδευόντων καθίσατο Ἡγεμών· ('Ιλ. ω. ϛ. 335.) καὶ τῶν ψυχῶν τῶν θνησκόντων Πομπὸς εἰς Ἄδου. (Ὀδυσ. Ω. ϛ. 5.) ἦν δὲ καὶ ὁ διὰ νυκτὸς ὕπνους τε καὶ ὀνείρους αὐτὸς ἐπάγων, ὅθεν καὶ Ὀνείρων Ἡγήτορα ὁ Ποιητὴς αὐτὸν ἀπεκάλεσεν· (ἐν τῷ Ὕμν ϛ. 14.) Τῷ δέ τοι Ἄρεϊ προσῆκεν ὁ Πόλεμος, ὃς διὰ τοῦτο καὶ ἔργον Ἄρηος ἁπανταχοῦ λέγεται· ('Ιλ. Λ. ϛ. 733.) καὶ ἐν τῇ Βατραχομυομ. ϛ. 4.) καὶ ἐν τῷ εἰς τὴν Ἀφροδίτην Ὕμν. ϛ. 10.) Ὁ δὲ Ποσειδῶν ἔλαχε κλῆρον τὴν θάλασσαν. ('Ιλ. Ο. ϛ. 190.) καὶ μὲν δὴ, καὶ τοῖς Ἱππικοῖς ἐφίστασθαι τῶν ἀγώνων, (ἐν τῷ Ὕμνῳ) καθὰ καὶ Παυσανίᾳ (ἐν τοῖς Ἀχαϊκ. Κεφ. ΚΑ.) σεσημείωται, Ἱππικῆς αὐτὸν εὑρετὴν ὀνομάσαντι. Τῷ δὲ Ἡφαίστῳ τὰς Τεκτονικὰς τῶν τεχνῶν ἀπέδωκεν Ὅμηρος, περιγράψας αὐτοῦ καὶ τὸ ἐργαστήριον ('Ιλ. Σ. ϛ. 370 κξ.) Τέχνας δὲ παντοίας ᾠκείωτο Ἀθήνη, ἡ Σοφίας Θεὸς καὶ Φρονήσεως. (Ὀδυσ. Ν. ϛ. 289.) καί τοιγε καὶ αὐτῇ, οὐδὲν ἧττον ἢ τῷ Ἄρεϊ καὶ πολέμων ἐμέλησεν. ('Ιλ. Ε. ϛ. 2.) κοινωνὸν ἔχουσῃ καὶ τὴν Ἐνυώ. ('Ιλ. Ε. ϛ. 333.) ὃ διαπιστοῦται καὶ Παυσανίας (ἐν τοῖς Μεσσηνια: Κεφ. Λ.). Ἄρτεμις δὲ τὸ τόξον κοινὸν ἔχε σὺν Ἄρεϊ τῷ Κασιγνήτῳ, καὶ τῇ θήρᾳ ἐτύγχανεν ἔκδοτος. (ἐν τῷ Ὕμν. ϛ. 16) Δημήτηρ δὲ πρὸς τοῖς ἐκ γῆς καρποῖς εἶχεν, οἵ διὰ τοῦτο καὶ Δημήτερος Ἀκτὴ πρὸς τοῦ Ποιητοῦ λέγονται. ('Ιλ. Ν. ϛ. 322. καὶ 'Ιλ. Φ. ϛ. 76). Διονύσῳ δ' ὁ οἶνος ἀνέκειτο. (ἐν Ὕμν:

ϛ. 11.) Ἀφροδίτη δὲ ἡ Θεὸς ἔρωτος, τὴν περὶ τὰ Γαμήλια ἐπιμέλειαν ἤσκει· (Ἰλ. Ε. ϛ. 428.) Περσεφόνεια δὲ ταῖς σκιαῖς ἦν ἐφορῶσα, ταῖς τῶν ἐν Ἅδε, συνεργὸν κὴ Πλέτωνα ἔχεσα. (Ὀδυσ. Λ. ϛ 47.) Τῇ δ' Εἰλειθυίᾳ, ἡ τῶν τικτομένων πάροδος, εἰς τὸν βίον ἀνῆκεν· (Ἰλ. Λ. ϛ. 270.) κὴ Ἰλ. Π. ϛ. 187. κὴ Ἰλ. Τ. ϛ. 104. κὴ ϛ. 119. Κἀν τῷ εἰς τὸν Ἀπόλλωνα Ὕμνῳ ϛ. 97. κὴ 115.) Καὶ Μοίραις μὲν τὰ τῆς ἀπωλείας τε καὶ τε ὀλέθρου ἀπεδίδοτο. (Ὀδυσ. Η. ϛ. 197.) Μέσαις δὲ ἡ Ἀοιδῆς ἕξις προσῆκεν ὥσπεροῦν καὶ Ἀπόλλωνι. (Ἰλ. Α. ϛ. 604.) Τῷ Ἀσκληπιῷ δὲ ἡ Ἰατρικὴ ἀποδέδοτο. (ἐν τῷ πρὸς αὐτὸν Ὕμνῳ.) Τοῖς δὲ Διοσκέροις ὁ Πλεῦς (ἐν τῷ Ὕμν.) ὡς κὴ τῷ Ποσειδῶνι. Τελευταῖον Θέμιδι μὲν, τὰ τῆς δίκης ἀνῆκε, κὴ τὸ ἀγορεύειν. (Ἰλ. Ο. ϛ 89.) Τοῖς δ' ὑπολοίποις, ὅσαιτε κὴ ὅσοι Θεοὶ περιῆσαν, ποικίλ' ἄττα τῶν εἰς χρῆσιν τῷ βίῳ γινομένων προσανεγράφετο·

Ἀλλὰ γὰρ καὶ πόλεις, καὶ χῶραι ὅλαι, Θεῶν τισὶ παρ' Ἕλλησιν ἀφωσιῶντο, ἐν αἷς, οἷα δή τινες ἀσφάλιοι δαίμονες προϊστάμενοι, διαφερόντως ἐτιμῶντο θεραπευόμενοι· Καὶ γὰρ Ἀπόλλων μὲν Χρύσην τε, καὶ Κίλλαν ζαθέην εἴρηται ἀμφιβεβηκέναι, καὶ Τενέδε ἶφι ἀνάσσειν. (Ἰλ. Α. ϛ. 37. 38.) Κύπρε δὲ Κύπρις ἐϋκτιμένης ὑπῆρχε μεδέεσα. (ἐν τῷ Ὕμν.) Ἥρα δὲ πρὸ τῶν ἄλλων ἔφασκε: τρεῖς μὲν πολὺ φιλτάτας ἔχειν πόλεις: Ἄργος τε, Σπάρτην τε, καὶ εὐρυάγυιαν Μυκήνην. (Ἰλ. Δ. ϛ. 51. 52.) Καὶ Ἀργεῖοι μὲν πολιεχον σφίσιν, κατὰ Παλαίφατον (ἐν τῷ ΝΑ.) οἷα δὴ φύλακα, τε αὐτῶν ἐνόμιζον Ἄστεος, ᾗ δήπε κλήσει καὶ Ἀθηναῖοι τὴν Ἀθηνᾶν ᾠκειεντο, ἐχ ὅπως τὸ Ἄστυ, ἀλλὰ κὴ τὸν Ἀττικὸν Ἀγρὸν ἅπαντα καθιερεντες αὐτῇ, ὡς μαρτυρεῖ Παυσανίας· (Ἀττικ Κ. Κϛ'.) Ἔνθεντοι καὶ Λεκιανὸς ἐν τῷ περὶ Θυσιῶν „Μετὰ δὲ, νειμά„μενοι (φησὶ) κατὰ ἔθνη σέβεσι, καὶ πολίτας αὐτῶν „ἀποφαίνεσιν: ὁ μὲν Δελφὸς τὸν Ἀπόλλω, κὴ ὁ Δήλιος· ὁ „δ' Ἀθηναῖος τὴν Ἀθηνᾶν: μαρτυρεῖται γεν καὶ τὴν οἰκει„ότητα τῷ ὀνόματι· Καὶ τὴν Ἥραν ὁ Ἀργὸς, κὴ ὁ Μυγδόνιος

„τὴν Ῥέαν, καὶ τὴν Ἀφροδίτην ὁ Πάριος.„ Οἷς δὴ παραπλήσια, καὶ Μινέτιος ὁ Φῆλιξ (ἐν τῷ ς. κατὰ τὴν Ἰ: Γρωνοβίου ἔκδοσιν, Σελ. 51.) ἀποφαίνεται λέγων, ἀνὰ πάσας Δυναστείας τε, καὶ Χώρας, καὶ Ἄστεα, τὰς καθ' ἕκαστον Ἔθνος Ἱερὰς τῶν τελετῶν συγκροτεῖσθαι, καὶ Θεοὺς τοὺς τῶν Δήμων προϊσταμένους θεραπεύεσθαι.

Μᾶλλον δὲ, καὶ τῶν πόλεων ἁπασῶν ἐν γένει Πρόνοιαν ποιεῖσθαι προσήκειν τῇ Ἀθήνῃ ᾤοντο. ἐξ οὗ καὶ Ἐρυσίπτολις Ὁμήρῳ πολλαχοῦ προσείρηται, καὶ Ἰλ. Ζ. ς. 305.) Καὶ τοῖς Τρωσὶ δὲ αὐτοῖς ἤδη πολιορκουμένοις, ὑπὸ τῷ τοιῷ δὲ ὀνόματι ἐπικέκληται: ἔνθα Εὐστάθιος, Φύλακα τῆς πόλεως διηρμήνευσε. Τούτοις πρόσθες καὶ τὰ ἐν τῷ εἰς τὴν Ἀθηνᾶν Ὕμνῳ. Τὸ δ' αὐτὸ ἔργον ἀποδέδοται καὶ Ζηνὶ, ὃς ἐντεῦθεν καὶ Πολιεὺς ἐπιλέλεκται παρὰ Ἀριστοτέλ. ἐν τῷ περὶ τοῦ Κόσμου. Καὶ ὁ Βωμὸς δὲ ὁ Διὸς Πολιέως πεφήμισται παρὰ τῷ Παυσανίᾳ. (ἐν τοῖς Ἀττικ. Κεφ. ΚΗ.) Ἀλλὰ καὶ ἐν ἅπασι Δόμοις ἰδίᾳ δὲ τοῖς τῶν Μεγιστάνων, Βωμὸς ἀνέκειτο Διὸς Ἑρκείου· οἷον εἰπεῖν Φυλακτῆρος τε καὶ ἀμυντῆρος. (Ὀδυσ. Χ. ς. 535.) Τοῦτο δὲ τῆς χρείας ἐπλήρουν παρὰ Ῥωμαίοις Dii penates: οἱ Θεοὶ οἱ Πατρῷοι, ὡς ὁ Ἁλικαρνασσεὺς φησὶ Διονύσιος. (ἐν τοῖς περὶ Ῥωμαϊκ. Ἀρχαιολογ. Βιβλ. Α'.)

Καὶ τῶν ἀνθρώπων δ' ἕκαστος Θεὸν ἔχειν πεπίστευται Παραστάτην, ὡς καὶ Ὅμηρος ὑπέθετο Ὀδυσσεῖ τε, καὶ Διομήδει, καὶ Ἀχιλλεῖ, καὶ Ἀγαμέμνονι, καὶ τοῖς λοιποῖς τῶν Ἡρώων, Θεούς τινὰς συνοπαδοὺς συχνὰ προσανάψας. Οἱ δ' ὕστερον Δαίμονας προσεῖπον, οὓς ἐπίστευον αὐτίκα τοῖς τικτομένοις εἰς φῶς προκύπτουσιν οἰκειοῦσθαι, καὶ τούτοις κατευθύνειν τὰ τοῦ βίου, ὡς Ἀμμιανὸς φησὶν ὁ Μαρκελλῖνος (ἐν Βιβλ. ΙΒ') Μένανδρον ἐπάγων μαρτυροῦντα, καὶ τὸ τοιόνδε Δαιμόνιον Μυσταγωγὸν τοῦ βίου ἀποκαλοῦντα. Διὸ κἀν τοῖς Κέβητος Πίναξιν,

εὐθὺς ἐπὶ τῆς θύρας παρεςὼς εἰκονίζεται Δαίμων· Τέτες δ' οἱ Ῥωμαῖοι Genios ὠνόμασαν, ὡς τῇ ἑκάςε γενέσει παραχρῆμα οἷον ἐπιτηρητὰς καὶ κηδεμόνας ἐπικαθιςαμένες, ὡς φησὶ Σέρβιος ἐν τῷ ϛω. τῆς Αἰνηΐδος: προςιθεὶς ὅτι καὶ δύο ἐξ αὐτῶν ἕκαςος ἀνθρώπων γεννηθεὶς κληρεῦται: τὸν μὲν, πρὸς τὰ καλὰ διεξάγοντα, τὸν δ' ἐπὶ τὰ κακὰ διαςρέφοντα. ἧς περ δὴ δοξασίας Ἐμπεδοκλῆν ἀρχηγὸν γενέσθαι φησὶν (ἐν τῷ περὶ τῆς Εὐθυμίας) ὁ Πλέταρχος.

Πεπίςευται δὲ καὶ ἕκαςον τῶν ἐν τῷ ἀνθρώπῳ μερῶν τὲς Θεὲς ἐπιχορηγηκέναι ἑκάςῳ, ὧν περ καὶ ὡς ἰδίων περιποιεῖσθαι τε καὶ προΐςασθαι (ὡς διέξεισι Τιβεριανὸς ἐν τῷ Προμυθεῖ) καὶ εἰς τῦτο δὲ καὶ Ὅμηρον οἴονται ἀφορᾶν ἐπὶ τῆς Ἀγαμέμνονος γεννήσεως φάσκοντα: (Ἰλ. Β. ϛ. 478.)

„Ὄμματα (αὐτὸν) καὶ κεφαλὴν ἴκελον Διῒ τερπικεραύνῳ„
„Ἄρεϊ δὲ ζώνην, ςέρνον δὲ Ποσειδάωνι.„

τῆς μὲν κεφαλῆς Ζηνὶ ἀνατιθεμένης, Ποσειδῶνι δὲ τῦ ςήθες, τῦ δὲ ζωςῆρος τῷ Ἄρεϊ· Ὡσαύτως δὲ καὶ ὑπὸ Σερβίε τὸ μὲν μέτωπον τῷ Δαίμονι (Genio) καθιέρωτο, οἱ δὲ δάκτυλοι τῇ Ἀθήνῃ. καὶ κατὰ Σέξςον δὲ Πομπήϊον, αἱ ὀφρύες ἀνάκεινται τῇ Ἥρᾳ· Ὁ δὲ Δημόκριτος, Ἑρμεῖ τὲς πόδας προσοικειοῖ, ἅτε Θεῷ ἐνοδίῳ· καὶ Ἀρτεμίδωρος τὰ νῶτα τῷ Πλέτωνι. (ἐν Α. Βιβλ. τῶν Ὀνειροκριτικῶν.);

Ἐπὶ πᾶσιν Ἀπόλλωνί τε καὶ Ἀρτέμιδι, δύναμίν τινα ἐπὶ ζωῆς τῆς ἀνθρώπων ἐνεῖναι ᾤοντο, καὶ τοῖς ἐκείνων βέλεσι καταπίπτειν τὲς ἄφνω θνήσκοντας, τὲς μὲν ἄῤῥενας ὑπὸ Ἀπόλλωνος ἀναιρεμένες (Ὡς ἐν Ἰλ. Ω. ϛ. 605. γέγραπται.) ὅπερ εἰς δεῖξιν ἐπάγεται Φρόντις ὁ Μενελάε Κυβερνήτης, (Ὀδυσ. Γ. ϛ. 280.) καὶ Ῥηξήνωρ, ὃν ἐν Μεγάρῳ παραπλησίως, βάλ' ἀργυρότοξος Ἀπόλλων (Ὀδυσ.

Η. ϛ. 64.) τὰς δὲ θηλείας ὑπὸ Ἀρτέμιδος ἦν, ὡς φησὶν Ὅμηρος, (Ὀδυσ. Φ. 83.)

„Λέοντα γυναιξὶν:
„Ζεὺς θῆκεν, καὶ ἔδωκε κατακτάμεν ἥν κ᾽ ἐθέλῃσιν.„

ἧς τε τῇ τοξείᾳ, τὴν ἑαυτῆς μητέρα ἡ Ἀνδρομάχη φησὶν ἀνῃρῆσθαι. (Ἰλ. Ζ. ϛ. 428.) Καὶ τὴν γυναῖκα δ᾽ Εὔμαιος, μεθ᾽ ἧς ὑπὸ Φοινίκων ἀπήγετο: Ἣν δὴ βάλ᾽ Ἄρτεμις ἰοχέαιρα (Ὀδυσ. Ο. ϛ. 477.) Ὡσαύτως δὲ καὶ παρὰ Πινδάρῳ (Πυθ. Γ. „ϛ. 16.) „Κορωνὶς ἡ Φλεγύου θυγάτηρ, ἡ τοῖς τοῦ ξένου ἐυναθεῖσα „λέκτρασι, δαμεῖσα χρυσέοις τόξοισιν ὑπ᾽ Ἀρτέμιδος.„ Μέμνηται δὲ τῆς δεισιδαιμονίας ταύτης καὶ Στράβων, τοὺς πάλαι φάσκων ὑπειληφέναι, οὕτως ἅπαντας οἴχεσθαι, τοὺς λόγῳ, ἢ ἔργῳ προσκρούοντας Ἀπόλλωνι, ἢ Ἀρτέμιδι.

## ΚΕΦΑΛ. Γ.

## Περὶ τόπων Ἱερῶν.

Τοιῷδε τρόπῳ τοῖς θεοῖς καθεστῶσι, καὶ κατὰ ἔργα τὰ ἐπανήκοντα σφίσιν οὕτω διαστελλομένοις, ἀπόμοιραί τινες ἀγρῶν ἐπὶ γῆς καθιέρωντο ὑπὸ Ἑλλήνων, ἅττα τεμένη ὡς ἀποτετμημένας εἰπεῖν χώρας, Ὅμηρος ὀνομάζει (Ὀδυσ. Λ. ϛ. 184.) καὶ ἐν τῷ Ἀφροδ: Ὕμν. ϛ 268.) Τοιοῦτον ἦν τὸ Δήμητρος Τέμενος (Ἰλ: Β. ϛ. 696.) καὶ τὸ Διὸς ἐν Ἴδῃ „Τέμενος βωμός τε Θυήεις.„ (Ἰλ: Θ. ϛ. 48.) καὶ τὸ παρὰ τὰς πηγὰς τοῦ Σπερχειοῦ (Ἰλ: Ψ. ϛ. 148.) καὶ δὴ καὶ τὸ Ἀφροδίτης ἐν Πάφῳ. (Ἰλ: Θ. ϛ. 363.) Παραπλήσια δὲ τούτοις

πλεῖςα χωρία, καὶ Παυσανίας ἱςορεῖ ἐν τῇ περιγραφῇ τῆς Ἑλλάδος. Ἀλλὰ καὶ Κικέρων (ἐν Γ. περὶ Φύσ: Θεῶν.) διέξεισι, τὰ τοιαῦτα χωρία παρὰ Θηβαίοις (Lege censoria) δασμοφορῶν ἐξηρῆσθαι. Ἐπισημειοῖ δὲ καὶ Πλάτων (ἐν τῷ ς. τῶν Νόμ:) τὲς ἐκ τῶν τοιέτων χωρίων ἀποφερομένες καρπὲς ὑπὸ τῶν Ταμιῶν συλλέγεσθαι, καὶ εἰς χρήσεις ἱερᾶς ἀποκειμένες τηρεῖσθαι. Ἀλλὰ γὰρ ὁ μέσον Μεγάρων τε καὶ Ἀττικῆς ἀγρὸς Ὅς ταῖς ἐλευσινίαις θεαίναις ὡσίωτο, ἐδόλως ἐγεωργεῖτο, ὡς ἰδεῖν ἐςὶ παρὰ Θεκυδίδῃ ἐν τῷ Α. τῆς ἱςορίας, ὅπερ ἐν καὶ ἀλλαχᾶ συνεχῶς ἐγίνετο. Καὶ δένδρα δὲ προσέτι διεφυτεύετο, καὶ δρυμοὶ δ' ἐτέμνετο εἰς τιμὴν Θεῶν. Ἄλση μὲν Ὅμηρος ἐκάλει, Λατῖνοι δὲ Λάκκες, ὡς ἐν τῷ Ῥωμύλε Βίῳ ἑρμηνεύει Πλέταρχος. Τοιῦτον ἦν τοῖς Φαίαξιν: (Ὀδυσ: Ζ. ς. 291.)

„Ἄλσος Ἀθήνης ἄγχι κελεύθε Αἰγείρων.„ (καὶ ς. 321. αὐτ:) Ὁμοίως δὲ καὶ το πρὸ τῦ Ἰθάκων ἄςεος, (Ὀδυσ: Ρ: ς 209.) „Ἄλσος πάντοσε κυκλοτερές. ὃ καὶ τὸ αἱρεθὲν παρασεσημείωται χῆμα, ὁ κύκλος τὸ τελεώτατον τῶν σχημάτων καὶ κάλλιςον. ὃ δὴ καὶ φραγμῷ περιορίζεσθαι εἴθιςο, ὃν Πολυδεύκης ὀνομάζει Περίβολον.

Περιεφράγνυτο δὲ, ὡς ἂν μὴ τῇ ἀναμὶξ προσόδῳ τῶν εἰσιόντων βεβηλῶτο: ὅπερ ἐν ἐν τῷ Ἀρτέμιδος Σωτείρας ἄλσει διαφερόντως παρετηρεῖτο, ᾗ Παυσανίᾳ (ἐν τοῖς Ἀχαϊκ: Κεφ: ΚΖ.) σεσημείωται. Το γὰρ χωρίον τειχίσματι περιληφθὲν τοῖς Ἱεροπόλοις ἀνεῖτο μόνοις. ὃ δὴ πίςιν ποιεῖται ὁ Μάρων ἐκεῖνος, ὃς (Ὀδυσ. Ι. ς. 200.)

„Ὤικει ἐν Ἄλσει δενδρήεντι.„ Ἦν δὲ ἄρα τὸ τῆς τοιαύτης δεισιδαιμονίας ἔθος παλαίτατον, ὃ καὶ τοῖς Ἑβραίοις, συνεχῶς τὰ ἔθνη ἐν αὐτῷ ἐπεξηλακίσιν, ὁ Θεὸς ἐπετίμησε. Τοδ' ἔθος καὶ Γερμανοῖς πάλαι ἐπεχωρίαζε, περὶ ὧν Τάκιτος γράφει, ἐκ ἐν τοίχοις τε καὶ σεγάσμασιν, ἀλλ' ἐν ἄλσεσι καὶ δρυμοῖς ἀναπεπταμένοις ἡγεῖσθαι, τὴν

εἰς Θεὸν χρῆναι τὸν ἀπεριόριστον λατρείαν προσφέρεσθαι. Καὶ ἐδὲ τῇ εἰς Χριςὸν δὲ πίςει τὸ τοιόνδε ἔθος ῥᾳδίως καθυπεχώρησεν, ὡς ἐκ τῶν Συνόδων δηλῦται, τῆς τε Ἀνετηνσίας, καὶ τῆς Βραχαρηνσίας, ὧς Βυρχάρδος διέξεισιν ἐν Βιβλ. 1. Decretorum (τῶν Ψηφισμάτων, ἢ Ἀποφάνσεων·) ὃ δήπερ ἔθους ἔτι καὶ καθ' ἡμᾶς, ἐφ' ἄττα λείψανα, παρά τε Πιλαππίοις καὶ Λιβωνίοις διασώζεται.

Ἀλλὰ δὴ καὶ τῶν τινα δένδρων παρ' Ἕλλησι διαφερέσης ἐτύγχανον τιμῆς τε καὶ θεραπείας· οἷον ἡ Δρῦς ἡ Δωδωναία, ἧς Ὅμηρος μέμνηται. (Ἰλ. ξ. ς. 234.) καὶ ὁ παρὰ τῷ Βωμῷ τῦ ἐν Δήλῳ Ἀπόλλωνος Φοῖνιξ. (ἐν τῷ Ὕμν. ς. 117.) Ὅντινα καὶ ἐπ' αὐτῦ Παυσανίας (Ἀρκαδικ. Κεφ, ΚΓ.) σεσεβάσθαι καθιςορεῖ: Προςιθεὶς ὅτι καὶ ἡ Ἐλαία, ἡ ἐν τῇ Ἀθηνῶν Ἀκροπόλει, καὶ τὸ Ἀμπέλιον τὸ παρὰ Σαμίοις ἐν τῷ Ναῷ τῆς Ἥρας, ὡσαύτως. Τοιάδε ἦν, καὶ ἡ παρὰ Οὐϊργίλ: (Ἀινειάδ. Β. ς. 715.)

. . . antiqua cupreſſus
Religione Patrum multos ſervata per annos.
„Πουλυετὴς Κυπάρισσος, ἄγαν τὴν ἐκπαλαι ἄξον.„

Τύτοις καὶ τὰ Ἱερὰ προσεγένετο δομήματα, ἐν οἷς τὺς Θεὺς, ἐντὸς τοίχων θεραπεύοντες, ἰδιαίτερον διετέλυν, ἃ καὶ Ναὺς ἐκάλεσαν, παρὰ τὸ ἐν τύτοις ναίειν τὺς θεὺς, οἷον ἐνδιαιτωμένυς πιςεύεσθαι. Ταύτῃ τοι καὶ ὑπὸ Ὁμήρυ. „Θεῶν μακάρων Ἱεροὶ δόμοι προσείρηνται.„ (Ἰλ. Ζ. ς, 89.„ καὶ ἐν τῷ εἰς τὸν Ἑρμῆν Ὕμν. ς. 251. καὶ ἐν τῷ εἰς τὴν Ἑςίαν ς. 2.) καὶ ὑπὸ Θεοκρίτυ „Θεῶν „ἐρικυδέες οἶκοι„ ᾧ δὴ ὀνόματι καὶ Ἡρόδοτος ἁπανταχῦ κέχρηται ἐν τῷ τὺς Ναὺς περισημαίνειν. Τὸ δέ τοι χρῆμα καὶ Λυκιανὸς ἐκφράζει ἀςείως ἧπερ εἴωθε: „Ναὺς, λέγων (ἔνθα περὶ τῶν θυ-

σιῶν αὐτῷ λόγος) ἐγείραντες, ἵν' αὐτοὶ μὴ ἄοικοι, μηδ' ἀνέστιοι δῆθεν ὦσι. Διὰ δὴ τοῦτο μάλιστα καὶ Ξέρξης τὰ ἐν Ἑλλάδι Ἱερὰ ἐνεπίμπρα, διὰ τὸ, τῶν τοίχων ἐντὸς δηλονότι, ἐν ἐκείνοις τοὺς Θεοὺς ἐγκαθείργχθαι, οἷς προσῆκον ἦν ἀνεῖσθαι τε καὶ ἀναπεπτάσθαι τὰ πάντα, καὶ ὧν ὁ σύμπας κόσμος Ναός τε καὶ οἶκος καθέστηκεν, ὡς Κικέρων (ἐν τῷ Β'. τὸν νόμων.) ἐκτίθεται, ὅσγε μὴν, ἥκιστα τὴν Περσῶν δόξαν ἐγκρίνει· Ἀλλὰ δοκιμωτέραν τὴν Ἑλλήνων τε καὶ Ῥωμαίων ἡγεῖται, τῶν εἰς ἐπαύξησιν (ὡς φησὶν) εὐσεβείας καὶ ὁσιότητος τοὺς Θεοὺς ἑλομένων, μετὰ σφίσιν ἐνσκηνοῦντας ἔχειν ἐν ταῖς αὐτῶν πόλεσιν.

Τοιγαροῦν τοὺς Ναοὺς ἐντὸς ἐτύγχανον δομοῦντες τῶν ἄστεων, καὶ μὲν δὴ, κἀν χώρῳ τῷ ἐπιφανεστέρῳ· μάλιστα δὲ κατὰ τὴν ἀγοράν. Οὕτω παρὰ Φαίαξιν ἵδρυτο ὁ Νεὼς ὁ τοῦ Ποσιδῶνος.

„Ἔνθα δέ τε σφ' ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφὶς.„

(Ὀδυσ. Ζ. ς. 266.) Καὶ ἑκασταχοῦ δὲ, ἐπὶ τῶν καθ' Ἑλλάδα πόλεων, ἐν τοιᾷδε χώρῳ τὰ Θεῶν ἱερὰ ἱδρῦσθαι μανθάνομεν καὶ παρὰ Παυσανίου, ὃς καὶ περὶ τῶν Ταναγραίων διέξεισιν: (ἐν τοῖς Βιωτικ: Κεφ. ΚΒ'.) τῶν λοιπῶν αὐτοὺς Ἑλλήνων, τῷ γε τύπῳ τοῦ θρησκεύματος τούτῳ διενεχθῆναι, ὅτι ἀνὰ μέρος, πόῤῥω τῶν βεβήλων οἰκοδομημάτων, τοὺς Θεῶν Νεὼς ἐγείρειν ᾕροῦντο, ἐν ἄλωνι καθαρευούσῃ τῶν ἀνθρωπικῶν πραγματευμάτων ἀπέχοντας. „Χωρὶς μὲν τὰς οἰκίας σφίσι, χωρὶς δὲ τὰ ἱερὰ ὑπὲρ αὐτῆς, ἐν καθαρῷ τε ἐστὶ, καὶ ἐκτὸς ἀνθρώπων.„

Ἀλλ' οὐκ ὀλίγοι μέντοι Ναοὶ καὶ ἐξωτέρω δεδόμηντο, ἐν ἀγροῖς ἰδίᾳ, καὶ ἱεροῖς ἄλσεσιν, ὡς διὰ πολλῶν ὑπὸ τοῦ αὐτοῦ Συγγραφέως παραδηλοῦται, ἐξ οὗ καὶ τὸ Τέμενος, πάρεστι τὰ πολλὰ, ἀντὶ τοῦ Εἰδωλείου ἐκδέχεσθαι. Ὅθεν Πολυδεύκης„ Τεμένη τε καὶ Σηκοὺς

εἶναι (φησὶ) χωρία, ἔνθα καθιδρύονται οἱ θεοὶ.,, καὶ ῥᾷςα τοῖς ἑρμηνευταῖς αὐτοῖς συντιθέμεθα, οὕτως ἐξαλη φέσι τό τε ἐν Ἴδῃ τῦ Διὸς Τέμενος, καὶ τὸ ἐν Πάφῳ τῆς Ἀφροδίτης ὁμοίως ὑφ' Ὁμήρυ νοεῖσθαι, ὁπότε Ναὸν ἱδρῦσθαι ἑκατέρωσε καλῶς ἐπιςάμεθα.

Ὅλως δὲ ἐπὶ τῶν ὑψηλῶν μάλιςα δεδομῆσθαι τὰ Ἱερὰ ἐκ τῶν Ὁμήρυ καταδηλον. Προσήκειν γὰρ τόδε Θεοῖς ἐνομίζετο, Ζηνὶ δ' ἐξόχως τῷ Θεῶν ὑπάτῳ, καθάπερ ἐν τοῖς περὶ Θυσιῶν μαρτυρεῖ Μελάνθης, τῷ ἐκείνυ ὀνόματι διεξειὼν τὺς πάλαι τὰ Ὄρη ἐπονομάσαι, καὶ ἐπ' αὐτὰ ἀναβαίνειν θύσοντας, Πᾶν δὲ Ὄρος, του̃ Διὸς Ὄρος ὀνομάζεται· ἐπεὶ ἔθος ἦν τοῖς παλαιοῖς, ὑψίςῳ ὄντι τῷ Θεῷ, ἐν ὕψει θυσίας ποιεῖσθαι.,, ὗ δεῖγμα σαφὲς ἡ παρ' Ὁμήρῳ Ἴδη, ἐφ' ἧς Ἕκτορα, Ζεύς ἔφη, πολλὲς αὐτῷ ἀνενεγκεῖν βόας· (Ἰλ. χ. ϛ. 170.)

,,Ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν
Ἴδης ἐν κορυφῆσι πολυπτύχυ· ἄλλοτε δ' αὖτε
Ἐν πόλει ἀκροτάτῃ. . . . . . . . .

Οὗ δὴ χάριν καὶ ἐς ὕψος ὁ τῶν Νεῶν ἤρετο κόρυμβος ὅνπερ Ἀετὸν καλῦσιν Ἑλλήνων Παῖδες, ὗ συνεχῶς μέμνηται Παυσανίας. Κἀντεῦθεν καὶ Ἀριςοφάνης (ἐν Ὄρνισι ϛ. 110.) τὴν κατ' αὐτῶν οἰνῶν πολιτείαν, ἅπαντα, φησὶ τὰ ἐν αὐτῇ δομήματα, Ναῶν δίκην κεκορυφῶσθαι.

,, Εἶτα πρὸς τύτοισιν, ὥσπερ ἐν Ἱεροῖς οἰκήσετε,
,, Τὰς γὰρ ὑμῶν οἰκίας ἐρέψομεν πρὸς αἰετὸν.,,

Ἔνια γε μὴν τῶν Ἱερῶν ἄςεγα ἦν, ἃ ὕπαιθρα εἶπον: οἷον τὸ Ἀθήνησιν ὑπὸ Οὐϊτρυβίυ ἀναφερόμενον· Ὅλως δὲ, ὕτω ταῦτα διέκει-

το, ὡς ἀνίσχοντα τὸν Ἥλιον αὐτίκα εἰσδέχεσθαι, ἢ διέξεισι Πλέταρχος (εἰς τὸν Νεμᾶ βίον τε Πομπιλίε·) καὶ ὥστε τῶν θυρῶν ἀναπεπταμένων πανταχόθεν καταφωτίζεσθαι, ἢ Προμαχίδης μαρτυρεῖ ὁ Ἡρακλεώτης, καὶ Διονύσιος ὁ Θρᾷξ. (ἐν βιβλ Γ'. τῶν Διαιρέσ.) „Οἱ γὰρ Ναοὶ τῶν παλαιῶν, καὶ τὸν Ἥλιον ὑπερκύψαντα εὐθὺς ὑποδέχεσθαι εἰώθεσαν, καὶ τε φωτὸς εὐθὺς ἐμπίμπλασθαι τῶν θυρῶν ἀναπεπταμένων, ὅπε καὶ τὰ Ἱερὰ ἔρεξαν.„

Τάδ' ἄλλα οἱ Ναοί ἔτοι, ἤτοι τῶν Θεῶν ἑκάστοις ἀνὰ μέρος ἀφωσιεντο, ἢ γεν ἅμα πλείοσιν, ἢ καὶ πᾶσιν· ἔτω καὶ γὰρ ὁ Παυσανίας (ἐν τοῖς **Λακωνικ.** Κεφ: Κ Β'.) διέξεισιν, „Ὅτι παρὰ Μαρίῳ ὑπῆρξεν **Ἱερὸν ἀρχαῖον Θεῶν ἁπάντων.** (Καὶ ἐν τοῖς **Κορινθιακ.**„ Κεφ: Κ Ε'.) Παρὰ Τορνεάταις, Ναὸν Θεοῖς πᾶσιν ἐς κοινὸν ἀνειμένον. Καὶ τοιετον Ναὸν καὶ Ἀδριανὸς Ἀθήνησιν ἔδειμεν ὁ Αὐτοκράτωρ· οἷονπερ ἦν καὶ τὸ ἐν Ῥώμῃ **Πάνθεον,** τὸ καὶ καθ' ἡμᾶς ὑφεσός. (**Ἀττικ:** Κεφ. Ε'. καὶ Κεφ: ΙΗ'.) Ἀλλὰ γὰρ Ὅμηρος τῶν ἑκάστῳ Θεῷ ἰδίᾳ ἀνακειμένων Ἱερῶν μνείαν πεποίηται, Ἀθηνᾶς μὲν Ἀθήνησιν: (Ἰλ. Β'. ϛ. 549.) καὶ ἐν Περγάμῳ (Ἰλ. Ζ. ϛ. 267.) καὶ Ποσιδῶνος παρὰ Φαίαξιν. (Ὀδυσ. Ζ. ϛ. 266.) καὶ Ἀπόλλωνος Πυθοῖ (Ἰλ Ι' ϛ. 405. καὶ Ὀδυσ. Θ'. ϛ. 80.) καὶ ἄλλων· ἐπιγράφεσθαι δ' ἦν ἔθος τοῖς Ἱεροῖς καὶ τὰ τῶν Θεῶν ὀνόματα, κατὰ γενικὴν πτῶσιν, ὡς ἐκ τῶν ἀρχαίων ὑπομνημάτων φαίνεται, καὶ διαρρήδην ὑπὸ Κικέρωνος. (ἐν τοῖς περὶ Φυσ: Θεῶν Βιβλ. Γ.) διαπιστεται. ὃς καὶ τὰς ἀργυρέας τραπέζας ἐκ πάντων ἐκέλευε τῶν Εἰδωλείων ἀρθῆναι, ἐν αἷς κατὰ τὸ τῆς πάλαι Ἑλλάδος ἔθος ἐπεγέγραπτο: ΑΓΑΘΩΝ ΘΕΩΝ· χρῆσθαι φάσκων αἱρεῖσθαι τῇ αὐτῶν Ἀγαθότητι.

# ΚΕΦΑΛ. Δ΄.

## Περὶ τῶν Εἰδώλων ἢ Ξοάνων.

Μικρὸν ἦν δεισιδαιμονοῦσιν ἀνθρώποις, Θεοὺς κεκτῆσθαι τόποις τισὶν ἐμπεριοριζομένους, εἰμὴ καὶ ὀφθαλμοῖς αὐτοὺς προκειμένους θεῶντο, διὸ καὶ τούτων τὰ εἰκάσματα σφίσιν ἀναπλασάμενοι, ἐν ἱεροῖς χωρίοις καθίδρυσαν σεβαστέα. Ἀλλ᾽ ἐν ἀρχῇ τοῦ θρησκεύματος τοῦ ἀπὸ Αἰγυπτίων ἐπὶ τοὺς Ἕλληνας καταβάντος, κενὰ τούτοις τὰ Ἱερὰ ἦν, ὡς Λουκιανὸς ἐν τῷ περὶ τῆς Συρίας Θεαίνης μαρτυρεῖ. Ὅτι τὸ πάλαι καὶ παρ᾽ Αἰγυπτίοις ἀξόανοι νηοὶ ἦσαν.„ Ὡσαύτως δὲ καὶ παρὰ Ῥωμαίοις τὸ αὐτὸ ἔθος ἐπικρατῆσαι φησὶ καὶ Οὐάῤῥων, ὁ (κατ᾽ Αὐγουστῖνον ἐν Δ΄. Βιβλ. τῶν περὶ τῆς Θεοῦ Πολ. Κεφ. Λϛ) Ῥωμαίους ἱστορῶν ἐπέκεινα τῶν πρὸς τοῖς ἑκατὸν ἑβδομήκοντα ἐνιαυτῶν, ἄτερ Εἰκόνων τοὺς θεοὺς τεθεραπευκέναι: ὑπὸ Νουμᾶ γὰρ τοῦ Πομπιλίου τοῦτὶ θεσμοθετηθῆναι, καθάπερ ἐν τῷ τούτου βίῳ μαρτυρεῖ καὶ Πλούταρχος. Ἐπιβεβαιοῖ δὲ καὶ Τερτυλλιανὸς (ἐν τῷ περὶ Εἰδωλολάτρ.) Εἴδωλον, φάσκων, οὐδὲν τὸ πρόσθεν ὑπῆρχε: Πρὶν δ᾽ ἢ περὶ τὴν τοιήνδε τερατείαν ἐκζέσειαν οἱ τεχνουργοῦντες, μόνα ὑπῆρχε τὰ Ἱερὰ, καὶ κεναὶ αἱ δομήσεις· καθάπερ οὖν καὶ ἐφ᾽ ἡμῶν ἐνιαχοῦ ἔσθ᾽ ἄττα τῆς ἀρχαιότητος διασώζεται ἴχνη. Ἀλλὰ γὰρ παλαιτάτη ἡ τῆς δεισιδαιμονίας χρῆσις, ἀπὸ τῶν Μωσαϊκῶν ἤδη κατιοῦσα χρόνων, καθὰ καὶ Εὐσέβιος φησὶ (Βιβλ. Β΄. τῶν χρονικ.) Κέκροπα τὸν Ἀθηναίων Ἄνακτα, ἰσόχρονον τῷ Μωσεῖ ἐκτάσσων, ὡς πρῶτον παρ᾽ Ἕλλησι δημιουργήσαντα εἴκελον.

Ἕλληνες μὲν γὰρ κατ᾽ ἀρχὰς, λίθους ἀλαξεύτους τὸ πλεῖστον ἐγέραιρον ὡς ἀγάλματα, ἧ μάρτυς ἐστὶ Παυσανίας: (Ἀρκάδ. Κεφ. ΚΒ.) „Τὰ παλαίτερα, καὶ τοῖς πᾶσιν Ἕλλησι, τιμὰς Θεῶν, ἀντὶ Ἀγαλμάτων, εἶχον ἀργοὶ λίθοι. Οὐ δεῖγμα παρὰ

φαρίοις, τοῖς λίθους τετραγώνους τριάκοντα, ὑπὸ Θεῶν ὀνόμασιν, ἰσαρίθμων, διασεβομένοις· ὧ δήπου λόγῳ Κλήμης ὁ Ἀλεξανδρεὺς (ἐν τῷ Α' τῶν Στρωμ.) „Πρὶν γοῦν ἀκριβωθῆναι (φησὶ) τὰς τῶν Ἀγαλμάτων σχέσεις κίονας ἱστάντες οἱ παλαιοί, ἔσεβον τούτους ὡς ἀφιδρύματα τοῦ Θεοῦ.„ Καὶ Εὐσέβιος δὲ (ἐν Βιβλ. Α. τῶν περὶ τῆς Εὐαγγ. προπαρασκ.) παρατηρεῖ κίονας ἐν ἀρχῇ, ἀντὶ Ἀγαλμάτων καθιδρύσθαι καὶ σεσεβάσθαι.

Εἰσήχθη δ' ἑξῆς τὰ μορφώματα, καὶ μάλιστα δὴ τὰ ἀνθρωπικά. Τοιαύτης γὰρ τοὺς Θεοὺς τυχεῖν τῆς μορφώσεως ἐνόμιζον Ἕλληνες, ὡς Ἡρόδοτος (ἐν Εὐτέρπῃ) διδάσκει, ἐν οἷς τοὺς Πέρσας, γράφει, τὴν τῶν Ἀγαλμάτων, καὶ Ναῶν, καὶ Βωμῶν χρῆσιν, ἥκιστα δοκιμάζειν „Ὅτι οὐκ ἀνθρωποφυέας ἐνόμισαν τοὺς Θεοὺς, καθάπερ οἱ Ἕλληνες.„ ἄλλοις δ' ἄλλας μορφὰς ἀπεδίδουν, οἵασπερ δὴ κατὰ διάνοιαν ἀνετυποῦντο, Ὁμήρῳ ἡγεμόνι παρηκολουθηκότες οἱ πλεῖστοι, καθ' οἷα δήπερ εἴδη τοὺς Θεοὺς ἐκεῖνος ἀνέπλασε, κατ' αὐτὰ τούτων σχηματίσαντες τὰ εἰκάσματα. Πλεῖστα δὲ τοῦ τοιούτου τὰ παραδείγματα παρὰ τῷ Παυσανίᾳ, εἴπερ οὐκ ἀσαφῶς ὑπὸ τοῦ Λουκιανοῦ (ἐν τῷ περὶ τῶν θυσιῶν φέρεται σημειούμενα. „Ἀναπλάττουσι μὲν γενειήτην τὸν Δία, παῖδα δ' ἐς ἀεὶ τὸν Ἀπόλλωνα, καὶ τὸν Ἑρμῆν ὑπηνήτην, καὶ Ποσειδῶνα κυανοχαίτην, καὶ Γλαυκῶπιν τὴν Ἀθηνᾶν· δι' ὧν δὴ πάντως ἐπιθέτων Ὅμηρος αὐτοὺς ἐστὶν ἐπισημαινόμενος.

Τῶν Ἀγαλμάτων τὰ ἀρχαιότατα τοῖς ποσὶ συμβεβηκόσι ἀδιαστάτως παρίστατο. „Πρῶτος γὰρ Δαίδαλος ἀνεπέτασε, καὶ τοὺς πόδας διέστησεν„ ὡς Ἀρποκρατίων παρέδωκε. Τὸ δέ τοι κεῖσθαι αὐτοῖς ἐποικίλλετο, τοῖς μὲν ὀρθίοις καθισαμένοις, τοῖς δὲ καθημένοις: Οὕτω γὰρ δὴ καὶ Πορφύριος γέγραφε „τοὺς Θεοὺς εἰωθέναι τὰ ἔθνη ἀνατυποῦν σχήμασι διαφόροις, καὶ ἡλικίαις, καθέδραις τε καὶ στάσεσι, καὶ ἀμφιάσεσιν„ ὡς ἐξ αὐτοῦ ἀναφέρει Εὐσέβιος. Ταύτῃ δέ τοι καὶ Ἀρνόβιος (ἐν Βιβλ. ϛ'.) ὁμοίως.

Εἰδ' ὅτως ἔχει, κἂν τοῖς καθημένοις εἴδεσι, τὸν Θε ϱητέον, ἵςαθαι δ' ἐν τοῖς ὀϱθοςάδην μένεσι, καὶ ἐπ χειν δοκέντων εἰδῶν, τϱέχειν, κἀπὶ τῶν τοξεύεσιν ξέυειν. Καὶ τὸ τῆς Ἀθήνας ἄϱα Ἄγαλμα, τὸ ἐν ἀνακείμενον ἀκϱοπόλει, πϱὸς ὃ αἱ Τϱωϊάδες συνέδϱαι μεναι, καθημένης εἰκὸς ἔιναι γενέθαι, ἐπείπεϱ ὑπὸ τἔτ ταύτης τὸ πέπλον τεθεῖθαι πεποίηται. (Ἰλ. Ζ'. ϛ 270. βων (Βιβλ. ΙΓ. Γεωγϱαφ.). ἡγήσατο: πϱοθείς, ὅτι καὶ ἀϱχαίων Ἀθηνᾶς ἀγαλμάτων καθήμενα παϱῆν ὁϱᾶν, οἷ κίδι, καὶ ἐν Μασσιλίᾳ, καὶ Χίῳ, καὶ Ῥώμῃ, καὶ ἄλλοι τὸ ἐπ' αὐτὸ τῇ ἑτέϱᾳ καθέσεως Τϱωάδι, ἱςαμένην παϱίςη θιον, ὡς ὁ αὐτὸς παϱέδωκεν.

Τὴν δὲ ὕλην τὸ πάλαι τῶν Ἀγαλμάτων τὰ π ἦν, ἃ Ξόανα εἶπον, ὡς Κλήμης ὁ Ἀλεξανδϱεὺς (ἐν τικῷ) ἀναπτύσσει. Τοιόνδε ὑπῆϱχε τὸ παναϱχαιον Ξό Δαναῦ ἐν τῷ παϱ' Ἀχαιοῖς Ναῷ ἀνατεθὲν, πεϱὶ ὃ Π Κοϱινθιακ. Κεφ. ΙΘ'.) Ξόανα γὰϱ δὴ τότε (φησ πάντα, καὶ μάλιςα τὰ Αἰγύπτια." Ὅπεϱ ἐ καὶ πλατύτεϱον ἐκτίθησιν (Ἀϱκαδ. Κεφ. ΙΖ.) ἅμα κ τῶν δένδϱων συγκαταλέγων: "Τοῖς δὲ ἀνθϱώποι χαῖον, ὁπόσα καὶ ἡμεῖς καταμαθεῖν ἐδυνή σάδε ἦν ἀφ' ὧν τὰ Ξόανα ἐποιῦντο: Ἔβεν ϱισσος, αἱ Κέδϱοι, τὰ Δϱύϊνα, ἡ Σμῖλαξ, ἡ Τὸ δ' αὐτὸ κἂν Ἰταλίᾳ τὸ πϱῶτον ἐπικϱατῆσαι διέ (Φυσ. ἱςοϱ. Βιβλ. ΛΑ'. Κεφ. Ζ'.) Mirumque, φα videtur, cum ſtatuarum origo tam vetus in Deorum ſimulacra lignea potius ac fictilia, i dicata, usque ad devictam Aſiam; unde luxuria

„Ἐπισίμοι θαυμάζειν, ὅτι τῆς καταβολῆς τῶν Ἀνδριάντων ἔτω παλαιᾶς ἔσης ἐν Ἰταλίᾳ, τὰ Θεῶν εἰκάσματα ξύλινά τε μᾶλλον καὶ κεραμεᾶ ἐν τοῖς Εἰδωλείοις ἀνέκειτο, ἄχρις ὅ ὑποτέτακται ἡ Ἀσία, ὅθεν ἡ τρυφή τε καὶ πολυτέλεια παρεισέδυ.„ Ἀλλ' ἐδὲν ἧττον μέντοι καὶ τῶν Ἑλλήνων τοῖς ὕστερον ἐπεισήνεκται ἡ περὶ τὸ πρᾶγμα τρυφὴ, ὧν τὴν κατὰ τἔτο θρησκείαν ἐξῆρεν ὁ Παυσανίας ϗ προσεπέτεινε (Ἠλειάκ. Βιβλ. Ε. κεφ. ΙΒ.) λέγων, ὅτι καὶ ἐξ Αἰθιόπων τὸν ἐλέφαντα εἰς ἀγαλματοποιΐαν ἀπεκομίζοντο· ἐξ' ὅ καὶ ἡ Πλάτωνος προήχθη νομοθεσία, περὶ ἧς Κικέρων ἐν τοῖς κατ' αὐτὸν διέξεισι Νόμοις: τὸ μὴ χρυσὸν, μηδ' ἄργυρον, μηδ' ἐλέφαντα, μηδὲ χαλκὸν ἢ σίδηρον, ἐν τοῖς Ναοῖς ἐνεισάγεσθαι, ἀλλὰ ξύλινά τε ϗ λίθινα καθιερἔσθαι. Ἐξίσχύκει καὶ γὰρ ἤδη τὸ μεγαλοπρεπὲς τῆς τοιᾶσδε πολυτελείας ἐπὶ τῶν Ἡρωϊκῶν χρόνων, ἐπεὶ ϗ χαλκἔ, ϗ ἀργύρε, ϗ χρυσἔ ϗ τῶν ἔτι τιμιωτέρων, ὁρῶμεν πρὸς Ὁμήρε ἐν τοῖς Ἱεροῖς μνείαν γίγνεσθαι. Καὶ Πλέταρχος δὲ Θησέα ἱσόρησεν Ἱερὰ ἐν Κύπρῳ τῇ Ἀριάδνῃ κατασησάμενον, Ἀγάλματα δισσὰ ἐνιδρύσασθαι, τὸ μὲν ἀργυρἔν τὸ δὲ χάλκεον. Παυσανίας δὲ (Ἀρκαδ. Κεφ. 15.) Φαινεχίτας παρέδωκεν ἐσχηκέναι Εἴδωλον χαλκἔν Ποσειδῶνος Ἱππίε, ὡς ὑπὸ τἔ Ὀδυσσέως φάσκοντας καθιερωθὲν: ἀλλὰ γὰρ ἐκ ἀνενδοιάσως τἔτο πεισθείην ἐγὼ, εἰδὼς κατ' ἐκεῖνο τἔ χρόνε, μὴ ἐκ χαλκἔ σερεἔ εἰωθέναι κατασκευάζεσθαι τὰ ἀγάλματα ὁλοχερῶς, ἀλλὰ δίκην ἐσθῆτος τῆς ἀπὸ πλειόνων ῥακέων συῤῥαπτομένης „Ου γάρ πω τότε τἔ χαλκἔ τὰ ἀγάλματα διὰ παντὸς ἠπίσαντο ἐργάσασθαι, καθάπερ ἐσθῆτα ἐξυφαίνοντες.„ Παρ' Ὁμήρῳ μέντοιγε, ἐδενὸς Εἰδώλε ἡ ὕλη σαφῶς δηλἔται, ἐδ' αὐτὸ τἔνομα, εἰμὴ ἐν γένει τὸ τἔ Ἀγάλματος: ὅπερ ἔν ἐπὶ τὰ διακοσμήματα καὶ τὰ δῶρα κοινῇ ἐφαπλἔντος ἐκείνε, οἱ μετ' αὐτὸν Ἕλληνες ἐπὶ τὰ γλυπτὰ μάλισα τῶν εἰκασμάτων συνέσειλαν.

# ΚΕΦΑΛ. Ε'.

## Περὶ τῶν Θεοῖς Ἱεροπολούντων.

Ἐπὶ τῷ μετιέναι τὰ θεῖα κατὰ τὸ δέον ἐπικαθιςῶντο, οὕσπερ Ἱερεῖς ὁ Ποιητὴς ὀνομάζει, οἷς τε διαφερόντως ἡ τῶν Ἱερῶν Ἄλσεώντε καὶ Ναῶν, καὶ ἡ τῶν τελετȣργιῶν ἐγκεχείριςο ἐπιςασία καὶ ἐπιμέλεια. ἧς δὴ καὶ τὰ διαφέροντα τῶν μερῶν ἐπὶ τῶν ἐπισημοτέρων χωρίων προσώποις ἐνεχειρίζοντο πλείοσιν, ἐπ' ἄλλων δὲ, καὶ ἐνίγε καὶ μόνῳ, ὡς Ἀριςοτέλης (Πολιτικ. ϛ. Κεφ. Η') διδάσκει. „Συμβαίνει δὲ τὴν ἐπιμέλειαν ταύτην, ἐνιαχȣ̃ μὲν εἶναι μίαν, οἷον ἐν ταῖς μικραῖς πόλεσιν, ἐνιαχȣ̃ δὲ πολλὰς καὶ κεχωρισμένας τῆς Ἱερωσύνης: οἷον Ἱεροποιȣ̀ς καὶ ναοφύλακας καὶ ταμίας τῶν ἱερῶν χρημάτων.„

Ἐφιςῶντο δὲ παρ' Ἕλλησιν εἰς τόδε τȣ̃ργον ἀναμὶξ, ἢ γυναῖκες, καθὰ καὶ ἄνδρες· καθ' ὃν δὴ τύπον ὁ Πλάτων (ἐν τῷ ϛ. τῶν Νόμων) „Θεσμοθετεῖ τοῖς Ἱεροῖς Νεωκόρȣς τε, καὶ Ἱερέας, καὶ Ἱερείας δεῖν γίγνεσθαι.„ Ἀλλ' Ἡρόδοτος κἂν τȣ́τῳ, ὡς κἂν πολλοῖς ἄλλοις, διενηνοχέναι τȣ̀ς Ἕλληνας τῶν Αἰγυπτίων (ἐν Εὐτέρπῃ) ἀποφαίνεται· παρὰ γὰρ ἐκείνοις, „Ἱερᾶται γυνὴ μὲν ȣ̓δεμία, ȣ̓́τε ἄρσενος Θεȣ̃, ȣ̓́τε θηλέης. ἄνδρες δὲ πάντων τε ἢ πασέων.„ Καὶ τȣ̃το δὲ σύμφωνον τοῖς Θείοις θεσμοῖς τοῖς Ἑβραίων, παρ' οἷς τὸ θῆλυ γένος τῆς τῶν θειοτέρων λειτȣργίας ἐπείργεται.

Μετῄεσαν δὲ τὰ τῆς ἱερᾶς ὑπȣργίας καὶ οἱ γάμῳ συνημμένοι, ὡς ὁ Μάρων ἐκεῖνος ὁ ἱερατεύων Ἀπόλλωνι, ὃ περ Ὀδυσσεὺς, καὶ συζύγȣ, καὶ τέκνων ὑπερασπίσατο· (Ὀδυσ. Ι'. ϛ. 199.) καὶ ὁ Χρύσης, οὗ Βρισηὶς ἦν ἡ θυγάτηρ. (Ιλ. Α'. ϛ. 95. καὶ 369.) Οὕτω καὶ Δάρης ὁ Ἡφαίςȣ Ἱερεὺς, ὁ παρὰ Τρωσὶ προεδρεύων (Ἰλ. Ε'. ϛ. 47.) δύο υἱȣ̀ς ἦν ἔχων· ἐπὶ δὲ τῆς αὐτῆς Ῥαψῳδίας (ϛ. 76.) καὶ Ὑψήνωρ διαμνημονεύεται ὁ τȣ̃ Δολοπίωνος, ὃς ῥα Σκαμάνδρȣ ἀρητὴρ ἐτέτυκτο· καθάπερȣ̃ν (ἐν Ἰλ. Π. ϛ. 604.) Λαογόνος ὁ Ὀνήτορος

τῦ ἱερατεύοντος Διὶ τῷ Ἰδαίῳ. Παραπλησίως δὲ ἐκ τῶν γυναικῶν, Θεανὼ μὲν ἡ Ἀντήνορος εὐνέτις, τῦ ἐν Τροίῃ Νεῷ Ἀθήνης ἦν προεστηκεῖα. (Ἰλ. Ζ΄. ϛ. 298.) Παρὰ δὲ τοῖς ὕστερον, ὡς Εὐστάθιος μαρτυρεῖ, συνεχέστερον τὰς παρθενευούσας εἰς τὸ Ἱερᾶσθαι ᾑρῦντο, ἤγῦν τὰς ἄχρι τελευτῆς ἐν ἁγνείᾳ βιῦν νομοθετῦμένας: οἷάπῦ θεασιάσιν ἐν τῷ Ηρακλέῦς τεμένει. „Παρθένος Ἱερᾶτο ἐς᾿ ἂν ἐπιλάβῃ τὸ χρεὼν αὐτήν:„ ἢ διέξεισι Παυσανίας· (ἐν τοῖς Βοιωτικ. Κεφ: ΚΖ΄.) ἢ ἄλλως, ἐς᾿ ἂν ἐπίγαμος γένηται: οἷάπερ κατὰ τὸν αὐτὸν (ἐν τοῖς Κορινθιακ. Κεφ. ΛΓ΄.) ἡ ἐν τῷ Ποσειδῶνος Ἱερῷ, τῷ παρὰ Τροιζηνίοις, καθιερωθεῖσα, „ἐς᾿ ἂν ἐς ὥραν προέλθῃ γάμῦ.

Ἐτύγχανον δὲ πρῶτον τε καὶ μάλιστα μετιόντες τὴν Ἱερωσύνην ἐκ διαδοχῆς, ἀντὶ τῶν τεκόντων οἱ φῦντες· ὃ δὴ παρ᾿ Αἰγυπτίοις καθ᾿ Ἡρόδοτον (ἐν τῇ Εὐτέρπῃ) ἀμεταθέτως ἐκράτει παρατηρῦμενον. Καὶ Πλάτων δε (ἐν ϛ. τῶν Νόμων) ὡσαύτως διατάσσων ὑπῆρξεν: „Ἱερέων Ἱερέας, οἷς μὲν εἰσὶ πάτριαι αἱ Ἱερωσύναι, καὶ αἷς, μὴ κινεῖν.„ Ἄλλως δ᾿ ῦν, ᾑρῦντο καὶ ξένοι μετάπεμπτοι, ἤτοι ψήφῳ, ἢ κλήρῳ, καθάπερ ὁ αὐτὸς διεθέσπισε „Τῦτων δὲ πάντων τὰ μὲν αἱρετὰ χρὴ, τὰ δὲ κληρωτὰ ἐν ταῖς καταστάσεσι γίγνεσθαι.„ Τῦ δέ τοι μάρτυς ἐςὶ πιςὸς ϗ ὁ Ἀλικαρνασσεὺς Διονύσιος: (Ἀρχαιολ.: Βιβλ. Β΄.) „Εἰπὼν γὰρ τοὺς παλαιῦς, κλήρῳ διαιρεῖν τοὺς Ἱερεῖς εἰωθέναι, (προσέθηκεν) ἀξιῦντας ἀργυρίῳ τὸ τίμιον ἀποκηρύττειν.„ Γράφει δὲ καὶ Εὐστάθιος τῦς πάλαι ὑπειληφέναι, Θεανὼ τὴν Ἀθήνης Ἱέρειαν ὑπὸ τῦ Δήμῦ τῦ Τρωϊκῦ κατασταθῆναι. „ῦτε κληρωτὴν, ῦτ᾿ ἐκ γένῦς, ῦτε ἐνὸς ψήφῳ, ἀλλ᾿ ἦν, ὡς οἱ παλαιοὶ φασὶ, τὸ πλῆθος εἵλετο: περὶ γὰρ αὐτῆς Ὅμηρος ἔφη, ὅτι Τρῶες ἔθηκαν.

Τὰ πολλὰ δ᾿ αὐτοῖς ἡ ἕδρα καὶ οἴκησις ἦν ἀγχῦ τῶν Ναῶν καὶ τῶν Ἱερῶν χωρίων, ὡς δῆλον ἐκ τῶν ἱερατευόντων Ἀπόλλωνι τῷ

Δελφικῷ: (ἐν τῷ Ὕμν.) καὶ τῶν τοῦ Διός τοῦ Δωδωναίου, (Ἰλ. Π. ς. 234.) Καὶ ὁ ἀρητὴρ δ᾽ Ἀπόλλωνος ὁ Μάρων, ἐν τῷ ἄλσει ἐσκήνου, ὅπου τὰ πρὸς τὸ ζῆν χρειώδη αὐτῷ ἐπήρκουν, ἐκ τῶν τοῖς Θεοῖς εἰωθότων προσφέρεσθαι: ὅπερ οὖν καὶ τοῖς ἐν Δελφοῖς Ἱερεῦσιν ἰδίᾳ καθυπισχνεῖται Ἀπόλλων, (ἐν τῷ Ὕμν:) Ὅτι δὲ ἄρα καὶ πλούτου περιουσίᾳ διετέλουν κομῶντες, δεῖγμα ὁ Δάρης, „ὁ ἀφνειὸς ὢν ἀμύμων Ἱερεὺς Ἡφαίστοιο:„ (Ἰλ. Ε΄. ς. 9.) Καὶ περὶ τῆς Εὐρυδάμαντος δὲ τοῦ πλουτισμοῦ ἀφθονίας γίγνεται λόγος, ἣν τῶν Υἱῶν ἀναιρεθέντων χηρωσταὶ δατέοντο: (Αὐτ. ς. 158.) Ἀλλὰ καὶ Χρύσης ὑπὲρ τοῦ Θυγατρὸς προσῆγε τοῖς Ἕλλησιν ἀπερείσια ἄποινα: (Ἰλ. Α΄. ς΄ 95. καὶ 372.) ὅθεν δῆλον, ὅτι καὶ τούτων πολλοὶ ἐξ οἴκων γεγόνεισαν λαμπροτέρων, ὡς Θεανὼ ἡ Ἐννυὸς Πριάμου τοῦ Ἄνακτος, καὶ δὴ καὶ Ἕλενος ὁ Υἱὸς. Μᾶλλον δὲ καὶ Βασιλεῖς αὐτοὶ ἐπὶ τῶν Ἡρωϊκῶν χρόνων τὰ τῆς Ἱερωσύνης μετῄεσαν, ὡς Ἀριστοτέλης διεπιστώσατο. (ἐν Γ΄. τῶν Πολιτικ. Κεφ. ΙΔ΄.

## ΚΕΦΑΛ. ς.

## Περὶ τῶν Ἁγνισμῶν.

Ἐπὶ τῆς τῶν Θεῶν αὐτῶν θεραπείας ἐχομένως ἔγγιον ἔλθωμεν· ἐν ᾗ πρὸ πάντων παρατηρητέον: διαφερούσης αὐτοῖς δεῖσθαι καθάρσεως νενομικέναι, τοὺς τὰ Ἱερὰ ἐπιβαλλομένους μεταχειρίζεσθαι. Τοιγαροῦν καὶ τὰς χεῖρας εὐλαβῶς εἰώθεσαν νίπτεσθαι, ὁσάκις εὐχὰς ἔδει τοῖς Θεοῖς ἀνασπένδειν, ἤγουν καὶ θύειν. Οὕτως ὁ Νέστωρ, (Ἰλ. Ι΄. ς. 191.) ὡς ἂν οὕτε καὶ καλῶς αὐτῷ ἕξῃ τὰ τῆς πρεσβείας τῷ Διῒ εὐξόμενος: „Φέρτε δὲ χερσὶν ὕδωρ (ἔφη) εὐφημεῖσθαι τε κέλευσε. Καὶ

Α'χιλλεὺς ὑπὲρ τῆς Πατρόκλέυς σωτηρίας καθικετεύσων (Ἰλ. Π. ς. 230.) „Νίψατο δ' αὐτὸς χεῖρας „ Καὶ Ἕκτωρ διευλαβούμενος φαίνεται (Ἰλ. Ζ. ς. 266) χερσὶν ἀνίπτοισιν Διὶ λείβειν αἴθοπα οἶνον", ὃ δήπου ῥήμασιν ἰσαρίθμοις ἀποτρέπων ἐστὶ καὶ Ἡσίοδος (ἐν τοῖς Ἔργοις ς. 22.) „Καὶ Ἀχαιοὶ δὲ θύσοντες χερνίψαντο:,, (Ἰλ. Α'. ς. 449.) Κατὰ τὸν αὐτὸν τύπον καὶ Πλαῦτος ἐν τῷ Ἀμφιτρύωνι (ἐν Πράξει Ε'. Σκηνῇ Α'. ς. 41.) Invocat Deos manibus puris „ἐπικαλεῖται τοὺς Θεοὺς χερσὶν ἁγναῖς. καὶ ἐν τῇ Αὐλουλαρίᾳ:,, (Πράξ. Γ'. Σκηνῇ ς. ς 43.)

Ego, nisi quid me vis, eo lavatum, ut sacrificem.
„(Αὐτὸς, εἰμήτι με θέλεις, εἶμι νιψόμενος.)„

Ἀλλ' ἔτι καὶ καθαροῖς ἀμφίοις, τὰ ἱερὰ ἐκτελέσοντες ἀπεχρῶντο, ὥσπερ καὶ Πηνελόπη, (Ὀδυσ. Δ'. ς. 150.)

Ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα
Εὔχετο.

Οὕτω δέτοι καὶ ὁ Λατῖνος Ποιητής.

Casta placent superis, pura cum veste venite
. . . . . . . . . . . . . et pura cum veste sacerdos.
Τὰ ἁγνὰ τοῖς Οὐρανίωσιν ἁνδάνει, καθαρᾷ σὺν ἐσθῆτι δεῦτε
. . . . . . . . . . καὶ καθαρᾷ σὺν ἐσθῆτι ἀρητήρ.

Ἔνθεντοι καὶ κατὰ τὸν Πολυδεύκην ἐκεῖνοι (Βιβλ. Α'. Κεφ. Α.) οἱ Θεοῖς προσιόντες, περιῤῥανάμενοι ὑπὸ νεουργῷ στολῇ καὶ νεοπλυνεῖ ἐσθῆτι. Πρὸς δὲ δὴ τούτοις, καὶ αὐτὰ τὰ σκεύη, τὰ εἰς ἱερὰν χρῆσιν καθωρισμένα, ἔθος ἦν προκαθαίρειν, ὡς Ἀχιλλεὺς ἐποίησεν, ἐν κρατῆρι σπεισόμενος. (Ἰλ. Π. ς. 228.)

Ἐχρῶντο δ' ἐπὶ τοῖς καθαρμοῖς τὰ πλεῖστα ὕδατι ἁλμυρῷ, διὰ τὸ ἐνὸν τῆς πυρώδους φύσεως, ἥ φησὶ Πρόκλος, καθαρτικῆς εἶναι νομιζομένης: διὸ καὶ ὕδωρ τὸ θαλάσσιον ἄριστον. Οὕτω Τηλέμαχος (Ὀδυσ: Β'. ς. 261.)

Χεῖρας νιψάμενος πολιῆς ἁλὸς εὔχετ' Ἀθήνῃ.

Ἄλλως τε γε μὴν καὶ τῷ γλυκερῷ ὕδατι ἐνεβάλλετο ἅλας, κατὰ Μένανδρον „Ὕδατι περιῤῥάνας, ἐμβαλὼν ἅλας. Καὶ Θεόκριτος δὲ ἐν τῷ Ἐλάσσονι Ἡρακλεῖ ἔφη: (τουτέστιν ἐν τῷ ΚΔ'. Εἰδυλλ. ς. 95. καὶ 96.)

Ἅλεσσι μεμιγμένον, ὡς νενόμισται,
Θαλλῷ ἐπιῤῥαίνειν ἐστεμμένον ἀβλαβὲς ὕδωρ.

Προστίθησι δ' αὐτόθι προηγουμένως καὶ θεῖον· ᾧ δὴ καὶ Ὅμηρος ἐποίησεν Ἀχιλλέα ἐν τῇ τοῦ Κρατῆρος ἀποπλύνσει χρησάμενον: (Ἰλ Π. ς. 228.) „ἐκάθηρε θεείῳ πρῶτον, ἔπειτα δε νίψ' ὕδατος καλῇσι ῥοῇσι.„ ὡσαύτως δὲ καὶ τὸν Ὀδυσσέα ἐν τῷ τὴν οἰκίαν καθαίρειν. (Ὀδυσ. Χ. ς. 481.) Ἀλλὰ γὰρ οὔτε παρὰ ταῦτα, ἔτι καὶ πῦρ προσελάβετο, οὐ τὴν ἰσχὺν οὐ μικρὰν ἐπὶ ταῖς ἀφαγνίσεσιν ὑπελάμβανον. Ταῦτα δὲ παραπλησίως συνῆψε καὶ Ἰουβενάλιος (ἐν Β'. Σατυρ, ς. 157. 158.)

Cuperent lustrari, ſi qua darentur.
Sulphura cum taedis.

„Βούλοινθ' ἁγνίσαιθ' εἰ θεῖα παρῆν δαΐδες τε.

Καὶ Ὀυΐδιος δὲ ἐν ταῖς Μεταμορφώσεσι (Βιβλ. 7. ς. 261.)

Terque ſenem flamma, ter aqua, ter ſulphure luſtrat.

Τρὶς γεραὸν φλογὶ, τρὶς δέγε ὕδατι, τρὶς δὲ θεείῳ Ἁγνίζει.

ἔνθα δὴ συνέδραμε καὶ τὰ τρία. πρὸ δὲ πάντων τὰς μιανθέντας αἵματι καθαγνιςέας εἶναι ἐνόμιζον· ἔνθεντοι, τὸ τῦ Ἕκτορος ἐκεῖνο: (Ἰλ: Ζ'. ς. 267.)

. . . . Οὐ δέπη ἐςί, κελαινεφέϊ Κρονίωνι.
„Αἵματι καὶ λύθρῳ πεπαλαγμένον εὐχετάασθαι·„

Ἐζήλωσε δ' Ἕκτορα καὶ ὁ παρὰ τῷ Οὐϊργιλίῳ Αἰνέιας (ἐν Β'. Αἰν: ς. 718.)

Me bello e tanto digreſſum, et caede recenti,
Attrectare nefas, donec me flumini vivo
Abluero.

„Τᾶν γάρ μ' ἐκ πολέμοιο, φόνων τ' ἐλθόντα τοσῶν δε,
„Ψαυέμεν ἐ θέμις, ἔσθ' ὕδασ' ἐιν ἁγνοῖς λοεσαίμην.

Οὕτω δέτοι καὶ τῷ οἴκῳ τῷ Ὀδυσσέως καθαρμῦ ἐδέησε, διὰ τὴν ἐν αὐτῷ τῶν μνηςήρων ἀναίρεσιν. (Ὀδυσ: Χ. ς. 481.) Καὶ Ῥωμαίοις δὲ μετὰ τὴν τῶν συνομωτῶν φονοκτονίαν, πάνδημος ὁ ἀφαγνισμὸς διετάχθη: (Διονύσ: ὁ Ἁλικαρν: ἐν Βιβλ. Ε'.) „Ὡς ἐ θεμιτὸν „αὐτοῖς ἐφ' Ἱερὰ παρεῖναι, καὶ θυσιῶν κατάρχειν, πρὶν „ἀφοσιώσασθαι τὸ μίασμα, καὶ τὴν συμφορὰν λῦσαι τοῖς „ειωθόσι καθαρμοῖς.„ Οὕτω δεινὸν εἶναι ἐδόκει, καίτοι ἐπὶ δικαίοις, ἡ τῦ βροτείε αἵματος χύσις. Ἀλλὰ γὰρ καὶ ἐν ὁποιαδήτινι ἄλλῃ, σύνηθες ἦν πρὸς ἐξιλασμὸν τὰς Χεῖρας ἐκπλύνειν, ὡς ὁ Σχολιαςὴς Σοφοκλέυς διδάσκει: „Ἔθος ἦν τοῖς παλαιοῖς, ὅτε φόνον ἀνθρώπε „ἢ ἄλλας σφαγὰς ἐποίεν, ἀπονίπτειν τὰς χεῖρας εἰς κά„θαρσιν τῦ μιάσματος.„ Καὶ ἐπίσημον ἦν ἄρα ἐκεῖνο τὸ τῆς ἐξιλεώσεως εἶδος τὸ παρ Ἀπολλωνίῳ, ἐν ᾧ διὰ σφαγῆς χοιριδίε αἱ τῦ φονευτῦ χεῖρες ὑπὸ τῦ Ἱερέως ἐπλύνοντο.

Ἀλλὰ καὶ δι' αἰτίας ἄλλας οἱ καθαρμοὶ τοῖς παλαιοῖς ἀπετελῦντο: Τοιῦτος ὁ κελεύσματι Ἀγαμέμνονος, ἐν τῷ ςρατῷ τῶν Ἑλλήνων πανδή-



ΔΗΜΟΚΡΑΤΙΚΗ ... ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

μως γενόμενος, ἡνίκα ἐξιλαθεῦσαι Ἀπόλλωνα ἔδει, ἕνεκα τῆς τέτε γενομένης ὕβρεως. (Ἰλ: Α'. ϛ, 313.)

„Λαοὺς δ' Ἀτρείδης ἀπολυμαίνεσθαι ἄνωγ
„Οἱ δ' ἀπελυμαίνοντο, καὶ εἰς ἅλα λύματ' ἔβ

Πausανίας δ' ἐν Ἀρκαδικ: (Κεφ: ΜΑ'.) τῦ λοιμ γενέσθαι τό δ' ὑπείληφεν, ὃς λήμη παρ' Ἕλλησιν ὠνομάζετο. περὶ τῦ Ποταμῦ διέξεισι τῦ Λύμακος ὀνομασθέντος. παρ Ῥέας μετὰ τὸ αὐτῇ τὰς ἐκ τῦ τοκετῦ Διὸς ὠδίνας, ἐν ὕδο κοῖς καθαρθείσης, ἐπὶ τὸν Ποταμὸν ἐκεῖνον ἀποῤῥιφῆναι τὰ Λι καὶ μιάσματα, ἐξ ὗ δὴ τὸ ἔθος, τὸ ἐς τὸ ὕδωρ τὰ ῥύματ ῥίπτειν, τὸ ἐν ταῦθα τοῖς Ἕλλησι παρατηρηθὲν. Ταῦτα γὰρ καθάρματα, ἐν τῇ γῇ ἐνορύττεσθαι προειωθέναι δείκνυσι Παυσανίας, (Κορινθ: Κεφ: ΛΑ'.) ὡς ἐπὶ τῆς τῦ Ὀρέςυ ἀφοσιώσεως τῆς παρὰ Τροιζηνίοις γενομένης ἱςόρησεν.

ΚΕΦΑΛ Ζ.

## Περὶ Ἱκετηριῶν καὶ εὐχῶν.

Οὕτως εὖ δὴ καὶ καλῶς καθαρθέντες ἐπὶ τὰ ἔργα τῆς εὐ τρέποντο, ἣν ὁ Πλάτων (ἐν τῷ Εὐθύφρονι) κεῖσθαι πᾶσα „ἐν τῷ εὔχεσθαι καὶ τῷ θύειν. „ὧν, τὸ μὲν ἐςὶ, δ „τοῖς θεοῖς, (ἤτοι δῶρα προσάγειν) τὸ δὲ, αἰτεῖν Οὕτω πως ἐν τῷ διδόναι τε καὶ ζητεῖν ἅπαν τὸ τῆς θρησκεία ται. Περὶ μὲν ὖν τῆς αἰτήσεως διαληψώμεθα πρῶτον, ὕτως ποις τῦ τῆς ἀνάγκης νόμυ διατάττοντος, ἣν Ὅμηρος πρὸς

„ἐφαπλοῖ. (Ὀδυσ. Γ΄. ϛ. 48.) Πάντες δὲ Θεῶν χατέϛσ' ἄνθρωποι. Ὥσπερ ἐν ἀνθρώποις αἱ τοῦ κοινοῦ βίου διαφέρουσι χρεῖαι, οὕτω διαφέρουσαι ὑπῆρχον καὶ αἱ πρὸς Θεοὺς διαφόρους γινόμεναι ἱκεσίαι, ἢ τούτων ἑκάϛῳ τὰ ἀνήκοντα διεκρίνετο. Τρῶες μὲν γὰρ, (Ἰλ. Ζ΄. ϛ. 305.) τῆς Πόλεως σφίσι κινδυνευούσης, Ἀθήνην ἐπεκαλοῦντο τὴν Ἐρυσίπτολιν. Οἱ δὲ μνηϛῆρες Πηνελόπης ἐν τοξείαις ἐρίζοντες, Ἀπόλλωνα: Ὀδυσ: Φ. ϛ. 261.) προσθείης δ' ἂν καὶ Ὀδύσ Χ. ϛ. 7.) Ναυτικοὶ δὲ, Ποσειδῶνα, ἢ Κάϛορα. (ἐν τῷ Ὕμν.) ἄλλοι δὲ ἄλλους, οὕσπερ διαφερόντως τύχοιεν σεβαζόμενοι· Οἷον Ἀθηνᾶν Ὀδυσσεύς. Κοινῇ δὲ καὶ ἐνδελεχῶς, πάντες τὸν Δία, ἐξ οὗ τῶν δισσῶν πύθων πάντα ἤγοντο, καὶ καλὰ καὶ κακὰ ἀφυσσόμενα. (Ἰλ. Ω΄. ϛ. 527.)

Καθόλου τοιγαροῦν ἅπαν ἔργον, ὅ, τι καὶ λόγου ἄξιον εἴη, ἐπιβαλλόμενοι, τοὺς Θεοὺς πρὸ πάντων ἐξήρχοντο ἱκετεύειν, ὧν μὴ ἐπαρηγόντων, οὐδὲν ᾤοντο περαίνεσθαι εὐτυχῶς. Τουτὶ γοῦν ὁ Νέϛωρ παρατηρεῖ, τὴν πρὸς τὸν Ἀχιλλέα πρεσβείαν ἀναληψόμενος. (Ἰλ. Ι. ϛ. 172.) καὶ Πρίαμος, τὸν τοῦ Υἱοῦ νεκρὸν παρὰ τοῦ αὐτοῦ αἰτησόμενος. (Ἰλ. Ω΄. ϛ. 306. κξ.) καὶ Ὀδυσσεὺς τὴν παρεμβολὴν τῶν Τρώων κατασκοπεύσων. (Ἰλ. Κ. ϛ. 277. κξ.) καὶ Τηλέμαχος τελευταῖον, ἐπὶ τὸν εἰς Πύλον πλοῦν παρασκευαζόμενος. Νόμον οὖν ἐντεῦθεν γενικόν τινα φέρει ὁ Πυθαγόρας: „Ἔρχεω ἐπ' ἔργον, θεοῖσιν ἐπευξάμενος.„ τὸν δὲ Νόμον τόνδε ὁσίως τετηρηκέναι τοὺς Ἕλληνας, ἐκ τῶν ὑπομνημάτων αὐτῶν κατάδηλον. Ἔργῳ γὰρ τῷ τυχόντι ἐπιχειροῦντες, Θεὸς, Θεὸς κράζειν εἰώθεσαν. Ταῦτοι καὶ μετὰ τὴν τοῦ ἔργου ἐκτέλεσιν, χάριτας τοῖς Θεοῖς δημοσίᾳ καθωμολόγουν, ὡς πολλὰ παρ' Ὁμήρῳ κατιδεῖν ὑποδείγματα πάρεϛι.

Τοιγαροῦν ἐφ' ᾧ καὶ ῥᾷον ἐκδυσωπήσωσιν αὐτοὺς δῶρα τοῖς θεοῖς ἀπονεμεῖν ὑπισχνοῦντο· Οὕτως ἡ Θεανὼ, σὺν ἅμα ταῖς λοιπαῖς Τρωϊάσιν, Ἀθήνην καθικετεύσασα, τὸ Πέπλον προσάγει· καὶ ἅμα δὲ, καὶ δυωκαίδεκα βόας προσεπαγγέλλεται μετάγε τὴν ἀπολύτρωσιν, ἐπιθύσειν. (Ἰλ. Ζ΄. ϛ. 302.) Ἀθήνῃ δ' ἔτι καὶ Νέϛωρ, ὑπὲρ τῆς εἰς Ἑλλάδα

ἐπανόδε, ἐν Σωτηρίᾳ, εὔχεται Ταύρες ἐννέα. Παραπλ
Αἰνείας ἐκλιπαρῶν Ἀφροδίτην, (Αἰνειάδ. Α΄. ς. 338.)

Multa tibi ante aras noſtra cadet hoſtia d

„ (Πολλὰ τεοῖς αὐτοὶ ἐπιρέξομεν ἱεράγε β
Καὶ Αἰνειάδ. Ε΄. ς. 256.

Vobis laetus ego, hoc candentem in littor
Conſtituam ante aras votis reus . . .

„ Ἄμμιν ἐγών, εὔφρων μάλα, τῇ δ᾽ ἀκτῇ και
„ Ἀργινόεντα θύσω, βωμοῖς ἔπι, ἔνοχος ἐυ

Ταῦτα γὰρ δὴ τὰ δῶρα τὰ Λατίνοις (vota) ἰδίως λε
ἱκεσίαις τὰ πολλὰ συναπτόμενα, μᾶτε καὶ τῇ αὐτῇ φ
Εὐχῆς, καθ᾽ Ἕλληνας ἐκδηλῦται: Ἕλλησίτε δὲ αὐτά,
καὶ ἄλλοις ἔθνεσιν ἐν χρήσει γενέσθαι τινὶ δεινῷ περιςατυμέ
τῶν Συγγραφέων ἀναγνώσεως κοινῇ ἀναμαθεῖν πάρεςιν. Ὁ
„ Ὁμήρε Σχολιαςὴς ἔφη „ Ὅτι, δυςυχίας ἐπίτασι
„ τηρίας ἀπόγνωσις, ἐυχὴ Θεῶν. Καὶ Πλίνιος (Βιβλ.

Tum praecipuus votorum locus eſt, cum ſpei

„ (Περιυσία εὐχῶν, ἐν ἀπυσίᾳ ἐλπίδων.)

Ἐν τῷ δὲ τὰς εὐχὰς ἐκπληρῦν τάς δε, πολλῇ
εὐλαβείᾳ ὑπῆρχον καὶ Ὁσιότητι, χαλεπῶς λίαν ἡγῦ
τὺς Θεὺς τῆς ἐπαγγελίας ἀθετυμένης. Διὸ καὶ τὰ δεινότε
σκηπτόντων συςυχημάτων, ἐπὶ τὸ τοιόνδε ὅλως πλημμέλη
Καθάπερ Ἀχιλλεὺς (Ἰλ. Α΄. ς. 65.) τὸν λοιμὸν ἐντεῦθεν
Ἀπόλλων κατὰ τῶν Ἑλλήνων ἐφῆκεν:

„ Εἴτ᾽ ἄρ᾽ ὅγ εὐχωλῆς ἐπιμέμφεται, εἴθ᾽ ἐ
Καὶ Αἰνείας δὲ τὸν ὄλεθρον τῶν Τρώων ὡσαύτως: (Ἰλ. Ε

„Εἰ μή τις Θεὸς ἐςὶ κοτεσσάμενος Τρώεσσιν
Ἱρῶν μηνίσας. . . . .

Καὶ ὕτω δὲ καὶ παρὰ Θεοκρίτῳ (ἐν Εἰδυλ ΚΕ'. ς. 200.) Ἡρακλῆς ἔφη, οὐδενὶ Ἀχαιῶν εἶναι δῆλον, ὁπόθεν ἂρ ἐκεῖνος ὁ Λέων ὁ πάντα καταςρεφόμενος· αὐτόν δ' εἰκάζειν, τῶν Θεῶν τινὰ:

Ἱρῶν μηνίσαντα, Φορωνήεσσιν ἐφεῖναι.

Πρὸς δ' ἔτι καὶ Ἱερῶν, ἢ ἀναθημάτων, ὧν ἄλλοτε Θεοῖς προσαγηόχεσαν, ὑπεμιμνήσκοντο ἱκετεύοντες· Οὕτως ὁ Χρύσης Ἀπόλλωνα „ἐκλιπαρεῖ: (Ἰλ. Α'. ς. 39. 40.) „Εἴποτε αὐτοῦ τὸν Ναὸν διε„τέλεσεν ἐρέψας ἢ, εἰδήποτε αὐτῷ κατὰ πίονα μηρί ἔκηεν„ Ὡσαύτως καὶ Κροῖσος τὸν αὐτὸν Ἀπόλλωνα ἐπικέκληται, ἢ διέξεισιν Ἡρόδοτος, (ἐν τῇ Κλειοῖ Κεφ. ΝΖ'.) Ὅτε ἐπὶ τῆς πυρᾶς τεθεὶς,„ φλογὸς παρανάλωμα ὅσον οὔπω ἔμελλεν εἶναι: „Εἴτι οἱ κεχαρισμένον ἐξ αὐτῦ ἐδωρήθη παραςῦναι.„ Ἐφ' ᾧ καὶ Λυκιανὸς τὺς Ἕλληνας ἐπισκόπτει, εἰδήπερ αὐτοὶ ᾤοντο, μηδέν τι τὺς Θεὺς δωρεὰν διδόναι, τοῖς ἀνθρώποις δὲ τ' ἀγαθὰ πάντα διαπιπράσκειν. Ἰδιαίτερον δ' ἐπεμβαίνει τῷ Χρύσῃ: ὃς δῆθεν, πρὸς τῦ Ἀγαμέμνονος τὴν θυγατέρα μὴ ἀπολαβὼν, „Ὡς ἂν καὶ προδανείσας Ἀπόλλωνι τὴν χάριν, δικαιολογεῖται, καὶ ἀπαιτεῖ τὴν ἀμοιβήν.„

Ὅσα δ' εἰς τὸν τύπον τείνει τῦ ἱκετεύειν, χεῖρας εἰς Οὐρανὸν αἴροντας ἀπειραχῦ παρ' Ὁμήρῳ ὁρῶμεν τὺς δεομένυς. Τῦτὶ γάρπως ἔμφυτον ἀνθρώποις ἅπασιν Ἀριςοτέλης μαρτυρεῖ, ἐν τῷ περὶ Κόσμυ. „Πάντες ἄνθρωποι ἀνατείνομεν τὰς χεῖρας εἰς τὸν Οὐρανὸν εὐχὰς ποιῦμενοι,„ Ἀμέλει καὶ γὰρ ἀναπείθονται πάντες, ὅτι το Θεῖον ἐπὶ τὸ ὑπέρτατον ἵδρυται τῦ κόσμυ· διὸ καὶ ὁ ὐρανὸς, Θεῶν ἕδος, Ὁμήρῳ τε καὶ τοῖς ἄλλοις τῶν ποιητῶν εἴρηται. Οὕτως (Ἰλ. Ε'. ς. 367. καὶ 868. Καὶ Ὀδυσ. Ζ'. ς. 42.) Καὶ ἀθανάτων ἕδος (Ἰλ. Ε'. ς. 360 καὶ Ἰλ. Θ'. ς. 356.)

Ἀποκαλεῖ δὲ καὶ Ἀριστοτέλης „Θεοῦ οἰκητήριον τοῦ κόσμου
Περὶ οὗ ἄριστα διείλεκται καὶ Τερτυλλιανὸς ἐν τῷ Ἀπολ
Κεφ. ΙΖ.)

Ἄλλως τε καὶ ἐπὶ τὰ Θεῶν Τεμένη δημοτελῶς κατι
ζόμενοι, ἐκεῖσε μᾶλλον παρόντας εἶναι πιστεύοντες. Διόπερ
„Ναὸς (φησὶν) οἶκος ἐστὶν ἔνθα Θεὸς προσκυνεῖται
φοιτῶντες ἐπ᾽ αὐτὸν προσιέναι τοῖς Θεοῖς ἐλέγοντο:
Κικέρων ἐνιοῦν ὑπῆρχε, φάσκων (ἐν τοῖς περὶ τῶν Νόμ.)
caste adeunto: (Ἁγνῶς τοῖς Θεοῖς πρόσιθι.) Καὶ
δὲ, (ἐν Α΄. Βίβλ. ϛ. 39.)

Num feror incestus sedes adiisse Deorum?

Μὴ μιαρὸς φέρομαι προτὶ Θείων ἐλθέμεν ἕδ

Τῶν Ἰνδαλμάτων ἕνεκα δήπου, οἷς τισιν ὡς ὀφθαλμ
μένους εἰώθεσαν τοὺς Θεοὺς ἀντιβολεῖν: διὸ καὶ ἀπαρθέντων τῶν Ἰ
οἱ Ναοὶ ἅμα κατερημοῦντο: ὁ Παυσανίας (ἐν τοῖς Βιωτικ
τῷ Ναῷ συμβῆναι τῆς Ἀλαλκομενηΐδος φησὶν Ἀθηνᾶς, ἀ
τοῦ τῆς Θεοῦ σήματος. Οὕτω δέ τοι καὶ παρὰ τῷ Λιβίῳ (ἐν Ι
ποτνιῶνται οἱ Ἀμβρακιῶται, τὰ τῶν θεῶν σφίσιν ἀγάλμα
τε τέως τοὺς Θεοὺς ἐξ ἑδρῶν τῶν ἰδίων ἀποσπασθῆναι,
δὲ καθαιρεθῆναι, καὶ παραστάδας ἀπογυμνωθῆναι, μηδὲ π
λοιποῦ τοῖς Ἀμβρακιώταις Θεοὺς, οὕσπερ ἂν θεραπεύσειαν,
καθικετεύσειαν.

Δεῖγμα δὲ τῆς τοιᾶσδε καθικετεύσεως πρόκειται (Ἰλ. Ζ
Ἔνθα αἱ Τρωϊάδες ἐν δημοτελεῖ τῇ πομπῇ, Θεανοῦς προαγού
Ἀθηνᾶς Ἱερὸν προοδεύουσι, καὶ ὑπὲρ τῆς Τροίας ἤδη παρα
χεῖρας ἀνατείνουσιν ὀλολύζουσαι, καὶ τὸ πέπλον ἐπὶ τῶν
γονάτων κατατιθέασιν, οἷα Γραφικῶς παρέστησεν Οὐΐργίλιος. (Α

Interea ad templum non aequae Palladis
Crinibus Iliades passis, peplumque ferebai

„Τόφρα τ' ἀναρσίεω Νηὸν προτί βαῖνον Ἀθήνης,
„Χαίτας Ἰλιάδες προανεῖσαι, πέπλον ἄγουσαι.

Τὸ γοῦν ἔθος ἔωλον ἦν τοῦ ἐν περιστάσεσι μεγάλαις, ἐπὶ τὰ Ἱερὰ ἱκέτιδας τὰς γυναῖκας περιϊέναι. Πολύβιος καὶ γὰρ (ἐν Βιβλ. Θ'.) „ Αἱ δὲ „γυναῖκες (φησὶ) περιπορευόμεναι τοὺς Ναοὺς, Ἱκέτευον „τοὺς θεοὺς, πλύνουσαι ταῖς κόμαις τὰ τῶν Ἱερῶν ἐδάφη.„ Ἀλλὰ καὶ τὰς ὀλολυγὰς ἐπὶ τῶν ἱκεσιῶν καὶ δεήσεων, ὡς μάλιστα συνήθεις ταῖς γυναιξὶν Ἑλλήνων γενέσθαι, πολλαχόθεν ἐκ τῶν Ὁμήρου δηλοῦται. Τοὺς δέ τοι ὀλολυγμοὺς ἀπὸ τῶν Λιβυσσῶν, προελθεῖν Ἡρόδοτος μαρτυ„ρεῖ (ἐν τῇ Μελπομ. Κεφ. 189.) „ Δοκέει δ' ἐμοί γε καὶ ὀλολυγὴ „ἐν Ἱροῖσιν, ἐνταῦθα πρῶτον γενέσθαι.„ Ἀλλὰ καὶ τὸ πέπλα „εἰωθέναι προάγειν αὐτὰς, μάρτυς Αἰσχύλος: „Πέπλων καὶ στεφέων „πότ', εἰ μὴ νῦν, ἀμφὶ λιτὰν ἕξομεν. Ἔνθα ὁ Σχολιαστής. „Πα„ρετίθεσαν γὰρ καὶ πέπλους, καὶ ἐνέδυον καὶ πέπλους τὰ „ἀγάλματα„ Παρετήρουν δὲ καὶ τοῖς γόνασιν ἐπιτιθέναι τὰ παρ' ἔθνει παντίγε καθιερούμενα. Ταύτῃ τοι καὶ Ἀρνόβιος (ἐν ς'. Βιβλ.) „Signa, quorum plantas contigitis ac contrectatis orantes. „Τὰ Σημεῖα, ὧν ἅπτεσθαι, τῶν ἰχνῶν, καὶ ψηλαφᾶτε „εὐχόμενοι.

## ΚΕΦΑΛ. Η.

## Περὶ Σπονδῶν, καὶ θυμιάσεων, καὶ Οὐλοχύτων.

Οἷς δὲ τοὺς Θεοὺς ἠμείβοντο ἄνθρωποι ὡς ἐν γένει φάναι, ἤτοι θύματα ἦν, ἢ ἀναθήματα. Ἄμφω δὲ συνῆψε τὰ εἴδη Ἕκτωρ (Ἰλ. Ζ. ς. 270.) Ταῖς Τρωΐσιν ἐπιτάξας προσαγαγεῖν τὸ πέπλον Ἀθήνῃ, καὶ σὺν αὐτῷ

καὶ βῦς δυωκαίδεκα. Ὡ'σαύτως Αἴγισθος ὑπὲρ εὐκληρίας τῶν γάμων ὧς μετήει, (Ὀ'δυσ. Γ. ς. 273. 274.)

„Πολλά τε μηρί' ἔκηε Θεῶν Ἱεροῖς ἐπὶ βωμοῖς,
„Πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματάτε, χρυσόντε.

Ὁ δὲ Πλάτων (ἐν Β'. Πολιτ.) ὑποβάλλων τὰ περὶ ὧν ἐπιτελεῖν τοῖς Θεοῖς προσήκει, ἅμα συνάπτει θυσίας καὶ ἀναθήματα, ὡς κἀν τῷ τέρματι τῦ περὶ τῶν εὐχῶν βιβλίυ, δῶρα, καὶ θυσίας Συσέλλας δήπυ τὰ δῶρα, εἰς τε τὰ πρὸς καλονὴν ἀνατιθέμενα τοῖς Ναοῖς, καθ' ὃν δὴ λόγον καὶ παρὰ Λατίνοις ὠνόμασαι τὰ τοιαῦτα: munera καὶ donaria, ἧπερ ὀρθῶς διέκρινε Λακτάντιος ἐν τοῖς περὶ τῆς τῦ ἀληθινῦ Θεῦ Λατρείας. (Βιβλ. ς. Κεφ. Ε'σχάτῳ) Apud iſtos, qui nullo modo rationem divinitatis intelligunt, donum eſt quidquid auro argento ve fabricatur; item quicquid purpura et ſerico texitur; ſacrificium, victima, et quaecunque in ara cremantur. „(Παρ' αὐτοῖς „τοῖς μηδόλως τὸν λόγον τῆς Θεότητος ἐννοῦσιν, ἀνάθη„μα μὲν ἐςὶν ἅπαν τὸ χρυσίῳ τεκτονύμενον, ἢ αργυρίῳ, „καὶ ἔτι δὲ πορφύρατε καὶ σηρικοῖς νήμασιν ἐξυφαίνεται· „Θύμα δὲ τὸ ὁλοκαύτωμα, καὶ ὅσα ἐπὶ βωμῦ καίεται.„)

Ἐ'ν θύμασι σκεπτέον πρῶτον τὰς σπονδὰς (ἤτοι λοιβὰς), τὰ θυμιάματα, καὶ τὰ ὐλόχυτα· ἅπερ ἐν ἀρχῇ μὲν ἤγετο μόνα, ὕςερον δὲ, διετέθη ἐν παντὶ μέρει τῆς Ἱεροτελεςίας.

Αἱ σπονδαὶ παρ' Ἕλλησιν ἐν οἴνῳ μάλιςα ἐτελῦντο, ὕτω γὰρ ἑκαςαχῦ παρ' Ὁμήρῳ (Ἰλ: Α'. ς. 231. καὶ ς. 463. καὶ Ὀ'δυσ: Γ. ς. 459.) εἴρηται: „Λείβειν αἴθοπα οἶνον. ὁ δ' οἶνος καθαρὸς ἦν, „καὶ ἄκρατος: ἐξ ὗ καὶ αἱ σπονδαὶ ἄκρητοι. προσείρηνται. (Ἰλ: Β. ς. 341. καὶ Δ. ς. 159.) ὃ καὶ παρὰ Ῥωμαίοις εὐλαβῶς ὕτω παρε-

τηρεῖτο, ὡς καὶ ἐν οἴνοις τοῖς ἐξ Ἑλλήνων κομιζομένοις, ἀθέμιτον οἴεσθαι Θεοῖς ἐπισπένδειν, ἢ Πλίνιος μαρτυρεῖ. (Φυσ: Ἱστορ: Βιβλ: ΙΔ. Κεφ: ΙΘ)

Ἐπὶ τῇ τοιᾷδε χρήσει, ποτήρια χρυσουργῆ παρεσκεύαστο παρὰ „τοῖς εὐδαιμονεστέροις. Τοιοῦτον ἦν τὸ Πηλέως Χρύσειον ἄλεισον„ (Ἰλ: Λ. ς. 775. Πρόσθες καὶ τὸ Ὀδυσ: Γ. ς. 50 καὶ 53. καὶ „Ο. ς. 85. καὶ Χ. ς. 10.) καὶ τὸ Μενελάου δὲ Χρύσεον δέπας. „ (Ὀδυσ. Ο. ς. 419.) μέτιθι δὲ καὶ Ἰλ: Δ. ς. 3. καὶ Ψ. ς. 196. καὶ Ω. ς. 285. Καὶ Ὀδυσ: Γ. ς. 41. καὶ 472. Καὶ Κ. ς. 316. καὶ Ο. ς 149. καὶ Σ. ς. 120. καὶ 261. Ἐξόχως δὲ διαθρυλλεῖται „(ἐν Ὕμν: τῷ εἰς τὸν Ἀπόλλ. ς. 10.) τὸ Διὸς Χρύσειον δέπας. Τουτωνὶ γοῦν τῶν Ποτηρίων οἴνου πληρουμένων, βραχύτι ἀπὸ χειλέων ἄκρων ἀπέχεον εἰς Θεῶν τιμὴν, τὸ δὲ λοιπὸν ἐξέπινον αὐτοὶ οἱ σπένδοντες, ὡς ἐκ πολλῶν Ὁμηρικῶν τόπων γίνεται δῆλον. Ἀλλ' ἦν ἔξοχον τὸ Ἀχίλλειον δέπας ἐκεῖνο, ἐξ οὗ μηδενὶ προπίνων ἐτύγχανεν ἀνδρὶ ἑτέρῳ, μηδενί τε Θεῶν, πλὴν ἢ τῷ Ζηνὶ σπένδων καὶ μόνῳ. (Ἰλ: Π. ς. 227.)

Αἱ δὲ σπονδαὶ αὗται Ἱκετηρίαις τὰ πλεῖστα συνήπτοντο: Ἰλ: Π. ς. 231.) Οἷαι περ ἃς Ἀχιλλεὺς ὧδε ὑπὲρ τῆς Πατρόκλου σωτηρίας σπένδεται. Καὶ Νέστωρ δ' οὕτως ἐποίει ὡς Ἀχιλλέα ἀπελευσόμενος. (Ἰλ: Ι. ς. 171. 172.) καὶ Πρίαμος. (Ἰλ. Ω. ς. 306.)

Καὶ τὰς ἐπιθυμιάτεις δὲ, οὐ μικρὸν δύνασθαι ᾤοντο Ἕλληνες πρὸς Θεῶν ἐξιλέωσιν, διὸ καὶ ταῖς σπονδαῖς αὐτὰς καὶ ἱκεσίαις Ὅμηρος συνεζεύγνυ. (Ἰλ. ς. 495.)

„Καὶ μὲν τοὺς Θυέεσσι, καὶ εὐχωλῆς ἀγανῇσι,
„Λοιβῇτε, κνίσσῃτε, παρατρωπῶσ' ἄνθρωποι.

Καὶ Ἡσίοδος (ἐν τοῖς Ἔργοις, ς. 336.) τοῖς περὶ Γεωρ„γίαν ἀσχολουμένοις διαγορεύει, πρωΐαστε καὶ ἑσπέρας τοὺς Θεοὺς σπου-

δῆσι. Θυέεσσίτε ἱλάσκεσθαι: Παραπλησίως δὲ καὶ τὴν αὐτῦ μητέρα ἐπὶ τὸν Α᾽θήνης Ναὸν σπεύσασαν εὔξασθαι. ( Ἰλ. Ζ. ς. 269.)

„ . . . . Πρὸς νηὸν Α᾽θηναίης ἀγελαίης,
„Ε᾽ρχεο σὺν θυέεσσιν. . . . . . . .

Ε᾽ξ ὖ καὶ τὰ Ἱερὰ τεμένη, καὶ οἱ βωμοὶ Θυο σεέρηνται καὶ Θυόεντες: Οἷονπερ ἰδιαίτερον ἤκυε τὸ ει τῆς Α᾽φροδίτης: (Ἰλ. Ε.) Περὶ ὖ καὶ Οὐϊργίλιος ἐν Αἰνε

Ubi templum illi, centumque
Thure calent arae, sertisque recentibu

„Ε᾽νθα νεὼς αὐτῇ, ἑκατὸν βωμοίτε Σαβα
„Εὐώδεις λιβάνῳ, νεοδρέπτοισίντε ἀώτοις.

Κάιτοιγε ὁ λιβανῶτος ὧδε κατὰ πρόληψιν ἔοικεν γὰρ Πλίνιος φησὶ (Βιβλ. ΙΓ. Κεφ. Α.) Iliacis temp non supplicabatur; cedri tantum et citri suorum fruc eris fumo convolutum nidorem verius, quam odore „Ε᾽πὶ τῶν Ἰλιακῶν χρόνων, ὐχὶ ἐν λιβανωτῷ „ἐγίνοντο: τῦ γὰρ τῶν Κεδρίνων τε καὶ Κιτρί „καπνῦ τῆς συνελισσομένης ἐπὶ τῶν Ἱερῶν κν „νοντο μᾶλλον, ἢ Εὐωδίας„ Περὶ ὖ καὶ Α᾽ρνόβιος κατὰ τῶν ἐθνῶν.) τὸ πρόσφατον ἐπιγιγνώσκων τῆς χρήσι βάνυ, φησί: nam neque in iis temporibus, qu creditur, et perhibetur, heroicis, quidnam esset t est, scriptoribus, aut comprobatur a priscis, quo nulla mentio ejus reperitur: „Οὐδὲ γὰρ ἐπὶ τῶ

„ἢ πιςεύεται ἢ λέγεται χρόνων, τίποτε ἄρα ἦν ὁ λιβανω-
„τὸς ἐγινώσκετο· ἐδ' ὑπὸ τῶν παλαιοτέρων συγγραφέων
„ἐδεμιᾶς μνήμης ἐν ταῖς τέτων βίβλοις ἐμφερομένης.)

Λείπεται καὶ περὶ ἐκείνων διελθεῖν, ἃς Ὅμηρος ἀποκαλεῖ Οὐλὰς, ἤ Οὐλοχύτας: τὰς ἐδὲν ἀλλ' ἢ Ὀπώρας ἔσας ἢ καρπὲς λίθῳ, ἢ μύλωνι συντετριμμένες τε καὶ ἀπεληλεσμένες. Εἰς τἔτο δ' οἱ παλαίτατοι τῶν Ἑλλήνων τῇ κριθῇ χρώμενοι διετέλεν, ὡς τῇ Ζειᾷ οἱ Ῥωμαῖοι, (Far) κατὰ Διονύσιον τὸν Ἁλικαρνασσέα. (ἐν Βιβλ: Β'.) „Καὶ γὰρ ὥσπερ Ἕλληνες, τὸν κρίθινον καρπὸν ἀρχαιό-„τατον ὑπολαμβάνοντες ἐπὶ τῶν Θυσιῶν κριθαῖς καταρχό-„μεθα, ἐλὰς αὐτὰς καλἔντες, ἔτω Ῥωμαῖοι τιμιώτατόν τε „καρπὸν, ἢ ἀρχαιότατον εἶναι νομίζοντες τὰς ζέας, διὰ „τέτων ἁπάσης ἐμπύρε θυσίας κατάρχονται. Προςεθεῖναι δ' „αὐταῖς ἢ ἄλας διδάσκει ὁ τἔ Ὁμήρε Σχολιαςής: „Οὐλαὶ, Κριθαὶ „μετὰ ἁλῶν μεμιγμέναι (φησὶν) ἃς ἐπέχεον τοῖς Ἱερεργε-„μένοις ζώοις πρὸ τἔ θύεσθαι. Διὸ καὶ Οὐϊργίλιος Fruges falſas λέγει. Καὶ Πλαῦτος (ἐν τῷ Ἀμφιτρύωνι: Πράξ: Β. Σκην: Β) Sed mulier poſtquam experrecta es, prodigiali Iovi — aut mola falſa hodie, aut thure comprecatum oportuit. „(Ἀλλ' ὦ γύναι, ἐπεὶ ἐξηγέρω, τῷ τερατουργῷ Ζηνὶ, ἤτοι „ἐν Οὐλαῖς ἁλιπάςοις σήμερον, ἢ γἔν ἐν λιβανωτῷ Σὲ προσ-„εύξασθαι ἔδει.)

Οὕτω δὴ καὶ Πηνελόπη οὐλὰς ἐν κανέῳ ἐνθεῖσα ἅλασίγε συμμίκτες, Παλλάδι ἱκέτις παρέςη· (Ὀδυσ. Δ'. ϛ. 761.)

**Ἐν δ' ἔθετ' ἐλοχύτας κανέῳ, ἠρᾶτο δ' Ἀθήνῃ.**

Ὅλως δὲ μεγίστη τις ἦν ἐν Ἱεροῖς τούτων ἡ χρῆσις, ὡς Βιβλ. ΛΑ. Κεφ. Ζ.) φάναι: nu la fine his confici: (μηδὲν τούτων ἄνευ τελεῖσθαι.) Ταὐτ' αὐτὰ Ὀυλόχυ Ἱερείων μετώποις, καὶ τούτων τοῖς ὁλοκαυτωθησομένοις μὲ δὴ καὶ ταῖς τραπέζαις αὐταῖς, καὶ ταῖς μαχαίραις πάσσειν.

Εἶχε δ' ὁ τύπος ἐκ τῶν κατ' ἀρχὰς θυσιῶν, ι τῶν τοιούτων μόνων καρπῶν συνίσαντο, ὡς ὁ τοῦ Ὁμήρου Σ σεσημείωκεν. Ὅθεν Ὀυίδιος (ἐν Α'. Fastorum ϛ. 337.)

Ante Deos homini quod conciliare vale
Far erat, et puri lucida mica falis

„(Πρόσθε δὲ ἀνθρώποις, ὅ Θεοὺς διαλάξαι
„Ζειή, καὶ ψύξ ἦν πρός γε, ἁλὸς καθα

Τοῦτί δ' ὑπὸ Νουμᾶ θεσμοθετηθῆναι, ἡ παρὰ Ῥώμ „ἀρχαιότης. Ῥωμαίοις καὶ γὰρ, ἦ Πλούταρχος φησὶν, „ἀναίμακτοι ἦσαν, αἵτε πολλαὶ δὶ ἀλφίτου καὶ „τῶν εὐτελεστάτων πεποιημέναι.„ Ἐπιβεβαιοῖ δὲ (ἐν Ἀρκαδικ. Κεφ. Β.) Κέκροπα τὸν ἀρχαιότατον Ἀθι ἔμψυχον μηδὲν τεθυκέναι, ψαιστά δὲ μόνον πάτρια, ἐκάλουν, προσαγηοχέναι.

Τῷ ὄντι γὰρ ὁ τῶν Ἱερείων σφαγιασμὸς ὀψιαίτερο εἰσηνέχθη, ἀπαίσιον ἡγουμένοις τὴν τοῦ αἵματος ἔκχυσ ῥέζειν, καὶ ἔρδειν εἴρηνται, οἱ πρῶτοι τοῖς θεοῖς σφαγιάζε μόν τι ἐπιχειροῦντες. „Ταραττόμενοι καὶ δειμαίνον „ἐκάλουν καὶ ῥέζειν, ὥστι μέγα δρῶντες τὸ θύει „καθὰ φησὶ Πλούταρχος.

## ΚΕΦΑΛ. Θ΄.

## Περὶ τῶν Σφαγιασμῶν.

Περὶ τῆς τῶν ἐμψύχων ἐφεξῆς προσφορᾶς διαληπτέον, τῆς ἐν ὑστέρεις, μόνης χεδὸν, τὸ τῆς Θυσίας ὄνομα διατηρησάσης. Περὶ γȣν τὰ θύεσθαι μέλλοντα τῶν ζώων, πολλῇ ὑπῆρχον τῇ ἀκριβείᾳ χρώμενοι, ὡς τὰ κάλλιστα ἐκλέγειν καὶ τελεώτατα. (Ὀδυσ. Λ. ς. 30.)

„ . . . . . . Ῥέξειν στεῖραν Βοῦν ἥτις ἀρίστη.

Καὶ Ἰλιάδ: Α΄ ς. 66.

„ . . . . . . Ἀρνῶν κνίσσης, αἰγῶντε τελείων.

Ἔνθα ὁ Σχολιαστὴς ἀναπτύσσων προστίθησιν: „Ἤτοι τὴν ἡλικίαν „ὁλοκλήρων: λελωβημένον γὰρ ȣ̓ θύεται, ἀλλ᾽ ὑγιὴς ἡ τῶν „τελȣμένων θυσία.„ Διὸ καὶ κατὰ τὸν Πολυδεύκην (ἐν Βιβλ: Α΄ „κεφ: Α΄. 26.) „Ἱερεῖα Ἄρτια, ἄτομα, ὁλόκληρα, ὑγιῆ, „ἄπηρα, παμμελῆ, ἀρτιμελῆ, μὴ κολωβά.„ Οὗ χάριν καὶ Ἀθηναῖοι Λακεδαιμονίοις ἀμέλειαν ἐνεκάλȣν περὶ τὰ Θεῖα „Ὅτι καὶ „ἀνάπηρα θύȣσιν ἑκάστοτε:„ ὡς Ἰδεῖν ἐστὶ παρὰ Πλάτωνι. (ἐν Β΄. Ἀλκιβιάδ.) Οἷς δὴ καὶ Τερτυλλιανὸς (Ἀπολογητ: Κεφ: Γ.) παραπλήσια τοῖς ἐπ᾽ αὐτȣ̃ ἔθνεσιν ἐγκαλεῖ: Volo et ritus veſtros recenſere; non dico, quales ſitis in ſacrificando, cum eneсta et tabidoſa, et ſcabioſa, quaeque maсtatis; cum de optimis et integris ſupervacua quaeque pueris, vel canibus deſtinaſſetis, „(βȣ́λομαι καὶ τὰς ὑμῶν „τελετὰς καταλέξαι: ȣ̓ φημι, ὁποῖοιγ᾽ ἐστὲ ἐν τῷ θύειν: ὁπό„τε τὰ μὲν ἀπεκταμένα, καὶ φθισιῶντα, καὶ ψωριῶντα „σφαγιάζετε, ἀπὸ δὲ τῶν ἀρίστωντε καὶ ὁλοκλήρων τὰ πε„ριττὰ ἕκαστα ἀκροτομεῖτε, κεφάλι ἄττα καὶ ὀνύχια, ἅτι„να καὶ οἴκοι τοῖς παισὶν ἂν, ἢ τοῖς κύνεσιν ἀφορίσαισθε.)

Τοῖς μὲν ὖν παλαιοῖς τῶν Ἑλλήνων εἰς θυσίαν μάλιςα ζώων εἴδη παρελαμβάνετο ἕξ: Πρόβατον, ϗ Ὗς, ϗ Βῦς, καὶ Κάπρος, καὶ Ἀλέκτωρ, καὶ Χήν, ὡς ἔχει Σουΐδ, ἐν Λεξ: Θυσία. Ἀλλ' Ὅμηρος μόνης τῆς τῶν τεσσάρων πρώτων χρήσεως μέμνηται, ἔντε τοῖς Ἱερείοις, κἀν ταῖς τῶν Ἡρώων κοινῇ ἑςιάσεσιν. Ὁ δέ τοι βῦς πρὸ τῶν ἄλλων ἡγεῖται, ὃν τετιμῆσθαι διαφερόντως ὁ Ποιητὴς συνεχῶς παριςησι. Καὶ Πλίνιος δὲ (ἐν Βίβλ: Η. Κεφ. ΜΕ:) ὕτω διέξεισιν. Ἐξ αὐτῶν γὰρ τῶν σφαγιασμάτων τὰ ἄριςα, καὶ ἡδαψιλεςάτη τῶν Θεῶν ἐξιλέωσις. Ὅθεν καὶ τὸ ῥῆμα βυθυτεῖν, δι' ὃ τὸ τῶν βοῶν κυρίως δηλῦται σφάγιον, ἐξ ὗ καὶ ἐπὶ τὰ τῶν λοιπῶν ἐμψύχων μετείληπται θύματα, ὡς παρὰ τῷ Ἀριςοφάνει (ἐν τῷ Πλύτῳ ς. 820.)

„Βυθυτεῖ

„ Ὗν, ϗ τράγον, ϗ κριὸν ἐςεφανωμένος.

Ἀλλὰ γὰρ κατὰ τὸν τῦ Σόλωνος νόμον, ὐκ ἔδει βῦν θύεσθαι, ὡς ὁ Πλύταρχος μαρτυρεῖ: Τῦθ' ὅπερ Αἰλιανὸς (Βιβλ. Ε'. Κεφ. ΙΔ.) „Περὶ βοὸς τῦ ἀροτῆρος ἑρμηνεύει ῥηθὲν. „Ὅτι ϗ οὗτος ἂν γεωργος „(εἶναι ῥηθείη) καὶ τῶν ἐν ἀνθρώποις καμάτων κοινωνός. Πάντως δέπυ καὶ ἄλλοι τῶν Ἑλλήνων ὐχ ὁσίαν σφίσιν ἐνόμιζον τὴν τῦ τοιῦδε βοὸς σφαγίασιν.

Οὐ μέντοιγε ἀναμὶξ τῶν εἰρημένων ζώων τὰ τυχόντα τῷ τυχόντι τῶν Θεῶν θέμις ἦν σφαγιάζειν, ἀλλ' ἄττα δὴ ἑκάςῳ ἐξ ἔθυς καθιέρωτο. Οὕτω γὰρ Ἀριςοτέλης (ἐν τῷ Θ. τῶν Ἠθικ. Κεφ. Β.) διατείνεται, μὴ πᾶσι ταυτὰ, μηδὲ τῷ πατρὶ πάντα ἐπίσης εἶναι ἀποδοτέον, ὡς ὐδὲ Ζηνὶ πάντα θύεται: Ὅπερ ἀναπτύσσων (ἐν τῷ Ε'. Βιβλ. Κεφ. Ι. Νομικῶν (φησὶν) „Αἶγα Διΐ θύειν, ἀλλὰ μὴ πρόβατα.„ Τὐναντίον δ' ὖν τὴν αἶγα τῇ Ἀθηνᾷ μηδαμῶς ὑπὸ τῶν Ἀθηναίων θύεσθαι, Ἀθήναιος μαρτυρεῖ. (Βιβλ. ΙΓ. τῶν Δειπνοσοφ.) Τὸ δέ τοι σύ„νολον ὑπὸ τῦ Πλινίυ (Βιβλ. Η'. Κέφ. ΜΕ.) παρατετήρηται, „μηδὲ „χωλαίνοντι, μηδ' ἀλλοτρίῳ ὄντι τῷ θύματι. (nec clau„dicante, nec aliena hostia.) τοὺς Θεὺς ἐξιλάσκεσθαι.

Ἀλλὰ γὰρ Ζηνὶ καὶ βῦν σφαγιάζεσθαι εἰωθέναι, τῇ ἡλικίᾳ προήκοντα (Πενταέτηρα) ὁ ποιητὴς ἔφη: (Ἰλ. Β. ς. 403.) Ὀδυσσεὺς δ' αὐτῷ ῥέξει κριὸν, ἀλλ' ὃ καλλιερεῖ. (Ὀδυσ. Ι. ς. 551.) τῷ δ' αὐτῷ παραπλησίως συνάμα τῷ Ἡλίῳ ἐτύθη Κάπρος. (Ἰλ. Τ. ς. 197.) Τῷ δ' Ἀπόλλωνι Ταῦροι προσῆχθεν καὶ αἶγες. (Ἰλ. Α. ς. 41..) καὶ ἄρνες πρωτόγονοι. (Ἰλ. Ψ. ς. 864. καὶ 873.) Ποσειδῶνι δὲ Ταῦροι θαμὰ παμμέλωνες. (Ὀδυσ. Γ. ς. 6.) εἰς παράστασιν τῦ ἀγρίϋτε καὶ ζοφερῦ τῆς θαλάσσης. Καίτοιγε τῷ αὐτῷ, Ταῦροι ἀργῶντες, παρὰ Πινδάρῳ ἐτύθησαν, ὃ πρὸς τὸν τῦ παλάγυς ἀφρὸν ἴσως ἐπαναχτέον. Ἐπεὶ καὶ τοῖς ποταμοῖς Ταύρυς ἔρδον, τῷ Ἀλφειῷ, καὶ τῷ Ξάνθῳ (Ἰλ: Λ. ς. 727.) Καὶ Φ. ς. 131.) Τῷ δέτοι Σπερχειῷ πρόβατα. (Ἰλ: Ψ. ς. 146. 147.) Τῇ δέγε Ἀθήνῃ τὰ πλεῖστα ἔρδον Δάμαλιν. (Ἰλ: Λ.) καὶ

„Ταύτην . . . . . . - „Ἦνιν„

„ Ἀδμήτην, ἣν ὕπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνὴρ. (Ὀδυσ: Γ. ς. 383.) Ταύτην δὲ Iniugum (ἄζευκτον) εἶπε Φῆστος: Cafta cervice (ἁγνὴν τὸν τράχηλον) Σίλιος. Προσήγετο δὲ τῇ αὐτῇ Θεαίνῃ καὶ πρόβατον, (Ὀδυσ: Δ.) Οὐχὶ τῶν ἁπαλωτέρων, παρ' Ἀθηναίοις, ἤ φησὶν Ἀθήναιος (ἐν Βιβλ: Θ.) Τῷ δὲ Ἑρμῇ ἐθύετο ἀρνίατε καὶ ἐρίφια· (Ὀδυσ: Τ.) καθαπερῦν καὶ ταῖς Νύμφαις. (Ὀδ: Ρ.) Θεοῖς δὲ τέως τοῖς ὑποχθονίοις προσήγετο Βοῦς στεῖρίφη· (Ὀδυσ: Λ.) Οὕτως ὖν κατὰ τὺς Θεὺς ἐποικίλλετο καὶ τὰ Ἱερεῖα διακρινόμενα: τῷ εἴδει, τῇ ἡλικίᾳ, τῇ Χρόᾳ, τῷ ἄῤῥενι, καὶ τῷ θήλει, ὡς Ἀρνόβιος (ἐν Βιβλ: Ζ) κομψῶς διαλέγεται.

Τὰς μὲν ὖν προσαγομένας βῦς, χρυσᾷ εἰώθεσαν χρίοντες τὰ κέρα ἐπικοσμεῖν (Ἰλ: Κ. ς. 294.)

„Τήν τοι ἐγὼ ῥέξω χρυσὸν κέρασιν περιχεύας.

Ὃ καὶ Οὐιργίλιος ἐμιμήσατο: (Αἰνειάδ. Θ.)

Et statuam ante aras aurata fronte juvencum.
„ ( Στήσω πρὸς βωμοῖσι δέ χρυσομέτωπον μόσχον.)
Ὁ δέ τοι τρόπος ὁ τῆς περιχρυσώσεως, περιγέγραπται (Ὀδυσ: Γ. ς. 425.) ἔνθα Λαερκεὺς ὁ χρυσοχόος, λαβὼν χρυσὸν παρὰ Νέστορος, „Ὅπλα χερσὶν ἔχων χαλκήϊα, εὖτε ἀσκήσας „ Βοὸς κέρασιν περιχεῦεν. ( Αὐτ: ς. 37. 38. )
„ . . . . Ἵν ἄγαλμα Θεά κεχάροιτο ἰδοῦσα.

Τοῦτὶ δὲ Πλάτων ἔθος πανηγυρικὸν Ἀθηναίοις ἔφησεν εἶναι: ( ἐν Ἀρκιβιάδ. Β. ) ἐν οἷς πρός γε τοῖς λοιποῖς μαρτυρίοις τῆς μεγαλοπρεπείας, τίθησι καὶ βοῦς τοὺς χρυσόκερως. Καὶ τοῖς Ῥωμαίοις δὲ τὴν τοιάνδε τελετὴν ἑόρτιον ἀναγράφει συνεχῶς, ἐν τῇ αὐτοῦ Ἱστορίᾳ Τῖτος ὁ Λίβιος, καὶ ἐξ Ἑλλήνων δὲ ὀνομαστὶ παραληφθῆναι γράφει Μακρόβιος, ( ἐν Βιβλ: Α. τῶν Κρονικῶν. )

Ἐπεσφαγιάζετο δὲ τοῖς Θεοῖς, ἤτοι θύματα μοναδικά, ἢ ἅμα πλείονα· καὶ ταῦτα εἴτε ὁμοειδῆ, εἴτ' οὖν ἑτεροῖα τοῖς εἴδεσιν. Εἰς τόδε δ' ἀνήκουσιν, αἱ περὶ ὧν συνεχῶς μνεία γίνεται, ἑκατόμβαι, ὡς δῆθεν ἐκ βοῶν κυρίως ἑκατόν συνιστάμεναι, τοῦθ' ὅπερ ἡ ἐτυμολογία „ ἐπιμαρτυροῦσα ἐμφαίνει. ἐξ Ἑκατὸν ( κατ' Εὐστάθιον ) δηλονότι „ κυρίων βοῶν „ Καίτοιγε καταχρηστικώτερον τὰ πλεῖστα, καὶ ἐξ ἄλλων „ ζώων ἑτεροειδῶν, ἐπληροῦντο αἱ ἑκατόμβαι· Ἐξ Ἑκατὸν ζώων, ἢ „ κυριώτερον εἰπεῖν, βοσκημάτων„ Οὕτω γάρ δὴ καὶ Ὅμη„ ρος ὀνομάζει: ἑκατόμβας Ταύρων, ἠδ' αἰγῶν: Ἰλ: Α. ς. 315 )
„ Καὶ Ἀρνῶν πρωτογόνων. ( Ἰλ: ψ. ς. 864. καὶ 873. )
Προστίθησι γεμὴν Εὐστάθιος, ὅτι περὶ τοῦ ἑκατονταδικοῦ ἀριθμοῦ πάλαι διημφισβήτηται, γενέσθαι λέγων τοὺς ἡγησαμένους συνεστᾶναι τὴν „ ἑκατόμβην Ἐκ τετραπόδων εἰκοσιπέντε, τῶν βάσεις ἤτοι „ πόδας ἐχόντων ἑκατόν. Τοὺς δὲ ἐξειληφέναι ἀορίστως

„ἀντὶ πολλῶν ζώων τὴν ἑκατόμβην. Ἀλλ' ὅτι γὰρ τις καὶ λόγος ἐκείνης ἐγίνετο τῆς κυρίως, ἡ τοῦ Νέστορος παρίστησιν ἑκατόμβη, (Ὀδυσ: Γ. ς. 59) ἐν ᾗ τετρακισχίλιοι πεντακόσιοι βόες, Ποσειδῶνι σφαγιάζονται ὑπὸ τῶν Πυλίων. Προσμαρτυρεῖ δὲ καὶ ἡ τῆς ἑκατόμβης ἀρχὴ ἡ πρώτη, ἣν ἀπὸ τῶν Λακεδαιμονίων ὁ Στράβων παρήγαγεν (ἐν Βιβλ: Γ.) Οὗτοι γὰρ ἑκατὸν πόλεις πάλαι νεμόμενοι, βοῶν ἑκατοστὺν κατ' ἐνιαυτὸν ἐσφαγίαζον· καὶ ταύτῃ διέξεισιν, ὅτι καὶ Λυσιτανοὶ ἑκατοστύας ἱερείων ἑκάστου ἔτους διέταξαν παρὰ σφίσι τελεῖσθαι, ζηλοῦντες τοὺς Ἕλληνας.

Θύειν δὲ εἰώθεσαν τὰ σφάγια ἐπὶ τῶν ὑψηλῶν, οὓς δὴ **βωμοὺς** Ὅμηρος ὀνομάζει. Οἱ δὲ Λατῖνοι aſtacio ἐντεῦθεν εἶπον, οἱονεὶ alias areas: (ὑψηλὰς ἄλλως:) Οἱ δέ γε βωμοὶ ἐν τοῖς Ναοῖς κείμενοι διαφερόντως ὑπῆρχον, ἔνθα πρὸ τῶν ἱδρυμένων τοῖς θεοῖς ἰνδαλμάτων τὰ Ἱερὰ ἔρεζον. Ἀλλὰ δεδόμητο αὐτοῖς βωμὸς, καὶ παρὰ τῇ ἀκτῇ τοῦ πελάγους (ἐν Ὕμν. τῷ εἰς τὸν Ἀπόλλ.) καὶ παρὰ τοῖς Ναυσὶ δὲ βωμοὶ τοῖς Ἕλλησιν ἔκειντο πολιορκοῦσι τὸ Ἴλιον (Ἰλ. Λ. ς. 807.) „Οὕτω δὲ καὶ οἱ Ἀργοναῦται (κατὰ Ἀπολλώνιον) φέρονται „**βωμὸν „ἀναστήσαντες ἐπάκτιον**: ὅπερ ἐξ ἔθους ἐποίουν, ὡς ἂν ὑπὲρ εὐπλοίας εὔχοιντο Ποσειδῶνι. Ἔσθ' ὅτε δὲ καὶ ἐπ' ἀκροτόμων ὀρέων βωμοὺς καθίστων, ὡς Ἀγχίσης ὑπισχνεῖτο τῇ Ἀφροδίτῃ (ἐν τῷ Ὕμνῳ.) Πολλάκις δὲ κἂν ἄλσεσι, κἂν ἀγροῖς Ἱεροῖς, καὶ παρὰ πηγαῖς. Τοιός δε ἦν ὁ πρὸς τῇ Κρήνῃ, τῇ ἐγγὺς τοῦ Ἰθάκης ἄστεος, ἐν ᾧ ταῖς Νύμφαις οἱ παροδεύοντες ἔθυον. (Ὀδυσ. Ρ.) Ἔτι δὲ μὴν, καὶ τὸ παρὰ τοῖς „Σπερχειοῦ, Κρουνοῖς, **Τέμενος, βωμός τε θυήεις**: ἔνθα Πηλεὺς εὔξατο ἑκατόμβην προσοίσειν. (Ἰλ. Ψ') Ταύτῃ τοι καὶ Ἴθακες ἔρεξαν. „**Ἄλσος ὑπὸ σκιερὸν ἑκατηβόλου Ἀπόλλωνος.** (Ὀδυσ. Υ. ς. 278) Καὶ Ἀχαιοὶ δὲ (Ἰλ. β'. ς. 305.) „**Ἀμφὶ περὶ κρήνην „ἱεροὺς κατὰ βωμούς.** Ἀλλὰ γὰρ καὶ ἡ Ἱερὰ αὐτὴ ἐπιμαρτύρεται

ἱϛορία, ὅτι παρὰ τοῖς ἔθνεσι τὸ τοιόνδε ἐπεπόλαζεν ἔθος τῇ ἐπιθυμιᾷν ἔντε τοῖς ἄλσεσι, κ) τοῖς δρυμῶσιν. (Βασιλειῶν Δ. Κεφ. ΙΖ. Ἐδαφ. 52.)

Καὶ ἐν οἰκήμασι δὲ τοῖς τῶν ἰδιωτευόντων ἀνεγείροντο βωμοὶ, ἐφ᾽ οἷς σφαγιάζοιεν: ἐξ ὧν διὰ φήμης ἤγετο διαφερόντως βωμὸς ὁ Διὸς ἑρκείου. (Ὀδυσ. Χ. ϛ. 335.) Τούτους δ᾽ Εὐϛάθιος μὲν ἔφη „Ἔξω τῆς αὐλῆς ἱδρύσθαι ἐν Ὑπαίθρῳ: Πολυδεύκης δὲ, „ἐν μέσῳ τοῦ οἴκου· ᾧ συνᾴδει κ) Οὐΐργίλιος. (Αἰνειάδ. Β´.)

Aedibus in mediis, nudoque fub aetheris axe ingens ara fuit.

(Μεσσηγὺς μεγάρων, αὐλῆς αὐτοῖς ἐν ὑπαίθροις, βωμὸς ἔην εὐρύς. . . . . . .

πρὸς ὃν Ἑκάβη καταπεφεύγει μετὰ τῶν τέκνων, κ) Πρίαμος ὁ ἐκεῖ κ) ἀναιρεθείς. Τοῦτὶ δ᾽ Εὐριπίδης (ἐν Τρῳάσι) παρὰ τῷ βωμῷ τοῦ Ἑρκείου Διὸς ἔφη συμβῆναι. Ἔφη δὲ καὶ Ἀθήναιος (ἐν τῷ Ε´. Βιβλ.), ὅτι αὐλὴν ἀποκαλεῖ Ὅμηρος τὸν ὕπεθρον τόπον, οὗ βωμὸς ἔκειτο ὁ Ἑρκείου Διός. Πρὸς ὅπερ ἀνάγει κ) τὸ ποιηθὲν, (Ἰλ. Λ. ϛ. 773.) τὸν Πηλέα καταληφθῆναι θύοντα Αὐλῆς ἐν χόρτῳ. Ἀλλὰ κ) Εὔμαιος, Ὗν ἔρεξεν ἐπ᾽ ἐσχάρῃ: (Ὀδυσ. Ξ. ϛ. 420.) Πρὸς οὖν τὸν τοιόνδε βωμὸν τὸν ἐν τοῖς βασιλικοῖς Φαιάκων μεγάροις, καὶ Ὀδυσσεὺς ἱκέτης καθῆϛο. (Ὀδυσ. Ζ. ϛ. 153.) Ὥϛε πολλοὺς ἡγήσασθαι, καὶ βωμὸν ἐκεῖσε παρὰ τῇ Ἑϛίᾳ κεῖσθαι· οὗ χάριν καὶ πανταχοῦ πάρεϛι κατιδεῖν καὶ θύματα ἐντὸς τῶν τοίχων παρ᾽ ἑαυτοῖς ἰδίᾳ ἐπιτελούμενα οἴκοι. Ὅπερ οὖν, ὡς οὐκ ἐνέκρινε Πλάτων (ἐν τῷ Ι. τῶν Νόμων.) τὰ Θεῶν Ἱερὰ ἐντεῦθεν ἀπῆρε, δημοσίᾳ κελεύων ἕκαϛον θύειν, τὰ ὁλοκαυτώματα τῷ Ἱερεῖ παραδόντα, ἵνα συνάμα τούτῳ κ) αἱ εὐχαὶ καὶ δεήσεις συνεπιλαμβανομένῳ τελῶνται. Τοῦτο δὲ παρὰ Πέρσαις ἀεὶ κρατῆσαι Ἡρόδοτος μαρτυρεῖ· (ἐν τῇ „Κλειοῖ.) ἐπεὶ τῶν Ἱερῶν. „Οὐδὲν, ὅ τι μὴ διὰ τῶν μάγων

„ παρ' ἐκείνοις ἐρέζετο. Ἄνευ γὰρ δὴ Μάγυ, ὃ σφὶ νόμος „ ἐςὶ θυσίας ποιέεσθαι." Οὕτω δὲ δὴ καὶ περὶ τῶν Γάλλων Διόδωρος „ ὁ Σικελιώτης (ἐν τῷ Ε. Βιβλ.) διέξεισιν. „Ἔθος δ' αὐτοῖς ἐςὶ, „ μηδένα θυσίαν ποιεῖν, ἄνευ φιλοσόφυ.

## ΚΕΦΑΛ. Ι.

## Περὶ τῆς ἐν τῷ τὰ Ἱερὰ τελεσιυργεῖν διατυπώσεως.

Ἡ τῦ τελετυργεῖν τὰ Ἱερὰ διατύπωσις ὑπὸ Ὁμήρυ περιγράφεται: (Ἰλ. Α´ ς. 446. Καὶ Β´. ς. 402. κτ.) Προσέτι δὲ, (καὶ Ὀδυσ. Γ) ς. 450. κξ. Καὶ Ξ. ς. 421.) ἥν περ καὶ παρὰ Ῥωμαίοις κοινῇ τηρεῖσθαι Διονύσιος ὁ Ἁλικαρνασσεὺς περιγράφων, ἅμα ἐξ ὧν μνημονεύει Ὁμηρικῶν τόπων, κατασκευάζει. (ἐν τοῖς περὶ τῆς Ῥωμαίων Ἀρχαιολογ. Βιβλ. Ζ.) τύτυ ὖν καὶ αὐτοὶ ςιχῦντες τοῖς ἴχνεσιν, ἕκαςον τῶν τῆς Ἱεροτελεςίας μερῶν ἐν τάξει ἐκθήσωμεν.

Πρῶτον, ὡς καὶ ἐν πάσῃ τελετῇ ἱερᾷ, τὰς χεῖρας ἀπένιπτον: ὃ δὴ „χερνίψασθαι Ὅμηρος λέγει, ὡς καὶ Λυσίας Ἐχερονίψαντο, ἔφη, ἐκ τῆς ἱερᾶς χέρνιβος. Ἐπὶ τύτῳ γὰρ αὐτοῖς, ὕδωρ ἦν ἐν λέβητι ἕτοιμον. (Ὀδυσ. Γ. ς. 440.)

„ Χέρνιβα δέ σφ' Ἄρητος ἐν ἀνθεμόεντι λέβητι
„Ἤλυθεν ἐκ θαλάμοιο φέρων. . . . . .

Ἀλλὰ χέρνιβα πρὔκειτο κἀν τοῖς προτεμενίσμασι φησὶ Συνέσιος. Ἐπὶ τῦ σταθμῦ δὲ Ἱερεὺς ἵςατο, κλάδῳ καλλιελαίας τὺς εἰσιόντας ἐπιῤῥαντίζων: ὅς, καθὰ παρὰ τῷ Σωζομένῳ ἀναγινώσκεται: „Θαλλούς τινὰς διαβρόχυς κατέχων, νόμῳ Ἑλληνικῷ, „περιέῤῥαινε τὺς εἰσιόντας.

Παρεσκευάζετο δὲ τ8τί τὸ ὕδωρ καθάρσιον, δαλῷ
„τ8 βωμ8 καιομένων ἐμβαπτομένῳ. ( Α᾽θήναιος ἐν Βιβ
„(χέρνιψ) Ὕδωρ, εἰς ὃ ἀπέβαπτον δαλὸν ἐκ τοῦ
„βάνοντες, ἐφ᾽ 8 τὴν θυσίαν ἀπετέλ8ν, καὶ τ
„ῥαίνοντες τοὺς παρόντας ἥγνιζον.„ ὡς καὶ
δηλ8ται, ( Ἡρακλ: μαινο )

„ Μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν
„Εἰς χέρνιβ᾽ ὡς βάψειεν Α᾽λκμήνης γό

Μετὰ τ8το, Ο᾽υλοχύται μεθ᾽ ἁλῶν ἀπὸ τ8 πρ
ἐπὶ κεφαλῆς τε καὶ νώτ8 τῷ ἱερείῳ ἐπεχέοντο, ὃ κυ
Λατίνοις ἐςὶν immolare ( οἷον ἀν8λοχυτεῖν· Ο᾽ύτω
Ο᾽μήρῳ (Ἰλ: Α΄. ς. 449.)

„ Χερνίψαντο δ᾽ ἔπειτα, καὶ 8λοχύτας

Προσετίθ8ν δὲ καὶ τρίχας, ἀπὸ μετώπ8 τ8 ἱερεί8
ας τῷ πυρὶ ἐνέῤῥιπτον, οἱονεὶ καθ᾽ Ο᾽μηρον ἀπαρ
Γ. ς. 445.)

„ Χέρνιβά τ᾽ 8λοχύτας τε κατήρχετο,

„ Ἦρχετ᾽ ἀπαρχόμενος, κεφαλῆς τρι
πυρὶ β

Παραπλησίως δ᾽ ( Ὀδυσ: Ξ ς. 422.)

„ Α᾽λλ᾽ ὅγ᾽ ἀπαρχόμενος, κεφαλῆς
πυρὶ β
„ Ἀργιόδοντος ὑὸς, καὶ ἐπεύχετο πᾶσι

Ε᾽νταῦθα δ᾽ ἐγίνοντο ἐδεήσεις, ὧν ἄνευ, 8δὲν συν
ὡς Πλίνιος μαρτυρεῖ. ( Βιβλ: ΚΗ. Κεφ: Β΄,) ᾔτ8ντ

ἂν μάλιστα ἦν ἡ θυσία προσαγομένη: Οἷον Χρύσης μὲν, (Ἰλ: Α.) ὑπὲρ τῆς τῆς λοιμῆς καταπαύσεως, Εὔμαιος δὲ, (Ὀδυσ: Ο.) ὑπὲρ τῆς τῆ Ὀδυσσέως ἐπανόδȣ.

Ἐντεῦθεν ȣ̃ν ἐπὶ τὸ σφαγιάσαι ἐχώρȣν· καὶ πρῶτον μὲν ἔκοπτον τὸ θῦμα πελέκει: (Ὀδυσ: Γ. ϛ. 449.)

. . . . . „Πέλεκυς δ' ἀπέκοψε τένοντας
„Αὐχενίους, λῦσεν δὲ βοὸς μένος.

Εὔμαιος δὲ σχίζῃ προσεχρήσατο ἐπὶ τȣ́τῳ· (Ὀδ. Ξ. ϛ. 425.)
„Κόψε δ' ἀνασχόμενος σχίζῃ δρυὸς, ἣν λίπε κείων.

Πάτριον δὲ Καππαδόκαις τόδε τὸ ἔθος γενέσθαι ἱστορεῖ Στράβων, (Βιβλ: ΙΕ.) τȣ̃ μὴ ἐν μαχαίρᾳ, ἐν σχίζῃ δὲ σφαγιάζειν, οἱονεὶ σφύρᾳ πατάσσȣσιν. Οὕτω κατὰ Σȣετόνιον (Κεφ: ΛΒ.) καὶ Καλιγόλας ἐπεχείρει.

Εἶτα τȣ̃ παταχθέντος σφαγίȣ ἤδειρη ὑπετέμνετο μαχαίρᾳ. (Ἰλ: Α. ϛ. 459.) „Αὖ ἔρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν . . . Καὶ Ὀδυ: Γ. ϛ. 453)

„Οἱ μὲν ἔπειτ' ἀνελόντες ἀπὸ χθονὸν εὐρυοδείης
„Ἔχον· ἀτὰρ σφάξεν Πεισίστρατος ὄρχαμος ἀνδρῶν.

Τȣ̃το δ' ἐτελεῖτο μαχαίρᾳ. (ἐν Ὕμν. τῷ εἰς τὸν Ἀπόλ: ϛ. 537.)
„Δεξιτερῇ μάλ' ἕκαστος ἔχων ἐν χερσὶ μάχαιραν
„Σφάζειν αἰεὶ μῆλα . . . . .

Παυσανίας δ' (ἐν Μεσηνιακ:) μαχαίραις τε αἷς αἱ γυναῖκες τὰ Ἱερὰ ἔθυον. Τὰ δ' αἷμα σὺν ȣ̓λοχύταις, καὶ τοῖς ἄλλοις τοῖς ἐπὶ τῶν ἱερείων χρειώδεσιν, ἐφέροντο ἐν κανέῳ, ὡς Ἀριστόφ: διδάσκει

(ἐν τῷ Δράμ: Εἰρήνη:) Ἀλλ᾽ ἐπὶ τῆς δειροτομίας ἰδιαίτερον προσεπισημειωτέον, ὅπερ ὁ τῦ Ὁμήρυ καθυποβάλλει Σχολιαςής, ὅτι, „αὖ ἐρύσαι εἰώθεσαν: εἰς τὀπίσω (δηλ:) ἀνακλάσαι τὸν „τράχηλον τῦ θυομένυ ἱερείυ, ὡς προσέχειν εἰς ὐρανὸν „τοῖς Θεοῖς, οἷς ϗ ἐθύοντο· ἀμέλει ϗ αὐτῶν ὄντων ἐν τῷ „ὐρανῷ: Τὐναντίον μέντοι τοῖς Ἥρωσιν, ἅτε δὴ θανάτυ αὐτοῖς „γευσαμένοις „ἔντομα ἔθυον ἀπιβλέποντα κάτω εἰς γῆν. ἧπερ ὁ τῦ Ἀπολλωνίυ Ἑρμηνευτὴς (ἐν τῷ Α΄. τῶν Ἀργοναυτικῶν,) παρασημειῦται. Τὸ δ᾽ αἷμα εἰς ἄγγος ἀπετίθετο, Ἄμνιον καλύμενον παρ᾽ Ὁμήρω, (Ὀδυσ: Γ, ς. 444.)

. . . . „Περσεὺς δ᾽ ἄμνιον εἶχε . . . . . . .

Κατὰ δὲ τὸν Σχολιαςὴν, τὸ ἀγγεῖον ὅπυ τὸ αἷμα τῦ ἱερείυ δέχονται, οἱ Ἀττικοὶ σφάγιον καλῦσιν.

Ἀποσφαγέντα ὖν τὰ Θύματα ἀπέδερον, εἶτα εἰς μέρη ἀπέτεμνον· ἐξελόντες δὲ τὰ μηρία τῷ ἐπιπλόῳ ἐπεκάλυπτον· ϗ τύτοις μόρια ὠμὰ, ἀπὸ πάντων τῶν μελῶν ἀποτμηθέντα ἐπετίθυν: ὅπερ ὠμοθετεῖν Ὅμηρος ἔλεγεν. (Ἰλ. Α. ς. 459.)

. . . . . . . . . . . . . . . . „Ἔσφαξαν ϗ ἔδειραν,
„Μηρὺς ἐξέταμον, κατά τε κνίσσῃ ἐκάλυψαν
„Δίπτυχα ποιήσαντες, ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτησαν.

Καὶ Ὀδύσ: Ξ. ς. 4.7.)

„Αἶψα δέ μιν διέχευον· ὁ δ᾽ ὠμοθετεῖτο Συβώτης
„Πάντοθεν ἀρχόμενος μελέων, ἐς πίονα δημόν.

Οὕτω γῦν πως τὰ μηρία τῷ ςέατι ϗ τοῖς ποικίλοις τεμμαχίοις τοῖς ἐξ ὅλυ τῦ ζώυ, δίκην ἀπαρχῶν ἐκληφθεῖσιν, ἐπικαλυφθέντα

τῷ πυρὶ ἐπετίθεντο ἐκθυμιαθησόμενα, ἀλφίτων ἐπιπασσομένων: (Ὀδυσ: Ξ. ς. 429.)

„Κα̉ὶ τὰ μὲν, ἐν πυρὶ βάλλε παλύνας ἀλφίτυ ἀκτῇ.

Ἐπεχέοντο δ' ἐπὶ τοῖς μηροῖς καὶ λοιβαὶ ἐξ οἴνυ. (Ἰλ. Α'. ς. 462.)

„Καῖε δ' ἐπὶ σχίζησ' ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
„Λεῖβε . . . . . . . .

Καὶ Ἰλ: Λ. ς. 773. 774. περὶ τῦ Πηλέως θύοντος:

„ . . . . . . . Ἔχε δὲ χρύσειον ἄλεισον
„ Σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις Ἱεροῖσι

Οὕτω δὴ τὰ μηρία ἐξαιρέτως, ἐκ πάντων τῶν τῦ σφαγίυ τοῖς Θεοῖς προσήγετο: ἐξ ὗ καὶ συνεχὲς παρ' Ὁμήρῳ, εἰς δήλωσιν θυσίας τελυμένης τό: Πίονα μηρία καίειν· καθάπερὖν καὶ παρὰ τῷ Θεοκρίτῳ. (ἐν Εἰδύλ: ΙΖ.)

„Πολλὰ δὲ πιανθέντα βοῶν ἐπὶ μηρία καίειν.

Καὶ παρὰ τῷ Βακχυλίδῃ.

„Δαιδάλων τ' ἐπὶ βωμῶν Θεοῖσιν εὔχεται, βοῶν
„Ξανθῇ φλογὶ μηρία . . . . . . . . . . . . . .

Τῷ ὄντι δὲ, ἴδιόν πως Ἕλλησι τυτὶ γενέσθαι τὸ ἔθος σαφῶς (ἐν τοῖς Ἀττικ.) ἐπιμαρτυρεῖ Παυσανίας:

„Τοὺς μὲν μηρὺς κατὰ νόμον ἐκτεμὼν τῶν Ἑλλήνων, ἐς „αὐτοὺς καιομένυς ὁρᾷ.„

Τὰ λοιπὰ δ' ὗν τῶν μερῶν τῦ σφαγίυ ἀποτμηθέντα ἐν ὀβελοῖς ὠπτᾶτο, κα̉ὶ ἐπὶ τῦ συμποσίυ ἠσθίετο. (Ἰλ: Α. ς. 464.)

„ Αὐτὰρ ἐπεὶ κατὰ μηρ' ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο,
„ Μίστυλλον τ' ἄρα τ' ἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρον,
„ Ὤπτησάν τε περιφραδέως ἐρύσαντό τε πάντα.
„ Αὐτὰρ ἐπεὶ παύσαντο πόνου, τετύκοντό τε δαῖτα,
„ Δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐίσης.

Ταὐτὸ πραχθὲν ἰδεῖν ἐστὶ καὶ Ὀδύσ: Ξ. Εἰμὴ ὅτι κατὰ τελετὴν τιν' ἰδιαιτέραν, ἑπτὰ διετάχθησαν μοῖραι: ὧν μία μὲν προσήνεκτο ταῖς Μοίραις, ἑτέρα δὲ, τῷ Ἑρμῇ· αἱ δὲ λοιπαὶ διανενέμηντο ἑκάστοις. Οὕτω τοὺς Θεοὺς ἐπίστευον κοινωνοὺς ἔχειν ἐν ευαχήμασι, τοῦθ' ὃ πολλαχοῦ Ὅμηρος ἐστὶν ἐπιμαρτυρῶν· ἰδίᾳ δὲ, (Ἰλ: Α. ς. 423.) ἐν οἷς Ζεὺς λέγεται ἀπεληλυθέναι, μετ' ἀμύμονας Αἰθιοπῆας συνάμα τοῖς λοιποῖς Θεοῖς μετὰ δαῖτα καθ' ὃν δήπου τύπον τὸ πάλαι καὶ αἱ παρ' Ἕλλησιν εὐωχίαι ἐν τοῖς Ναοῖς πρὸ τῶν Ἰνδαλμάτων τῶν Θεῶν συνετελοῦντο, οἷς τισι ποικίλα τῶν ἐδεσμάτων παρατιθέμενοι, τὰ πλεῖστα τοῦ θύματος σφίσιν ἀπεταμίευον, ἵνα ἐν βρώσει τε καὶ πόσει ἐπειτρυφήσωσιν· οὗ χάριν καὶ τὴν μέθην ἔφη Ἀθήναιος κατὰ Ἀριστοτέλην οὕτω κληθῆναι, ὡς μετὰ τὸ θύειν συμβαίνουσαν. ὃ καὶ τῷ ὑπὸ Ἐπιχάρμου „ εἰρημένῳ συνᾴδει: „ Ἐκ μὲν θυσίας, θοίνη, ἐκ θοίνης πόσις „ ἐγένετο, ἐκ δὲ πόσεως κῶμος. „ τοῦτὶ δ' ἐν ταῖς ἐπισήμοις μάλιστα τῶν ἑορτῶν ἦν συμβαῖνον, ταις ὑπὸ τῶν παλαιῶν, ὡς φησὶν Ἀθήναιος (ἐν Βιβλ: Θ.) διαταχθείσαις, ὡς ἂν εἰς ἄνεσίν τινα καὶ ψυχαγωγίαν τελοῖντο τοῖς ἀνθρώποις, ἅμα δὲ καὶ εἰς ἐπιχαλίνωσιν τρυφῆς ἀκολάστου· τοὺς Θεοὺς ἀμέλει ὑπαιδουμένοις μεθ' ὧν ὑπῆρχον συνευωχούμενοι. Καὶ Πλάτων δὲ (ἐν Β. τῶν Νόμων) ὡσαύτως οἴεται, τοὺς Θεοὺς τῶν θνητῶν ταλαίπωρον κατοικτείραντας βίον, εἰς ἀνάπαυλαν τῶν πόνων τὰς δημοτελεῖς ἑορτὰς διατάξαι καὶ πανηγύρεις. καὶ

μὲν δὴ ϗ τὰς Μέσας, ϗαὶ τὸν Ἀπόλλωνα, ϗαὶ τὸν Βάκχον συνεοϱ-
„ ταςὰς παϱεῖναι, „ ἵνα ἀπάϱχωνται τὰς γενομένας τϱοφὰς
„ ἐν ταῖς ἑοϱταῖς μετὰ τῶν Θεῶν:„ Τὰ δ' ἄλλα ἐν ταῖς ἑοϱτασίμοις ταῖσδε ἡμέϱαις ἀπὸ τῶν ἐπιμόχθων ἔϱγων ἐς τοσῦτον ἀπείχοντο, ὥςε τὸν Ἀντίνοον ἀποφήνασθαι (Ὀδυσ: Φ: ϛ. 259.) μηδὲ τόξον θέμις εἶναι ἐντείνειν, ἑοϱτῆς ἀγομένης Ἀπόλλωνι:

. . . . . Τίς δέκε τόξα τιταίνοιτ'; ἀλλ' ἕκηλοι
„ Κάτθετ' . . . . . .

Ὡς τῆς ἑοϱτῆς ἀϱγίαν ἐθελέσης, φησὶν Εὐςάθιος. Ὅθεν ϗαὶ τὸ παϱοιμιῶδες ἐκεῖνο τῦ Θεοκϱίτυ: Ἀϱγοῖς αἰὲν ἑοϱτή.

Ἐπεὶ δὲ ἐν καιϱοῖς διαφέϱυσιν αἱ τοιαίδε ἑοϱταὶ ἤγοντο, μάλιςα δὲ μετὰ τὸ θέϱος· ἢ πάϱεςιν ἰδεῖν (Ἰλ: Ι. ϛ. 530.) ἔνθα πεϱιοϱγὴς γενέσθαι Ἀθηνᾶ λέγεται, παϱὰ τὸ μὴ τεθυκέναι αὐτῇ τὸν Οἰνέα
„ Θαλύσια γυνῷ ὀλοῆς, τῶν λοιπῶν Θεῶν ἐν ἑκατόμβαις
„ εὐωχυμένων. Ἔφη γῦν ϗαὶ ὁ Σχολιαςὴς „ ὅτι τὰς ὑπὲϱ εὐθα-
„ λείας ϗαὶ εὐφοϱίας τῶν καϱπῶν διδομένας θυσίας μετὰ
„ τὴν συγκομιδὴν τῶν καϱπῶν, τοῖς τε ἄλλοις, ϗαὶ τῇ
„ Δήμητϱι (πϱοσῆγον.) „ Τῇ μέντοι Δήμητϱι πϱὸ τῶν ἄλλων ἐξόχως ἅτε δὴ αὐτῇ ἐπὶ τῶν καϱπῶν Θεαίνῃ, ὡς παϱὰ τῷ Θεοκϱίτῳ παϱίςαται.

Καὶ ταῦτα μὲν πεϱὶ τῆς καθόλυ τῶν σφαγιασμάτων διατυπώσεως εἰϱημένα, ἅλις ἐχέτω. Τὰ γὰϱ τοι τῶν Ἱεϱῶν ἐν μέϱει τῶν Θεῶν ἑκάςῳ ἀνήκοντα πέϱας ὐκ ἔχει, ὐδ' Ὅμηϱος αὐτὸς διεξέϱχεται, ὃν ἡγεμόνα τῦ ἐν χεϱσὶ πονήματος πϱοὐςησάμεθα.



ΔΗΜΟΚΡΑΤ... ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

## ΚΕΦΑΛ. ΙΑ'.

### Περὶ τῶν Ἀναθημάτων.

Λοιπὰ περὶ τὴν τῶν Θεῶν λατρείαν τοῖς Ἕλλησιν ὑπῆρ ματα, καὶ τὰ παντοῖα δῶρα, ἅπερ αὐτοῖς ἐκαλλιεργε κατὰ τὸν Πολυδεύκην ἔφερον τὰ πρῶτα οἱ ςέφανοι. „Σ· „πάλαι μηδενὶ, εἰ μὴ τῷ Θεῷ, προσενέμετο„ (Βιβλ. Ϛ. Κεφ. ΙΔ.) Corona antiquitus nulla, ι batur

Τοιοῖσδε δὴ ςεφάνοις τὸν Ἀπόλλωνος Ναὸν διηγλαϊ ἔφασκεν (Ἰλ. Α. ς. 39.)

„Εἴποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα.

Ὁ Σχολιαςής, ἐςεφάνωσα. Ὡς καὶ Λουκιανὸς ( „ θυσιῶν) ἡρμήνευσεν: „Ἐγὼ μέν σου τὸν νεὼν τέι „τον ὄντα πολλάκις ἐςεφάνωσα„ Ἔνθεντοι καὶ αἰ ρεςὼς ᾤφθη (Ἰλ. Α. ς. 14.)

„Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπ

Ἅπερ ὁ Σχολιογράφος ἐκ δάφνης ἡγήσατο, φυτ νι καθιερωμένου. Οὕτω γὰρ δὴ καὶ τῷ Βάκχῳ ἐκ κισ ςέμματα πλέκεσθαι. ὃν καὶ Κισσοκόμην ἐντεῦθεν Ὕμνῳ) ἐκάλεσε· καὶ τῷ Διῒ ἐκ δρυὸς, καὶ τῇ Ἀθήνῃ ἧς πέρι τυχὸν ἐκδεκτέον, ὅπερ ἡ Θεὸς (ἐν τῇ Βατρ χίᾳ) ἐπεισάγεται λέγουσα: ὅτι οἱ μῦς αὐτῆς τὰ ςέμμ παρεδηλήσαντο.

Ἑπόμενος ἐςὶν ὁ λόγος ὁ περὶ τῶν ἐσθήτων (ἤ ἃς πολυτίμους λίαν τοῖς θεοῖς προσανῆπτον· ὡς Αἴγισθο ς. 274.)

„Πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε.

Οὕτως αἱ Τρωϊάδες ἀνήνεγκαν τὸ πέπλον τῇ Ἀθηνᾷ: (Ἰλ. Ζ. ς. 271. καὶ ς. 303.) Τῇ δ' αὐτῇ Θεῷ παρ' Ἀθηναίων ἀνὰ πέμπτον ἔτος, καθ' ὃ τὰ Παναθήναια ἑωρτάζετο, παρεσκευάζετο τὸ πέπλον, ᾧ ἐνεγέγραπτο Ἐγκέλαδος ὁ Γίγας, ὁ ἀναιρεθεὶς ὑπὸ τῆς Θεᾶ, καὶ τὰ ὀνόματα τῶν ἐν μάχαις ἀνδραγαθισαμένων, ὡς παρὰ τῷ Σουΐδα ἀναγινώσκεται. Παραπλήσιον δὲ ἐν τῇ Ἠλείων ἀγορᾷ ὑπὸ ἑκκαίδεκα γυναικῶν εἰς τιμὴν τῆς Ἥρας συνεξυφάνθαι πέπλον διέξεισι Παυσανίας, ἐν τῷ ς Βιβλ. Κεφ. ΚΔ.) Εἰς τοῦτο δὲ φέρει καὶ ἡ Πλάτωνος θεσμοθεσία, ἣν ἐξ ἐκείνου Κικέρων. (Βιβλ. Β'. περὶ τῶν Νόμ.) διέρχεται: In delubris communibus tectione operosius quam mulie-„ris opus menstruum. „(Ἐν τῇ τῶν κοινῶν περικαλύψει „ἰνδαλμάτων ἐργωδέστερον, ἢ γυναικὸς ἐπιτήδευμα μη-„νιαῖον.)„ Εὔδηλον δ' ὅτι τὸ ἔργον τόδε εἰς χρῆσιν μάλιστα τὴν περὶ τὰ Ἰνδάλματα καθιεροῦτο, ἅπερ οἱ πάλαι ἀμφιεννύειν εἰώθεσαν. Τὰς δὲ δὴ τοιαύτας ἀμφιέσεις διεῤῥήγνυσαν, χειρῶν ἐκεχυόμενοι αὐτὰς ἁρπα-„λέων, ὡς Ἡσύχιος παρετήρησεν: „Οἱ ἀνατιθέντες ἱμάτια κα-„τέχιζον αὐτά, ἵνα μὴ ἀρθῶσι παρά τινων.„

Τὰ δὲ πλεῖστα τῶν ἀγαλμάτων σκεύη ἦν χρύσεα, ἀργύρεα, χάλκεα, σιδήρεα, καὶ τὰ τοιαῦτα, ἐν οἷς ἐθρυλλοῦντο διαφερόντως οἱ τρίποδες, οἱ εἰς τιμὴν μάλιστα ἀνατιθέμενοι τοῦ Ἀπόλλωνος, ὡς ἐκ τοῦ Δελφικοῦ Ναοῦ ἀναφαίνεται: περὶ οὗ Ὅμηρος ἐν τῷ εἰς τὸν Ἑρμῆν Ὕμνῳ ς. 179.

„Ἔνθεν ἅλις τρίποδας περικαλλέας, ἠδὲ λέβητας,
„Πορθήσω, καὶ χρυσόν, ἅλις τ' αἴθωνα σίδηρον.
„Καὶ πολλὴν ἐσθῆτα.

Καθιερεῦντο δ' ὡς τὰ πολλὰ, ὑπὸ τῶν ἐν τοῖς ἀγῶσι τὰ ἐπὶ τῇ νίκῃ ἆθλα κομιζομένων: ὡς Ἡροδότῳ (ἐν τῇ Κλειοῖ) περὶ τῆς ἀθλήσεως εἴρηται Ἀπόλλωνος τῦ Τριοπίυ. Τοὺς ὖν τοιέτους, χορηγικὺς τρίποδας ἀπεκάλεσαν.

Ἀλλὰ καὶ οἱ νικῶντες εἰώθυν τὰ ἀπὸ τῶν πολεμίων λάφυρα τοῖς Θεοῖς ὁμοίως ἀνατιθέναι. Οὕτως Ὀδυσσεὺς τὰ Δόλωνος ἀφελόμενος ὅπλα, Παλλάδι ληΐτιδι δὶ εὐχῆς πανδήμυ ὡσίωσεν. (Ἰλ' Κ'. ς. 460.) Καὶ Ἕκτωρ δὲ ἠύξατο, εἰ κρείσσων γένοιτο ἐν τῇ μάχῃ, τὰ τῦ πολεμίυ ὅπλα ἐν τῷ τῦ Ἀπόλλωνος ναῷ ἀναρτήσειν. (Ἰλ. Η. ς. 83.)

„Τεύχεα συλήσας οἴσω ποτὶ Ἴλιον ἱρὴν,
„Καὶ κρεμόω ποτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο.

Ὡσαύτως Τιμολέων, τὰ Καρχηδονίων ὅπλα συλήσας, τοῖς Κορινθίων ναοῖς καθιέρωσε: (Πλέταρχ. εἰς βίον Τιμολ.)

Φωκαεῖς δὲ, τὲς μὲν ἡμίσεις θυρεὲς, τὲς ἀπὸ τῶν πολεμίων τοῖς Ἀβαίοις, τὲς δὲ λοιπὲς τοῖς Δελφοῖς φέροντες ἀνέθηκαν, ὡς Ἡρόδοτος (ἐν τῇ Οὐρανίᾳ) καθιστορεῖ. Οὐδέ γε ἄλλως ἡ τῦ παλαιστινῦ Γολιὰθ ἐκείνη ῥομφαία, ὑπὸ Δαβὶδ τῦ ἀνελόντος, τῇ Σκηνῇ ἀπετέθη τῇ Ἱερᾷ καὶ Ἁγίᾳ. (Α. Βασιλ. Κεφ. ΚΑ.) Ἄλλως ἀλλ' ὖν, συνεχέστερον ἐφίλυν, ἀπὸ τῶν λαφύρων τὴν δεκάτην ἐν ἀργυρίῳ καθιερῦν τοῖς θεοῖς, ὡς ὑποδείγματα μυρία, ἐκ τῆς θύραθεν ἱστορίας, παρ' Ἕλλησί τε καὶ Ῥωμαίοις, παραθέσθαι ῥᾴδιον.

Εἴθιστο δὲ τοῖς καθιερυμένοις δωρήμασι τέτοις καί τινα ἐλλόγια ἐπιγράφεσθαι, ὧν ὑπομνήματα διασώζεται ἀρχαιότατα, ἃ Παυσανίας ἐκ πάσης τῆς Ἑλλάδος συνελέξατο. Ἀτὰρ καὶ Φανίας (ἐν τῷ περὶ τῶν Σικελ. Τυραν.) διέξεισι ξιφίδιον Πυθοῖ ἀνακεῖσθαι, ἅπερ ἐν ἐπιγραφῇ τετραστίχῳ ἐλέγετο, Ἀντηνορίδην πάλαι κεχρῆσθαι Τροίας πολυορκυμένης. Ὁ δ' αὐτὸς προστίθησιν ἔτι καὶ τρίποδα φέρεσθαι, ὑπὸ Διομήδυς ἐπι-

γραφέντα τῦ καθωσιώσαντος· ὃν γέρας εἶχεν αὐτὸς λαβὼν παρὰ Ἀ'-χιλλέως, ἐν τοῖς ἐπὶ τῇ Πατρόκλου ἀναιρέσει ἐπιταφίοις ἀγωνίσμασιν.

Ἐντεῦθεν οἱ τῶν παλαιῶν Νεῶν ἀμύθητοι καταπλουτισμοὶ, οὓς ἁπανταχοῦ οἱ συγγράψαντες διαθρυλλοῦσιν. ὁ τοῦ ἐν Δελφοῖς Ἀπόλλωνος πρὸ τῶν ἄλλων, οὗ τὸ Ἱερὸν, τοῖς ἀπὸ πάντων, ὡς εἰπεῖν, τῶν ἐθνῶν ἀναθήμασι κατηγλάϊστο· ἐν οἷς μακρῷ διενεγκεῖν Γύγην τὸν Λυδῶν Ἄνακτα, καὶ Κροῖσον τὸν ἐκεῖνον διαδεξάμενον, Φανίας τε καθιστορεῖ ὁ Ἐφέσιος, καὶ Θεόπομπος, ἐν τῷ ΜΗ'. Βιβλ: τῶν **Φιλιππικῶν.** Πρῶτον γὰρ ἐκεῖνον ἀποφαίνονται γενέσθαι, τὸν χρύσεά τε καὶ ἀργύρεα ἐν Δελφοῖς δωροφορήσαντα, ἐκ χαλκοῦ μόνον τῶν προτέρων ὄντων· καὶ οὐδὲ τούτων Ἀνδριάντων, ἀλλὰ Λεβήτων τε καὶ Τριπόδων. Ἀλλὰ γὰρ καὶ ἐπὶ Ὁμήρου μέγας ὑπῆρχεν ὁ τοῦ Δελφικοῦ Ναοῦ πλοῦτος, ὥστε καὶ τὸν Ἀχιλλέα, παντὸς ἄλλου αὐτὸν ὑπέρτερον θέσθαι, ἐν τῷ παραιτεῖσθαι τὰ ὑπὸ τοῦ Ἀγαμέμνονος οἱ καθυπισχνούμενα. (Ἰλ: Ι. ϛ. 404. 405.)

„Οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει
„Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἐνὶ πετρηέσσῃ.

## ΚΕΦΑΛ. ΙΒ'.

## Περὶ τοῦ ἐκθειασμοῦ τῶν τελευτόντων Ἡρώων, καὶ δὴ καὶ πάντων τῶν ἐν Ἅδου.

Οἱ μὲν οὖν Ἥρωες, ἅτε ὑποδεέστεροι τῇ θειότητι, καὶ τιμῶν ἐνδεεστέρων ἐλάγχανον, αἳ δὴ καὶ τιμαὶ ἀπεκαλοῦντο Ἡρωϊκαί· τοῖς μὲν γὰρ μείζοσι τῶν Θεῶν ἐλέγετο θύεσθαι, τοῖς δὲ Ἥρωσιν ἐναγίζεσθαι, τοῦ Ἡροδότου (ἐν τῇ Εὐτέρπῃ) οὕτω πως διαστέλλοντος. „Δοκέουσι

„δέμοι ἔτοι ὀρθότατα Ἑλλήνων ποιέειν, οἳ διξὰ Ἡράκλεια „ἱδρυσάμενοι κέκτηνται· καὶ τῷ μὲν, ὡς ἀθανάτῳ, ὀλυμπίῳ „δὲ ἐπωνυμίην, θύεσι· τῷ δ' ἑτέρῳ, ὡς Ἥρωϊ ἐναγίζεσιν.„ Οὐδὲν τέτε διαφέρει τὸ ὑπὸ Φαίςε γεγονὸς, ἣ διέξεισι Παυσανίας ἐν τοῖς Κορινθιακοῖς· Συνιδὼν γὰρ τὲς Σικυωνίες τῷ Ἡρακλεῖ ὡς Ἥρωϊ „ἐναγίζοντας, ἐδὲν τοιἕτον ποιεῖν χρῆναι ἡγήσατο, ἀλλ' ὡς „Θεῷ θύειν. Ὅθεν αὐτοῖς ὕςερον ἐπεκράτησε τὸ ἔθος, καθ' ὃ σφάζοντες ἄρνας, καὶ τέτων τὰ μηρία ἐπὶ τε βωμε καίοντες, „τὰ μὲν ἐσθίεσιν ὡς ἀπὸ ἱερεἑ, τὰ δὲ ὡς Ἥρωϊ τῶν „κρεῶν ἐναγίζεσιν: ἐν ᾧ διαφέρων ὁ τοῦ θύειν τύπος σαφῶς διαφαίνεται. Καὶ ἄλλο δὲ, ἐ πόῤῥω τέτε ἀπέχον ὁ αὐτὸς Συγγρα„φεὺς ὑποδείκνυσι: „Τῷ δὲ Ἀλεξάτορι (φάσκων) καὶ Εὐα„μερίωνι· Τῷ μὲν, ὡς Ἥρωϊ μετὰ Ἥλιον δύναντα ἐναγί„ζεσιν, Εὐαμερίωνι δὲ ὡς Θεῷ θύεσιν.„ Ἀλλ' Ὅμηρος (Ἰλ. Β. ς. 550. καὶ 551.) τὲς Ἀθηναίες εἰωθότας παρίςησιν ἀρνειοῖς τε καὶ ταύροις τὸν Ἐρεχθέα, κατ' ἐνιαυτὸν ἕκαςον, ἐν τῷ Ἀθήνης Νεῷ ἐξιλάσκοντας:

„Ἔνθάδε μὶν ταύροισι καὶ ἀρνειοῖς ἱλάονται
„Κοῦροι Ἀθηναίων, περιτελλομένων ἐνιαυτῶν.

Τοιαῦτα δὲ ἱερὰ ἐνιαύσια, καὶ Οὐϊργίλιος (Αἰνειάδ. Βιβλ: Ε΄) Αἰνείαν ποιεῖ Ἀγχίσῃ τῷ ἰδίῳ Πατρὶ ἐπιτελἕντα, θύματάτε σφαγιάζοντα, καὶ λοιβὰς ἐπιχέοντα, καὶ ἀγῶνας ἐνάθλες πομπικῶς συνιςῶντα. Οὕτω δὲ ἄρα τὲς ἀπελθόντας τε βίε οἱ περιόντες ἐγέραιρον, καθ' ἣν περὶ ἐκείνες ςοργὴν ἐποφείλειν ἡγοῦντο διασώζειν καὶ μετὰ θάνατον. Οἱ μὲν ἔν ἐξ Ἀμφιπόλεως τῷ Βρασίδᾳ τελευτήσαντι, οἷα περ Ἥρωϊ, „Τιμὰς δεδώκασιν, ἀγῶνας, καὶ ἐτησίες θυ„σίας, καὶ τὴν ἀποικίαν ὡς οἰκιςῇ προσέθεσαν„ (παρὰ) Θεκυδ: ἐν Βιβλ: Δ΄.) Οἱ δὲ Φιγαλεῖς (Oreftafiis) ὡς Ἥρωσιν ἐναγίζεσιν ἀνὰ πᾶν ἔτος: (Παυσαν: ἐν τοῖς Ἀρκαδ:) καὶ Πλάτων

„δὲ (ἐν Βιβλ: Δ΄. τῶν Νόμ:) ὅλως ἐντέλλεται, „Τὰς κατ' „ἐνιαυτὸν τῶν ἤδη τέλος ἐχόντων ἐπιμελείας ἀποδιδόναι., Καὶ τρανῶς δὲ ὁ αὐτὸς Φιλόσοφος (ἐν Βιβλ: Ε΄. τῶν περὶ Πολιτ:) Ἡσίοδον ἐπάγων ἐπιμαρτυρῦντα, διατείνεται τὲς ἀπελθόντας καθίσταθαι Δαίμονας. καὶ ταῖς αὐταῖς τοῖς Δαίμοσι χρῆναι τιμαῖς θεραπεύεσθαι: τὸν λοιπὸν δὴ χρόνον, ὡς Δαιμόνων, ὅυτω θεραπεύσομεν, καὶ προσκυνήσομεν αὐτῶν τὰς θήκας. Ὅθεν τῇ τῦ Δαίμονος κλήσει τὲς χθονίες ἐγνώριζον Θεὲς, ὃς Manes Ῥωμαῖοι ἐκάλεν: περὶ ὧν ὁ Κικέρων (ἐν τῷ Β: τῶν περὶ τῶν Νομ: Κεφ: Θ.) ἐκ τῶν ἀρχαιοτάτων παρειληφὼς Ῥωμαϊκῶν Νομοθετημάτων ἔχει· Deorum manium jura ſancta ſunto; hos letho datos Divos habento.

„(Θεῶν χθονίων τὰ δίκαια ἅγια ἔςω, οὗτοι θανάτῳ „ἐξαντες Θεοὶ νομιζέσθων.) Οὕτω θειότητά τινα ταῖς ψυχαῖς ἀπολυθείσαις τῶν σωμάτων ἐπέγραφον· ᾗ δὴ καὶ σέβας ἀπενέμετο ἐκ τῦ ἀκολύθε διὰ τῆς τελετῆς ταῖς μὲν ἧττονι, ταῖς δὲ ἐπιτονωτέρᾳ καρδίας ἐπιφερόμενον διαθέσει, ὡς ἂν κατὰ τὰ ὑπ' αὐτῶν διαπραχθέντα ἐποφείλοιτο ἀξιόχρεων.

Ἐν ταῖς τῶν ἀποβεβιωκότων ἐναγισμοῖς λοιβαὶ, προηγῦντο, αἳ καὶ χοαὶ ἀπεκαλῦντο, ὡς ἄρα ἐπιχεόμεναι. Ταύταις δὴ Ὀδυσσεὺς ἀπεχρήσατο (Ὀδυσ. Λ. ϛ. 26.) βόθρον ἀναρύξας πρῶτον.

„Ἀμφ' ᾧ δήγε χοὰς χέεν πᾶσιν νεκύεσσι,
„Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,
„Τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνε.

Τὸν τοιόνδε τῦ ἐναγισμῦ διατεταγμένον ἐξ ἔθες τύπον Κλίδαμος παρασημειοῖ, (ἐν Βιβλ. τῶν ἐξηγητικῶν.) γράφων, τὸ πρὸς ἑσπέραν βόθρον περὶ τὸν τύμβον ὀρύσσεσθαι, καὶ ὕδωρ ἐγχεῖσθαι, ἐν τοιά-

„δε προσφθέγματι: ὑμῖν ἀπόνιμμ' οἷς χρή, καὶ Τέως δὲ καὶ χρίσμα προσεπιχεῖσθαι· Ἀλλὰ παρὰ τῷ Ο ας (ἐν τῷ Ε'. τῆς Ἀνειάδ.,

Hic duo rite mero libans carchesia Bac
Fundit humi, duo lacte novo, duo sang

„(Ἔνθα δύ' ἀκρήτου λείβων καρχήσια β
„Χεῦε χαμάζε, δύω γλάγεως, δύο δ' αἷμ

Πολὺς δὲ ἦν ὁ περὶ τοῦ αἵματος λόγος: ἐφ' ᾧ γὰρ συνεφιπταμένας ᾤοντο ψυχὰς τὰς ἀναίμους, ὡς πάρεστι τῆς παρ' Ὁμήρῳ Νεκύας. Οὗ χάριν καὶ τοὺς ἐναγισμ Αἱμακορίας: ὡς ὁ Πίνδαρος (Ὀλυμπ. ὠδ. Α'.) καὶ δὴ ἐκεῖνος (ἐν τῇ Ἑκάβ.)

„Ἐλθὲ δ' ὡς πίῃς μέλαν
„Κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωροῦμεθα.

Διὰ τοῦτο δ' ἀπεκτείνατο καὶ τὰ ἱερὰ, οἷον ὁ κριὸς βατον τὸ μέλαν, τὸ ὑπὸ τοῦ Ὀδυσσέως σφαγιασθὲν ἀνε νεκύων σκιὰς, καὶ ἡ δάμαλις ἡ στεῖρα, ἣν αὐτοῖς εὔχετοι καὶν ταῖς κηδείαις ἅμα εἴθιστο σφαγιάζειν, ὡς δῆλο τρόκλου, καὶ Ἀχιλλέως, καὶ Ἕκτορος ἐνταφιασμῶν παρ „τότε δὲ καὶ Πλάτων διαλέγεται ἐν τῷ Μίνωϊ „Καὶ ἡ „οἶσθα που καὶ αὐτὸς ἀκούων, οἵους νόμους ἐχρῶ „τον πρὸς τοὺς ἀποθανόντας, ἱερεῖα τε προ „πρὸ τῆς ἐκφορᾶς τοῦ νεκροῦ, καὶ ἐγχυτριστρίας „μενοι.„ Ἔθος δὲ ἦν καὶ τὰ προσφαττόμενα ἱερεῖα ὡς ἐκ τῶν ἀνενεχθέντων φαίνεται. Συνεκομίζετο δὲ ἐπὶ δῶρα ποικίλα, ἅπερ Ὀδυσσεὺς παρασημειοῦται, ἐπειδὴ ὑπισχνεῖται: (Ὀδυσ. Λ. ς. 31.)

„ Πυρὴν τ' ἐμπλήσομεν ἐσθλῶν:

Οὕτως ἐν τῷ τῦ Ἀγχίσȣ ἐναγισμῷ οἱ Αἰνείου ἑταῖροι

Dona ferunt, onerantque aras, mactantque juvencas.

„ (Ἀυτὰρ ἑταῖροι δῶρα φέρονθ' ὅ, τι ἦεν ἑκάςῳ

„ Βωμοὺς τ' εὔθυμοι πίμπλων, σφάζον δέ τε πόρτεις.)

Ἐξ ἐκείνȣ δὲ καὶ Ῥωμαίοις ἐπεχωρίασε τὸ ἔθος ὁμοίως, τὸ τῶν ἐνιαυσίων ἐναγισμῶν, τῶν Φευρȣαρίȣ μηνὸς ἐπιτελȣμένων. (ἐν τῷ Β'. τῶν Fastorum Ὀϋΐδ.)

Est honor et tumulis, animas placare paternas,
Parvaque in exstructas munera ferre pyras.

„ (Ἔςι γέρας τύμβοις ψυχὰς ἱλεȣ̃ν πατρῴας,
„ Μικρά τε δῶρα φέρειν ἐν βραχέησι πυραῖς.)

Ἀναπτύσσων δὲ τὰ τοιάδε δῶρα Ὀϋΐδιος, ἅλις ἔχειν, φησὶν, ἐὰ ςέμματα προσάγηται, καὶ οὐλόχυται.

Inque mero mollita Ceres, violaeque solutae.

„ (Δημήτηρ ἁπαλή τ' ἐνὶ οἴνῳ, τερπνά τε ἄνθη.) Οἱ δ' Ἕλληνες πολλάκις τὰς τῶν ὡραίων ἀπαρχὰς τοῖς ἐπισημοτέροις ἀνδράσι προσῆγον· ὡς ὁ Πλαταιεῖς Λακεδαιμονίοις, τοῖς ἐν τῷ Μηδικῷ πολέμῳ πεσȣ̃σι: (παρὰ Θȣκυδ: ἐν τῷ Γ'. Βιβλ.) καὶ ὡς οἱ Τρῶες τῷ Ἀχιλλεῖ, παρὰ Φιλοςράτῳ (ἐν Βιβλ. Δ'. τῶν περὶ βίȣ Ἀπόλλων·) ἐτελεῖτο δὲ τὰ τοιάδε ἐναγίσματα ἤτοι ἐπὶ τύμβων ἔμπλεων, ἢ ἐπὶ Κενηρίων εἰς τιμὴν ἐγειρομένων. Ἀυτόθι δὲ τὰ πολλὰ ἱδρύοντο καὶ βωμοὶ, οἷον τῷ τȣ̃ Ἀχιλλέως παρὰ Φιλοςράτω, καὶ τῷ Πέλωπος, παρὰ Πινδάρῳ· (Ὀλυμπ. Α'.) Ἄλλοις δὲ καὶ τάφροι ἐξήρκȣν, ὡς ἰδεῖν ἐςὶ παρὰ Λȣκιανῷ. (ἐν τῷ Χάρωνι.) „ Καὶ βόθρον τινὰ ὀρύ„ξαντες καίȣσί τε ταυτὶ τὰ πολυτελῆ δεῖπνα, καὶ εἰς τὰ „ὀρύγματα οἶνον καὶ μελίκρατον, ὡς γοῦν εἰκάσαι, ἐγχέȣ·

„σιν. Οὐ δ' ἦν ἀνόμοιος, ὁ ἐπὶ τοῖς πρὸς τοὺς χθονίους
„ροῖς, τῆς τελετῆς τύπος, ὡς φησὶ Φιλόστρατος (ἐν Βιβλ
„μὲν γὰρ χθόνιοι βόθρον ἀσπάζονται, καὶ τὰ ἐ
„γῇ δρώμενα.

## ΚΕΦΑΛ. ΙΓ'.

## Περὶ τῆς περὶ τὸ ἐνταφιάζειν ὁσιό

Οὐκ ἂν ἀλλότριον τῆς προθέσεως εἴη, τὸ καὶ περὶ ὑποσυνάψαι, τοῦ παρ' Ἕλλησι παρατηρουμένου ἐν τοῖς τ των ἐνταφιασμοῖς· ἐπεὶ καὶ μέρος τουτὶ εὐσεβείας τ διετέλουν τιθέμενοι. Καὶ πρῶτον μὲν, τοὺς ὀφθαλμοὺς πρ λῶς καθαιρεῖν τοῦ τὰ ὀλοίσθια πνέοντος, καὶ τόγε στόμα τοῦ σώματος εὐσχημόνως διατιθέναι. Ὁ μὲν οὖν Ἀγαμέμνο ποτνιᾶται, ἀπανθρωπότατα τῆς ἀλόχου τὸ τοιοῦτον αὐτ μένης. (Ὀδ: Λ'. ς. 423.)

. . . . . . . . . . . . . . . . . . . . . . „ Ἡ δὲ κυ

„ Νοσφίσατ', οὐδέμοι ἔτλη, ἰόντι περ
„ Χερσὶ κατ' ὀφθαλμοὺς ἑλέειν σύ
ἐρεῖ

Τούτου δὲ καὶ τὸν Ὀδυσσέα παρὰ τῆς συζύγου μ ..νιᾶτο Λαέρτης, ἐπὶ ξένης οἰόμενος αὐτὸν ἀπολέσθαι .(Ὀδ. Ω
„ Ὅτι δηλ: . . . . . . . . . . Οὐδ' ἄλοχος Πηνε
„ Κώκυσ' ἐν λεχέεσσι φίλον πόσιν, ἀ
„ Ὀφθαλμοὺς καθελοῦσα. Τὸ γὰρ
θανόν

Ἐ'θ' ὅτε δ' ὁ Πατὴρ, καὶ ἡ μήτηρ, τόδε ἀφοσιᾶντο. (Ἰλ': Λ'. ς. 452.)

„ . . . . Οὐ μὲν σοίγε πατὴρ, καὶ πότνια μήτηρ
Ὄσσε καθαιρήσουσι θανόντι περ. . . . . . . . . .

Οὕτως ἡ Εὐρυάλου μήτηρ (Παρὰ Οὐϊργίλ: Αἰνειάδ: Θ'.)

. . . . . . . . . Nec te tua funera mater
Produxi, pressive oculos . . . . . . . . . . .

„ . . . . . . . . (Οὐδέ σ' ἐγὼ ἡ μήτηρ
„ Κήδευσ', ἢ τεὼ ὄσσε καθεῖλξ', ἢ τρώματα
λοῦσα.)

Ἔνθεντοι κἀκεῖνος παρὰ τῷ Λευκανῷ (ἐν τῷ Γ'. τῶν Φαρσαλικῶν)

Tacito tantum petit oscula vultu,
Invitatque patris claudenda ad lumina dextram.

„ (Ὄψει σιγώσῃ αἰτεῖ γε φιλήματα μοῦνα,
„ Πατρὸς δεξιτερήν τε καθαιρήσουσαν οἱ ὄσσε,)

Οἷς καὶ τὰ παρ' Εὐριπίδῃ συνᾴδει:

„ Αἶ αἶ! κατ' ὄσσων κιχάνει μ' ἤδη σκότος.
„ Λαβοῦ πάτερ μου, καὶ κατόρθωσον δέμας.

Τῆς ψυχῆς δ' ἀποπτάσης, τὸ δέμας ἐπλύνετο καὶ ἐχρίετο: „ Ἐφ' ᾧ καὶ Ἀχιλλεὺς (Ἰλ: Σ'. ς. 346.) ἐκέλευε „ Λοετρο- „ χόον τρίποδα ἐν πυρὶ κηλέῳ σαθῆναι, ἵν' ἐν ὕδατι ζέοντι τὸ Πατρόκλου σῶμα λουθείη τε καὶ ἀναχρισθείη. (Αὐτ: ς. 350.)

„ Καὶ τότε δὴ λοῦσαν τε καὶ ἤλειψαν λίπ' ἐλαίῳ.

Τὸ δ' αὐτὸ καὶ ταῖς θεραπαινίσιν ἐνετείλατο τῷ Ἕκτορι δρᾶσαι: (Ἰλ: Ω'. ς. 582.)

„ Δμωὰς δ' ἐκκαλέσας, λοῦσαι κέλε
αἰ

Αὐτῷ δ' Ἀχιλλεῖ Ἕλληνες μετὰ ταῦτα θανόντι, ὡσ

„ Καθήραντες χρόα καλὸν ὕδατι λιαρῷ,

( Ὁ καὶ Οὐιργίλιος ἀπεμιμήσατο ἐν τῇ Μισηνȣ̃ κηδ Βιβλ. ς΄ ς. 229. )

. . . . Corpus lavant frigentis, et ung

„ ( Τοῦ δ' ἤδη ψυχθὲν λόεσαν δέμας, ἠ

Ἔνθα δὴ Σέρβιος ἐξ Ἐννίου :

Tarquinii corpus bona foemina lavit et u

„ ( Ταρκυΐνιοιο δέμας, γυνὴ ἐσθλὴ λȣ̃σ

Εἶτα ἐπὶ τȣ̃ νεκροφόρȣ σκίμποδος, „ εἱλίσσοντες σινδ ( Ἰλ : Σ΄. ς. 353.)

„ Ἐν λεχέεσσι δὲ θέντες, ἑανῷ λιτὶ κά

„ Ἐς πόδας ἐκ κεφαλῆς καθύπερθε δὲ φ

Ἔνθα ἡ ἐσθὴς λευκή· Οἱονεὶ γὰρ ἠμφιεσμένον τὸ Αἰγέȣ ἐς τὸ Ἄστυ εἰσήνεγκαν οἱ Σικυώνιοι, μαρτυρȣ̃ντ Εἰώθȣν δ' ἐπὶ τῇ τοιᾶδε χρήσει ἰδιαίτερον ἐξυφαίνειν, διεπονεῖτο περὶ τὸν ἱστὸν αὐτῆς τὸν λόγȣ τοσȣ́τȣ ἀξιωθέ ς. 99.)

„ . . . . . . . Εἴσόκε φᾶρος

„ Ἐκτελέσω . . . . .

„ Λαέρτῃ Ἥρωϊ ταφήϊον . . . . .

Οὕτω δὲ καὶ ἡ Εὐρυάλȣ μήτηρ ἐκείνη ( Αἰνειάδ. Βιβλ. Θ΄.

Veste tegens, tibi quam nocte festina dies
Urgebam, et telâ curas solabar aniles.

„(Φάρεϊ ἡ δὲ κάλυψα, τὸ 'γώτοι νύκτα καὶ ἦμαρ.
„Σπεῦδον, μείλισσάντε ὑφῇ λυγρὰ κήδεα γήρως.)

Κατετίθεντο δὲ τὸν νεκρὸν ἐν τῇ τῦ οἴκυ αὐλῇ, πρός γε τὴν πύλην τῶν αὐτῦ ποδῶν τετραμμένων. Οὕτω Πάτροκλος ἐν τῇ τῦ Ἀχιλλέως σκηνῇ (Ἰλ. Τ. ϛ. 212.).

Κεῖται ἀνὰ πρόθυρον τετραμμένος . . . . . Διὸ ἡ ἐκ τῦ ζῆν ὑπεδήλετο ἔξοδος, ἤ φησιν Εὐσάθιος: „Οἷα ἔθους ὄντος „ὅτω προτίθεσθαι τὸς νεκρὸς, ὡς ἐπὶ ἐξόδῳ τοῦ βίου „γεγονότας.„ Καὶ Ἡσύχιος δὲ „Τοὺς νεκροὺς ὅτω φασὶν ἑδρά-„ζεσθαι, ἔξω τοὺς πόδας ἔχοντας πρὸς τὰς αὐλείους „θύρας. Ἐκάλυν δὲ τῦτο οἱ Ἕλληνες προτίθεσθαι: ὡς Λυκι-„ανὸς (ἐν τῷ περὶ πένθυς.) Μετὰ ταῦτα λύσαντες αὐτοὺς, καὶ „μύρῳ τῷ καλλίςῳ χρίσαντες τὸ σῶμα, καὶ ςεφανώσαντες „τοῖς ὡραίοις ἄνθεσι προτίθενται. Καὶ Πλάτων δὲ (ἐν τῷ ΙΒ'. τῶν Νόμ.) Ταύτην (ἣν πρόθεσίν ὀνομάζει) διὰ πλειόνων συνίςησιν. Ἀλλὰ καὶ παρὰ τοῖς Ῥωμαίοις τὸ αὐτὸ ἔθος κρατῆσαι δαψιλῶς ἐπιμαρτυρῶν ἐςὶ Πέρσιος.:

. . . . . . . . Tandemque beatulus alto
Compofitus lecto, craffisque lutatus amomis
In portas rigidos calces extendit.

„(Καὶ ῥα τέως ὁ μάκαρ λεχέεσσι ταθεὶς ἐπὶ αἰποῖς,
„Εὖ πάνυ πηλωθεὶς παχέεσσιν ἀλείφασι ἀμώμων
„Ῥίγεδανοὺς πόδας ἐς πρόθυρα αὔλεια προτιτείνει.)

Οὕτως ὖν τὸν νεκρὸν παρασκευασθέντα καὶ προτεθέντα περιχυθέντες, τῦ δημοτελῦς ἀπήρχοντο πένθυς. (Ἰλ. Φ. ϛ. 124.)

„ . . . . . . . . . . . . Οὐδέ σε μήτηρ
„Ἐνθεμένη λεχέεσσι γοήσεται . . . . . .

Καὶ Ὀδυσ. Ω΄. ϛ. 294.)

Κάκυσ' ἐν λεχέεσσι φίλον πόσιν. . . . . .

Παραπλησίως καὶ παρὰ Ὀυϊδίϐ εἴρηται:

Depofitum nec me, qui fleat, ullus erit.

„Κειμένῳ ἐδέ μοι ἔσσεθ' ὁ δακρυχέυσων.)

„Καὶ ὁ Φίλων δὲ (περὶ τῦ Ἰωσὴφ λέγων:) „Τελευταῖον ἀσπασ-„μάτων ἐκοινώνησα, τὲς ὀφθαλμοὺς συνέκλεισα, ἐπε-„δάκρυσα κειμένῳ τῷ νεκρῷ. „ Προσεχρῶντο δ' ἐπὶ τέτῳ καὶ ψαλτῳδοῖς, τοῖς ἐν γοεροῖς ᾄσμασι τῶν ἄλλων προάγεσιν. (Ἰλ. Ω΄. 719.)

„ . . . . . . . . . Τὸν μὲν ἔπειτα

„Τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ' εἷσαν ἀοιδοὺς

„Θρήνων ἐξάρχους, οἵ τε ϛονόεσσαν ἀοιδὴν,

„Οἱ μὲν ἄρ' ἐθρήνεν, ἐπὶ δὲ ϛενάχοντο γυναῖκες.

Τὸν δ' ἐ πολὺ διαφέρον ἦν τῦ γινομένε διὰ τῶν παρὰ Ῥωμαίοις θρηνῳδεσῶν γυναικῶν, αἵτινες Praeficae ἀπεκαλῦντο (οἷαι αἱ παρὰ τῷ Πλάτωνι ἐγχυτρίςριαι) καὶ Ἰαλέμους ἐξῆδον πρὸς αὐλὸν, ὡς Οὐάρων φησίν· πολλὴ γὰρ ἦν ἐν τοῖς κήδεσιν ἡ τῦ αὐλῦ χρῆσις· καὶ ἐ μόνον παρ' Ἕλλησί τε καὶ Ῥωμαίοις, ἀλλὰ καὶ παρ' Ἑβραίοις, ὡς ἐκ τῦ Εὐαγγελίε δῆλον. (Ματθ. Κεφ. Θ΄. Ἐδαφ. 23.)

Πρὸς τοῖς ὀλοφυρμοῖς τε καὶ θρήνοις, καὶ ἄλλα προσέτι λύπης τε καὶ ἀνίας σύμβολα εἰώθει ἐν χρήσει γίγνεσθαι παισὶν Ἑλλήνων, ἐν οἷς κυριώτατον ἡ τῆς κόμης ἀπόθεσις (ἢ ἀποξύρησις.) Ὀδυσ. Δ΄. ϛ. 197.

„Τοῦτό νυ καὶ γέρας οἷον ὀϊζυροῖσι βροτοῖσι,

„Κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν,

Ἐτήρησαν δὲ Ἀχαιοὶ τοῦτο ἐπὶ τῆς Ἀχιλλέως προθέσεως: (Ὀδ. Ω΄. ϛ. 46.)

„. . . . . . . . . Πολλὰ δέ σ' ἀμφὶ
„Δάκρυα θερμὰ χέον Δαναοὶ, κείροντό τε χαίτας.
Ὡσαύτως καὶ παρὰ τῷ Βίωνι (ἐν Ἀδώνιδι νεκρῷ) οἱ ἔρωτες εἰσάγονται
„κειράμενοι χαίτας. Καὶ Ἀντίπατρος δὲ (ἐν ἐπιγράμ:) ἔφη, σύμπασαν τὴν Ἑλλάδα τεθρηνηκέναι Ἀλκαῖον,

„Ἄπλεκτον χαίταν ἐν χροῒ κειραμένην.

Εἶπε δὲ καὶ Ξενοφῶν (ἐν Α'. τῶν Ἑλληνικ.) Θηραμένους ἀναιρεθέντος παρασκευασμένους ἄνδρας μελανείμονας, καὶ ἐν χρῷ κεκαρμένους ἰέναι πρὸς τὴν ἐκκλησίαν, ὡς δὴ ξυγγενεῖς ὄντας „τῶν ἀπολωλότων.„ Καὶ οὕτω δέτοι διέξεισι καὶ Ἡρόδοτος, „Ἔθιμον „εἶναι τοῖς ἄλλοις ἅπασιν, ἅμα κήδει κεκάρθαι τὰς κε„φαλὰς τοὺς μάλιστα ἱκνέεται„ Τοὐναντίον ἤπερ Αἰγύπτιοι ποιεῖν εἰώθουν, τοὺς μὲν τῆς κεφαλῆς βοστρύχους προτείνοντες, τὸ δὲ γένειον μόνον ξυρόμενοι.

Προσέτι δὲ τοὺς ἐκτμηθέντας βοστρύχους φίλον ἦν τῷ νεκρῷ ἐπιρρίπτειν: (Ἰλ. Ψ'. ς. 135.)

„Θριξὶ δὲ πάντα νέκυν καταείνυον, ἃς ἐπέβαλλον
„Κειρόμενοι. . . . . . . . . . .

Καὶ Ἀχιλλεὺς δὲ τὴν κόμην αὐτοῦ, καί τοι τῷ Σπερχειῷ καθιερωθεῖσαν, ἐν χερσὶ Πατρόκλου κατέθετο: (Ἰλιάδ. Ψ'. ς. 152.) ὃν ἐζήλωσε καὶ Ἀλέξανδρος ὁ Μακεδὼν ἐπὶ τῷ Ἡφαιστίωνος κήδει, (παρὰ Πλουτάρχῳ.) καὶ Ἀντωνῖνος ὁ Αὐτοκράτωρ (παρὰ τῷ Ἡρωδιανῷ ἐν Βιβλ. Δ'.) Ὕστερον γε μὴν καὶ τοῖς τύμβοις αὐτοῖς προσάγειν εἴθισται, ὡς ὁ τοῦ Εὐριπίδου Ὀρέστης νυκτὸς ἐλθὼν, ἐπὶ τὸν Ἀγαμέμνονος τοῦ ἰδίου πατρὸς τάφον „κόμης ἀπήρξατο. Καὶ Ἑλένη δὲ ἐπὶ τὸν τῆς ὁμαίμονος:

„Κόμης ἀπαρχὰς καὶ χοὰς φέρουσα.

Ὁ δὲ τοῦ τοιούτου οἰκιακοῦ πένθους χρόνος, διάφορός τε τῇ παρατάσει

ἦν καὶ ἄριστος, Ἀχιλλέα μὲν γὰρ οἱ Δαναοὶ πενθοῦντες ἐγένοι ἡμερῶν ἑπτακαίδεκα, τῇ δεκάτῃ δὲ ὀγδόῃ κατέκαυσαν. (Ὀδυσ. Ξ΄. Ϛ Ἡ δ' Ἕκτορος κήδευσις πᾶσα ἐν ἡμέραις δυωκαίδεκα ἐξετελέσθη. Πα τῷ Ἀπολλωνίῳ (ἐν τῷ Β΄. τῶν Ἀργοναυτικῶν) ἡ τοιάδε τ τριήμερος ἐτελεσιουργήθη.

„Ἤματα δὲ τρία πάντα γόων· ἑτέρῳ δέ μιν
„Τάρχυον μεγαλωστί. . . . . . . .

Ὁ δ' ἄρα Πλάτων (ἐν τῷ ΙΒ΄. τῶν Νόμων) διαθεσπίζει „Τρ „πρὸς τὸ μνῆμα ἐκφέρεσθαι νεκρόν. Ὃ καὶ Θραξὶ γεγονένα ἔθος γράφει, (ἐν Τερψιχόρῃ) Ἡρόδοτος.

## ΚΕΦΑΛ. ΙΔ΄.

## Περὶ τῆς τοῦ νεκροῦ κατακαύσεως.

Πρὸ τοῦ τὸ πτῶμα ἐνταφιάσαι εἰώθεσαν Ἕλληνες εἰς αποδο καθιστᾶν. Τουτὶ γὰρ Ἕλλησι σύνηθες ὄν, Λουκιανὸς (ἐν τῷ περὶ Ι γράφει:) „Ὁ μὲν Ἕλλην ἔκαυσεν· ὁ δὲ Πέρσης ἔθαψεν „Ἰνδὸς ὑάλῳ περιχρίει· ὁ δὲ Σκύθης κατεσθίει· ταρι „δὲ ὁ Αἰγύπτιος. Καίτοιγε ταῦτα, οὐδὲ διὰ παντὸ παρὰ πάντων παρατετήρητο. Ἀρχαιότατον τὸ ὑπὸ γῆν ἐνθ Κικέρων ἱστορεῖ (ἐν τῷ Β΄. τῶν Νόμ:) καὶ ἤδη ἀπὸ τὸν ἐ κροπος χρόνων, παρ' Ἀθηναίοις ὂν σύνηθες. Οὕτω κατὰ Θουκυδί Βιβλ: Δ΄.) Βρασίδας ἐντεταφίαστο· καὶ καθ' Ἡρόδοτον (ἐν Ἐρ Περιάνδρου ἀκοίτη· καὶ ἄλλοι οὓς μακρὸν ἂν εἴη καταλέγειν. Πι Ῥωμαίοις τὸ ἔθος τοῦ καίειν τοὺς νεκροὺς ὀψὲ εἰχωρῆσαι διέξεισ νιος (Βιβλ: Ζ΄. Κεφ: ΝΔ΄.) καὶ οὐ δ' ἐν οἴκοις πάνυ πολλοῖς ι

τῆσαι. Ἀλλ' ὅμως παρ' Ὁμήρῳ, τοὺς τε ἀπὸ Ἑλλήνων καὶ τοὺς ἀπὸ Τρώων νεκροὺς, ἅπαντας καιομένους ὁρῶμεν: (Ἰλιάδ: Η'. ς. 428. καὶ πολλῷ διεξοδικώτερον ἐν τῷ Ψ'. περὶ τὴν ἀρχὴν ς. 163. κξ. καὶ ἐν τῷ Ω. περὶ τὸ τέλος. ὡσαύτως δὲ καὶ ἐν τῷ Ὀδυσ: Ω'. ς. 44 – 90. ἔνθα Πατρόκλου, καὶ Ἕκτορος, καὶ Ἀχιλλέως τὰ κήδη ἐς πλάτος περιγράφεται.)

Τὸν οὖν θανόντα ὅσον ἅλις ἐκτεθρηνηκότες, ἐφ' ὃν ἔδει καίεσθαι τόπον, ἐν αὐτῷ τῷ νεκροφόρῳ σκίμποδι ἀπεκόμιζον, κἀπὶ τῆς ἐκ ξύλων νενησμένης πυρᾶς ἐτίθεντο. Ἦν γὰρ Πίνδαρος, περὶ τοῦ κήδους ᾄδων τοῦ Κορωνίδος, (Πυθοῖ Γ'.) Τεῖχος ξύλινον εἶπεν, Ὅμηρος (Ἰλ: Ψ'. ς. 164.) πυρὰν ὀνομάζει:

„Ποίησαν δὲ πυρὴν ἑκατόμποδον ἔνθα καὶ ἔνθα,
„Ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν ἀχνύμενοι κῆρ.

Ὡσαύτως δὲ καὶ (Ἰλ: Ω'. ς. 786.)

„. . . Ἐξέφερον θρασὺν Ἕκτορα δακρυχέοντες.
„Ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν. . . . . . . .

Ἐπὶ δὲ δὴ τῆς πυρᾶς, πλεῖστα ὑπὸ Ἀχιλλέως ἐσφάγη καὶ κατεκάη· ὅπερ οὖν κἂν τοῖς αὐτοῦγε τούτου κήδεσιν ὑπὸ Ἀχαιῶν ἐγένετο. (Ὀδυσ: Ω'. ς. 65. 66.)

„. . . . . . . . . Πολλὰ δέ σ' ἀμφὶς
„Μῆλα κατεκτάνομεν μάλα πίονα, καὶ ἕλικας βοῦς.

Ἀλλ' ἐκεῖνο ἐγένετο ἴδιον, ὅτι Ἀχιλλεὺς λαβὼν τὸ στέαρ ἐκ τῶν σφαγίων, τὸ Πατρόκλου περιήλειψε πτῶμα, τὰ ἀποδεδαρμένα κυκλόθεν ἐπισωρεύσας: (Ἰλ: Ψ'. ς. 168.) προσέθετο δὲ καὶ μέλιτος, καὶ ἐλαίου, ἀμφιφορέας τέσσαρας· ὡς καὶ ἐπ' αὐτῷ τετέλεσται καιομένῳ. (Ὀδυσ. Ω'. ς. 67.)

„. . . Ἔν τ' ἐσθῆτι Θεῶν, καὶ ἀλείφατι πολλῷ,
„Καὶ μέλιτι γλυκερῷ. . . . . . . .

Α'λλὰ καὶ τὰ ὅπλα ὁμοίως ἐπέῤῥιπτον ἐπὶ τὴν πυρὰν, ὡς Α'χιλλεὺς τὸν Θηβῶν ἀνάσσοντα Ἠετίωνα ἀνελὼν ἐν τῇ μάχῃ. (Ἰλ: Ζ'. ϛ. 418.)

. . . . . Κατέκηε σὺν ἔντεσι δαιδαλέοισι.

Καὶ Ε'λπήνωρ δὲ ᾐτεῖτο πρὸς Ὀδυσσέως, ὅπως ἂν ἅμα σὺν τοῖς ἑαυτοῦ ὅπλοις συγκατακαυθείη: (Ὀδυσ: Λ'. ϛ. 74.)

„Α'λλά με κακκῆαι σὺν τεύχεσιν ἅσσα μοι ἐςίν.

Οὕτω καὶ παρὰ Οὐϊργιλίῳ Μισῆνον ἐν τῷ κήδει: (Αἰνειάδ: ϛ.)

. . . . . . . Decorantque ſimul fulgentibus armis.

. . . . . . (Κοσμοῦσιν δ' ἅμα τεύχεσιν ἀγλαέεσσιν)

Καὶ ὅλως ὅσα ἐν τῷ βίῳ κεχαρισμένα διαφερόντως αὐτῷ ὑπῆρχε τῷ νεκρῷ, συνεκαίετο. Διὸ καὶ ὑπὸ Α'χιλλέως ἐνεβλήθησαν ἐν τῇ Πατρόκλου πυρᾷ οἱ τέσσαρες ἵπποι, καὶ οἱ δύο κύνες οἱ τραπεζῆες. (Ἰλ: Ψ'. ϛ. 174.) Κἀκεῖνο δὲ παρὰ ταῦτα ἐπεκράτησεν ἐν ταῖς τῶν μεγάλων ἀνδρῶν κηδείαις, τὸ καὶ ἀνθρώπους κατασφαττομένους ἐπὶ τῆς πυρᾶς ἐμβάλλεσθαι. Οὕτως Α'χιλλεὺς δυοκαίδεκα τῶν ἐν Τρωσὶν ἐκλεκτῶν νεανίσκων δορυαλώτους αὐτῷ γεγονότας, τῷ Πατρόκλῳ ἐπεσφαγίασεν. (Αὐτ: ϛ. 175.) Οἵ τε Αχαιοὶ ἐν τῷ Α'χιλλέως κήδει τὸ αὐτὸ παρατετηρημένον λέγονται, παρὰ Κοΐντῳ τῷ Σμυρναίῳ. Ο'μοίως δὲ καὶ παρὰ Οὐϊργιλ: (Αἰνειάδ: Βιβλ: ΙΑ.)

Vinxerat et poſt terga manus, quos mitteret umbris
Inferias caeſo ſparſuros ſanguine flammas.

„(Δῆσε δὲ καὶ χεῖρας νώτων ὀπίσω τοὺς μέλλε
„Νερτερίοις ῥέξειν, ἐπὶ δὲ φλόγεσ' αἵματα χεύσειν.)

Ε'ν δὲ δὴ τούτῳ τῆς πυρᾶς καιομένης, γοερᾷ τῇ φωνῇ τὸν νεκρὸν τόγε ἔσχατον ἀνεκαλοῦντο, ὥσπερ τὸν Πάτροκλον Α'χιλλεὺς οἶνον πολλάκις ἐπιλείβων. (Ἰλ: Ψ'. ϛ. 220. 221.)

„ Οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν,
„ Ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο.

Τῆς φλογὸς δ' ἀπομαρανθείσης, ἡ μὲν πυρὰ ἀπεσβέννυτο οἴνῳ, τὰ ὀςᾶ δὲ ὅσα περιελείπετο, συνελέγετο. (Ἰλ: Ψ'. ϛ. 250.)

„ Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ,
„ Ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρα,
„ Κλαίοντες δ' ἑτάροιο ἐνηέος ὀςέα λευκὰ
„ Ἄλλεγον ἐς χρυσέην φιάλην . . . . . . . . . . . .

Τὸ δ' αὐτὸ κἀπὶ Ἕκτορος γεγονὸς εἴρηται ἐν ἴσοις σχεδὸν τοῖς ῥήμασιν. (Ἰλ: Ω'. ϛ. 791. κξ:) Ἀλλὰ γὰρ τὰ Ἀχιλλέως ὀςέα „ ἀναλεχθέντα „ οἴνῳ ἐν ἀκρήτῳ καὶ ἀλείφατι (Ὀδ: Ω'. ϛ. 73.) ἀνεβράχη. Πληρȣ̂ντες δὲ διετέλȣν τȣτὶ τὸ καθῆκον οἱ μάλιςα οἰκειότατοι: ὡς παρὰ Πινδάρῳ (Η'. Ὠδῇ Πυθ.) ὁ Ἄδραςος θανόντος ὀςέα λέξας υἱοῦ. Καὶ Τιβȣ́λλῳ δὲ πεποίηται (ἐν Α'. Βιβλ: Ἐλεγ: Γ'. ϛ. 5.)

Non mihi mater,
Quae legat in moeſtos oſſa peruſta ſinus.

„ . . . . . . . (Οὐδέ μοι ὧδ' ἡ μήτηρ,
„ Ἐν κόλποις ςονόεσσα καέντα περ ὀςέα λέξει.)

Οὐδ' ἦν δυσχερὲς, τὰ ὀςᾶ, καὶ τὴν ἐκ τȣ̂ πτώματος τέφραν τῶν ἐπὶ τῆς πυρᾶς λοιπῶν διαςέλλειν, χωρὶς γὰρ ὁ νεκρὸς κατεκαίετο ὡς διδάσκει Ἀχιλλεὺς, περὶ τȣ̂ Πατρόκλȣ. (Ἰλ: Ψ'. 240.)

„ Εὖ διαγινώσκοντες· ἀριφραδέα δὲ τέτυκται·
„ Ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθεν
„ Ἐσχατιῇ καίοντ' ἐπιμὶξ, ἵπποι τε καὶ ἄνδρες.

Ὅπερ ἐπίσης ἐν τῷ τῦ Ἀχιλλέως κήδει Κοΐντος διασαφεῖ ὁ Σμυρναῖος (ἐν τῷ Γ΄. Βιβλ:) ἀσύμμικτα τοῖς λοιποῖς δηλονότι τὰ ἐκείνυ ὀςᾶ παριςῶν „ Οἳ δὴ :

„ Βαιὸν ἄπωθεν καίοντο περὶ νέκυν, ὃς δ' ἐνὶ μέσσοις
„ Ρίπῃ ὑφ' Ἡφαίςοιο δεδμημένος, οἶος ἔκειτο.

Ἀπετίθετο δ' ἄρα τὰ ὀςᾶ συλλεχθέντα ἐν κάλπῃ, ὡς περὶ τῶν Ἕκτορος εἴρηται. (Ἰλ: Ω΄. ϛ. 795.)

„ Καὶ τάγε χρυσείην ἐς λάρνακα θῆκαν ἑλόντες,
„ Πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν.

Ἀλλὰ τὰ Πατρόκλυ ὀςᾶ ἐν χρυσῇ λάρνακι ἐταμίευσε, δίπλακι ςέατι καταλύψας, καὶ λεπτῇ περιςείλας ὀθόνῃ· ἃ κἀν τῇ σκηνῇ ἐκέλευσεν ἀποκεῖσθαι, ἄχρις ἂ τοῖς ἰδίοις ἑαυτῦ θανόντος ἐν τῷ αὐτῷ συναφθέντα τύμβῳ εἰσενεχθείη. Ὅπερ δὴ καὶ γενέσθαι τῷ ὄντι ἐπὶ τῆς Ἀχιλλέως κηδείας γέγραπται. (Ὀδ: Ω΄. ϛ. 74. καὶ 77.) Ἔνθα καὶ τὰ ὀςᾶ τῦτυ ἀναλεχθέντα:

„ . . . . . . . . Ἐς χρύσεον ἀμφιφορῆα
„ Μίγδα δὲ, Πατρόκλοιο Μενοιτιάδαο θανόντος.

## ΚΕΦΑΛ: ΙΕ΄.

## Περὶ τοῦ Ἐνταφιασμοῦ.

Οὕτως ὖν τάγε ὀςέα ἀναλεχθέντα τε καὶ ἀποτεθέντα, ἐνεισήγετο εἰς Βόθρον, ἣν Ὅμηρος **Κάπετον** ὀνομάζει περὶ τῦ Ἕκτορος λέγων: (Ἰλ: Ω΄. ϛ. 797.)

„ Αἶψα γὰρ ἐς κοίλην κάπετον θέσαν.

Ὁ Σχολιαςὴς Τάφρον, φησὶν, ὄρυγμα. Εἶτ' ἐπάνωθεν πλείους ἐπεςρώννυντο λίθοι. (αὐτόθι :)

„ . . . . . . . . . Αὐτὰρ ἔπειτα
„ Πυκνοῖσιν λάεσσι κατεςόρεσαν μεγάλοισι.

Α'λλὰ το Πατρόκλȣ σῆμα τόρνῳ προεσχεδίαςο θεμελίων ἀμφὶ τὴν πυρὰν προκαταβληθέντων. (Ἰλ : Ψ'. ς. 255.)

„ Τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλοντο
„ Α'μφὶ πυρήν . . . . . . . . . . .

Τελευταῖον δὲ χοῦν ἐπέπασσον. (αὐτ : ς. 256.)

„ Εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν.

Ε'ν ᾧ δὴ μάλιςα παρ' Ε'λλησιν ὁ τȣ̃ ἐνταφιασμȣ̃ ὑφίςατο λόγος, μὴ κατὰ τὸ δέον ἡγȣμένοις ἐκτετελέσθαι, εἰ μὴ καὶ γῆ, ὡς εἴρηται, ἐπιφορηθείη. Ὁ μὲν γὰρ Νέςωρ ἄταφον ἀπεφαίνετο, (Ὀδυσ : Γ'. ς. 258.)

„ Τῷ κε οἱ ȣ̓δὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν.

Τυδεὺς δὲ ἄλλως ἐντεταφίαςαι, (Ἰλ: Ξ'. ς. 114.)

„ . . . . . Ὅν θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψεν.

Οὕτω δὲ καὶ Οὐίργίλιος (ἐν τῷ ς'. τῆς Αἰνειάδ: ς. 365.)

. . . . . . . . . Aut tu mihi terram
Iniice . . . . . (ἢε σὺ γαῖαν ἐπίχευέ μοι.)

Καὶ Ὡράτιος ἐν τῷ Α., ἔπει δὲ ΚΗ. ς. 36.

Injecto ter pulvere curras. (ἐπιχυθείσης τρὶς κόνιος τρέχοις.) Τὴν ἔν ᾧδέ πως ἐπιχεομένην γῆν, Ὅμηρος μὲν σῆμα, καὶ τύμβον καλεῖ· οἱ δὲ Λατῖνοι tumulum, a tumente terra: Οἷονεὶ πεῖν ὄχθον, ἢ λόφον, ἀπὸ τῆς ἀνοιδȣμένης χθονὸς· εἴθιςο δὲ τῷ ὄχθῳ τῷδε ἐπεγείρεσθαι καὶ ςήλη. (ὥσπερ Ἰλ : Ρ. ς. 434.)

„ Ἀλλ' ὥς τε ϛήλη μένει ἔμπεδον, ἥτ' ἐπὶ τύμβῳ
„ Ἀνέρος ἑϛήκει τεθνηκότος, ἠὲ γυναικός.

Ὁ γῦν Πάρις Ἀλέξανδρος Τυδείδῃ ἔπι τόξα τιταίνετο,

„ Στήλῃ κεκλιμένος ἀνδροκμήτῳ ἐπὶ τύμβῳ
„ Ἰλ: Λ: ϛ. 370. καὶ τῦ) Ἴλυ Δαρδανίδαο . . . . . . .

Εἴθιϛο δὲ τοῖς Ἕλλησι προσέτι καὶ τὸ τῦ νεκρῦ ἐλλόγιον ἐπιγράφειν ἐπὶ τῆς ϛήλης. Ἔσθ' ὅτε δὲ καὶ ἀνδριὰς ἐφιδρύετο παριϛάνων τὸν τεθνηκότα. Τοιάδ' ἦν ἡ τῆς Μηδείας Εἰκὼν (ἐν τοῖς Ὁμήρυ ποιηματίοις.) καὶ ἡ τῦ Ἀχιλλέως παρὰ Φιλοϛράτῳ (ἐν τῷ Δ'. Βιβλ: τῶν τῆς Ἀπολλων: βιογραφ:) Προὐτίθετο δὲ πρὸς τύτοις, καὶ ὅπλα, καὶ ἕτερ' ἄττα τῦ νεκρῦ ἔτι ζῶντος παράσημα, ὡς δῆλον ἐκ τῶν Ἐλπήνορος τῦ Ὀδυσσέως ἑταίρυ. (Ὀδυσ: Μ'. ϛ. 14.)

„ Τύμβον χεύαντες καὶ ἐπὶ ϛήλην ἐρείσαντες,
„ Πήξαμεν ἀκροτάτῳ τύμβῳ εὐῆρες ἐρετμόν.

Οὕτω δὴ καὶ Αἰνείας τῦ Μισηνῦ τυμβωθέντος, (Αἰνειάδ: ϛ'. ϛ. 233.)
Imponit ſuaque arma viro, remumque tubamque.
(Τῷ δ' ἐὰ τεύχε' ἐρείσατ', ἐρετμὸν, καὶ βυκάνηντε.)

Οὕτω καὶ παρὰ τῦ Φιλοϛράτυ (ἐν τῷ Α'. Βιβλ:) ἀρχαιότατα μνημονεύεται τὰ ἐρετειέων τυμβώματα, ἐφ' οἷς ἐν γράμμασιν Ἑλληνικοῖς, φησὶν, ἐπικεχαράχθαι τὰ ὀνόματα τῶν νεκρῶν, καὶ δὴ καὶ τὰς νῆας ἐπιγεγλύφθαι „Ὡς ἕκαϛος ἐν Εὐβοίᾳ ἔζη πορθμεύων, „ ἢ θαλάττιον, ἢ ἀλυργὸν πράττων. Τοιῦτον ὖν τὸ διατυπύμενον ὑπὸ Ὁμήρυ τῶν παλαιῶν τάφων εἶδος. Ἐπαινεῖ δ' αὐτὸς (ἐν τῇ Βοιωτίᾳ) τὸ Αἰπύτυ τῦ Ἄνακτος μνημεῖον, ὡς περιφημότατον ἁπάντων, ὃ καὶ καθεωρακὼς ἐπιμελῶς Παυσανίας (Ἀρκαδ: „ Κεφ: Ιϛ'.) ἔϛι γῆς χῶμα ὐ μέγα (φησὶ) λίθου κρηπῖδι ἐν κύκ- „ λῳ περιεχόμενον, κτ:

Ἐδομῦντο δ' αὐτοῖς ὡς τὰ πολλὰ οἱ τύμβοι ἔξω τῶν πόλεων, ἔνθα καὶ τὰ πτώματα κατεκαίετο, ὡς ὑπὸ Τρώων γεγονὸς ὁρῶμεν ἐπὶ τῆς κοινοτελῦς ἐκείνης ἐνταφιάσεως: (Ἰλ: Η'. ς. 420.) Καὶ δὴ καὶ ἐπὶ τῆς Ἕκτορος, ὃν Δάρης ὁ Φρὺξ διέξεισι, πρὸ τῆς πύλης, ἧ σύνηθες ἐντυμβωθῆναι. Τῆς αὐτῆς δὲ τυχὸν ἦν θέσεως καὶ τὸ Ἴλυ ἀρχαιότατον τύμβωμα, ὃ μέμνηται Θεόκριτος (ἐν Εἰδυλ: ΙϚ'.)

„Ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλυ.

Παραπλησίως δ' ὁ αὐτὸς καὶ τὴν στήλην ἐπὶ τῦ πεδίυ κεῖσθαι, τὴν ἐπὶ τῷ Λυγκέως τὸ Πατρὸς τύμβῳ, φησὶν, ἱδρυμένην. (ἐν Εἰδυλ: ΚΒ'.) ἔνθα καὶ τῦ Πλύτωνος:

„ Ἄγαλμ' ἀΐδαο ξεστὸν πέτρον! Τίθησι Πίνδαρος (Νεμ: Ωδ. Ι'. Μνημονεύει δὲ καὶ Οὐΐργίλιος (Αἰνειάδ: ΙΑ':) τῦ τυμβώματος τῦ Λατίνων ἄνακτος, ὡς ἔξω τῆς πόλεως κειμένυ. Διὰ τῦτο δὲ ἄρα ὑπὸ Ὁμήρυ συχνὰ, παρὰ τὴν ἀκτὴν τὰ μνήματα τίθεται: οἷον τὸ Ἐλπήνορος, τὸ Πατρόκλυ, τὸ Ἀχιλλέως, καὶ ἄλλων. Παραπλησίως δὲ τοῖς Ἑλλήνων μεταγενεστέροις ἐν ἀγροῖς οἱ νεκροὶ ἐτυμβεύοντο. Τόδε τοι ἔθος καὶ παρὰ τοῖς Ῥωμαίοις κρατῆσαι, σαφῶς παρίστησιν ὁ τῶν Κύρδεων ΙΒ': Νόμος, ὃν ἀναφέρει Κικέρων:

Hominem mortuum in urbe ne ſepelito, nec urito.

„(Τὸν τεθνηκότα ἐντὸς τῆς πόλεως, μὴ θάπτε, „μήτε καῖε.)

Προσέτι δὲ καὶ τύμβοι κενοὶ ἀμοιρῦντες τῶν νεκρῶν, παρ' Ἕλλησι πολλάκις ᾠκοδομῦντο, ἃ Κενοτάφια (ἢ Κενήρια) ἐκάλυν. Τοιῦτος ἦν ὁ τοῖς Ἕλλησι κοινῇ ἐπισκευασθεὶς τοῖς ἐν τῇ μάχῃ πεσῦσιν. (Ἰλ. Η'. ς. 334.) Τὰ γὰρ ὀστέα χωρὶς ἀπετέθειτο, ἵν' ἕκαστος ἐπιστρέφων τὰ τῦ αὐτῷ προσήκοντος μετακομίσειεν οἴκαδε. Κενὸς δὲ ἦν καὶ ὁ Πατρόκλυ τύμβος: (Ἰλ. Ψ'. ς. 244.) τῶν ἐκείνυ ὀστέων ἐπὶ τὴν σκηνὴν τὴν Ἀχιλλέως μετενεχθέντων. Ἀλλὰ γὰρ καὶ ὅλως γε ἀπόντων

ἐπιτελεῖν εἰώθεσαν τὰς νομιζομένας κηδείας, τύμβους αὐτοῖς ἐπεγείροντες. Τοῦτο γοῦν τῷ Τηλεμάχῳ διακελεύεται ἡ Παλλὰς δρᾷν, ἐπὰν ἀκούσηται τὸν γενέτην αὐτῷ ἤδη θανόντα. (Ὀδυσ. Α'. ς. 291.

„ Σῆμά τε οἱ χεῦσαι, καὶ ἐπὶ κτέρεα κτερεΐξαι.

Ὡσαύτως Μανέλαος ἐν Αἰγύπτῳ ἐπὶ τῷ θανάτῳ τοῦ Κασιγνήτου Ἀγαμέμνονος (Ὀδυσ. Δ'. ς. 584.)

Χεῦ' Ἀγαμέμνονι τύμβον, ἵν' ἀθάνατον κλέος εἴη.

Ταυτὸ δ' ἐπλήρωσε Δηϊφόβῳ καὶ Αἰνείας: (Ἀνειάδ. Βιβλ. ς'.).

Tumulum Rhoeteo in littore inanem
Conſtitui, et magna manes ter voce vocavi,
Nomen, et arma locum ſervant; te amice nequivi
Conſpicere, et patriâ decedens ponere terrâ.

(Τόφρ' ἐπὶ Ῥοιτέοιο κενήριον αὐτὸς ἐγώ σοι
Στῆσα· αὐτὰρ σε νέκυν φωνῇ μεγάλῃ τρὶς ἄϋσα·
Τοὔνομ' ἔχει δ' ὁ τόπος, σά τε τεύχε', ἐπεὶ οὐκ ἦν μοι
Ἐκχωροῦντι σ' ἰδεῖν, καὶ πατρίδι γῇ παραθέσθαι.)

Καὶ ὅλως δ' ἦν ἔθος ἑνί γε καὶ τῷ αὐτῷ νεκρῷ πλείονας τύμβους, καὶ ἐν τόποις πλείοσι, καθίστασθαι πρὸς τῶν ἀγχιστευόντων μάλιστα, ἢ τῶν ἐν πράξεσιν ἐπισημοτέρων, ὡς διαῤῥήδην ὁ Ἁλικαρνασσεὺς Διονύσιος (ἐν τῷ Α'. τῶν Ῥωμαϊ: ἀρχαιοτήτων) ἐστὶν ἐκδιδάσκων.

Ἐν τιμῆς οὖν μοίρᾳ μεγίστης τὸ τοῦ ἐνταφιασμοῦ παῖδες Ἑλλήνων ἐτίθεντο: Διὸ καὶ τοῦτο γέρας θανόντων Ὅμηρος συνεχῶς ὀνομάζει· οὗ χάριν καὶ Ἀγαμέμνων, οὐδὲν ἔχε δεινότερον Τρωσὶν ἐπαράσασθαι, ἢ ἀκηδέστους καὶ ἀθάπτους αὐτοὺς ἀπολέσθαι: (Ἰλ. Ζ'. ς. 60.) Ὡσαύτως καὶ Διδὼ ἐπηρᾶτο Αἰνείᾳ παρὰ Οὐϊργιλίῳ.

Sed cadat ante diem, mediaque inhumatus arena.

„ (Πρὶν δ' ὥρης ἠμύσαι ἄτυμβος ἐπὶ ψαμάθοισιν.

Ἐσχάτῃ δ' ἐφ' ὕβρει, καταλειφθέντα πάντῃ τὰ πολεμίων ἔκειτο πτώματα, θήρεσσιν ἑλώρια οἰωνοῖσί τε πᾶσι. Καί τοιγε καὶ δυσειδαιμονίας τὶ προσῆπτο τῷ πράγματι, οἰομένων δὴ τῶν πλειόνων, τὰς τῶν ἀθάπτων ψυχὰς ἀποκλειομένας τοῦ Ἅδου ἀβεβαίους καθ' ἕδρας ἠλάσκειν: τοῦθ' ὅπερ ἡ Πατρόκλου σκιὰ ἐποτνιᾶτο τῷ Ἀχιλλεῖ ἐπιφανεῖσα. (Ἰλ: Ψ'. ς. 71. κξ:) Ἔνθεντοι καὶ Ὀδυσσεῖ προεκκαλουμένῳ τοὺς νέκυας, προσαντᾷ πρῶτος Ἐλπήνωρ ἀπαιτῶν κηδευθῆναι (Ὀδυσ: ΙΑ. ς. 50. κξ:) οἷα δὴ καὶ παρὰ τῷ Οὐϊργιλίῳ (ἐν ς'. Αἰνειάδ.) ὁ Παλινοῦρος· καὶ παρὰ τῷ Σιλίῳ Ἄππιος.

Ὁ μὲν Τερτυλιανὸς (ἐν τῷ περὶ ψυχ:) ὑπὸ Ὁμήρου ἡγήσατο τουτὶ πεποιῆσθαι, ὡς ἂν ἡ τοῦ κήδους ἐκπλήρωσις, τήν τε περὶ τὸ δέμας τιμὴν διασώζοι, καὶ τὴν ἐπὶ τῷ πάθει λύπην μετριωτέραν τοῖς περιλειπομένοις ἐργάζοιτο. Περὶ τούτου γεμὴν, ὅπως καὶ ἔχον ἂν εἴη, ἀλλ' ἐκεῖνο δῆλον, ὅτι περὶ τὸν ἐνταφιασμόν τῶν ἀποβιούντων Ἕλληνες ὁσιώτατα ὑπῆρχον σπουδάζοντες, ὡς περὶ ἔργον ὑπὸ τῶν Θεῶν ἐνταλθὲν, ὧν τὸν παροργισμὸν σφόδρα ὑπέπτησσον, τοῦ τοιοῦδε καθήκοντος ἀμελήσαντες: ὡς ἐξ ὧν εἶπεν Ἐλπήνωρ (Ὀδυσ: Λ'. ς. 72.) φαίνεται:

„Μή μ' ἄκλαυστον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν,
„Νοσφισθεὶς, μήτοι τε θεῶν μήνιμα γένοιμι.

Μετὰ τὸν ἐνταφιασμὸν οἱ ἔγγιον τῷ γένει προσήκοντες εὐωχίαν κοινὴν παρεσκεύαζον, ὡς Πρίαμος τοῦ Ἕκτορος ἐνταφιασθέντος (Ἰλ: Ω'. ς. ωβ.) Ἀχιλλεὺς γεμὴν καὶ πρὸ τοῦ ἐνταφιασμοῦ τῷ Πατρόκλῳ παρέστησε δαῖτα νεκρώσιμον, ἥνπερ Ὅμηρος (Ἰλ: Ψ'. ς. 29.) τάφον ὠνόμασεν. Ὁ δὲ παλαιὸς Σχολιαστὴς. περίδειπνον ἑρμη„νεύει τὸ ἐπὶ τοῖς τετελευτηκόσι παρασκευαζόμενον. Ὁ μέν„τοι Εὐστάθιος ἄλλως ὑπείληφε φάσκων, ὅτι τάφος οὐ κατά τινας „ὁ μετὰ τὸ ταφῆναι τινὰ περίδειπνος, ἀλλ' ὡς ἐπὶ νεκρῷ,

„ἐπὶ γῦν Πατρόκλου μήπω ταφέντος. Ἤπου δὲ καὶ τάφον Ὅμηρος λέγει ὑπὸ Ὀρέστου τελεσθῆναι μετὰ τὴν Αἰγίσθου καὶ Κλυταιμνήστρας ἀναίρεσιν. (Ὀδυσ: Γ'. ς. 30ο.)

„Ἦτοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισι
„Μητρός τε στυγερῆς, καὶ ἀνάλκιδος Αἰγίσθοιο.

Οὐ μόνον ἄρα πρὸ τοῦ ἐνταφιασμοῦ, ἀλλὰ καὶ μετὰ τὸν ἐνταφιασμὸν εὐωχίαι ἐγίγνοντο: καίτοι τόδε συνεχέστερον ἐπεκράτει, καὶ οὐ μόνον παρ' Ἕλλησιν, ἀλλὰ καὶ παρὰ Ῥωμαίοις, καὶ ἄλλοις ἔθνεσιν, ὡς διὰ πάνυ πολλῶν ὑποδειγμάτων κατάδηλον γίνεται.

Προσετίθεντο δὲ τελευταῖον ἐπὶ ταῖς κηδείαις τῶν ἐπιφανεστέρων καὶ ἆθλοι, καὶ παντοῖα ἐπαγωνίσματα, καθὰ δι' ὅλης τῆς Ψ'. Ῥαψωδίας ἐν τῇ Ἰλιάδι, ἅττα Πατρόκλῳ ἐπανηγυρίσθη ἐκτίθεται. Ἔνθα (ς. 680.) τὰ παραπλήσια τελεσθῆναι, λέγεται καὶ ἐπὶ Οἰδίποδι τῷ Θηβαίων Βασιλεῖ κηδευθέντι· ἐν οἷς Εὐρύαλος πάντας ἐνίκα Καδμείωνας. Καὶ τοῦ Ἀχιλλέως δὲ ἐνταφιασθέντος παντοίους ἀγῶνας Ἀχαιοὶ συνεστήσαντο· (Ὀδυσ: Ω. ς. 88.) καὶ δήπου δι' ἐξαιρέτου πομπείας, ὑπὲρ πᾶσαν ἄλλην, ἥτις ἂν Ἡρωϊκοῖς ἀνδράσιν, ἢ ἄρχουσι ποτὲ γένοιτο. Οὕτω καὶ τὸν Ἡρακλέα ποιῆσαι τεθνηκότι τῷ Πέλοπι γράφει Διονύσιος ὁ Ἁλικαρνασσεύς, (ἐν Βιβλ: Ε'.) Καὶ τοῦ αὐτοῦ δὲ γέρως μεταχὼν ἐγένετο καὶ Βρασίδας παρὰ Θουκυδίδῃ, καὶ Μιλτιάδης παρὰ Ἡροδότῳ, καὶ Τιμολέων παρὰ Πλουτάρχῳ καὶ ἄλλοι ἀριθμὸν ὑπερπαίοντες. Ἀλλὰ γὰρ πρώτους ἁπάντων τοὺς τοιούσδε ἐκτελεσθῆναι ἐπιταφίους ἀγῶνας τῷ Ἀζᾶνι θανόντι Παυσανίας παρέδωκεν (ἐν τοῖς „Ἀρκαδ:) Ἐπὶ δὲ Ἀζᾶνι τῷ Ἀρκάδος τελευτήσαντι, ἆθλα „ἐτέθη πρῶτα· Εἰ μὲν γὰρ ἄλλα, οὐκ οἶδα: ἱπποδρομίας „δὲ ἐτέθη. Ὁ δὲ τύπος ὅδε, ὡς καὶ ἕτεροι οὐκ ὀλίγοι, ἀπὸ τῶν Ἑλλήνων ἐπὶ τοὺς Ῥωμαίους διέβη, οὗ πλεῖστα, ἐν τῇ ἱστορίᾳ μάλιστα τῶν Καισάρων δείγματα πρόκειται.

## ΚΕΦΑΛ. ΙϚ.

## Περὶ τῶν Μαντειῶν.

Τὰ περὶ τῶν Θεῶν, καὶ τῆς αὐτῶν δημοτελοῦς θεραπείας ἐκθεμένοις λειπόμενον ἐστὶ, καὶ περὶ Μαντειῶν τι εἰπεῖν, ὧν παρ' Ὁμήρῳ συχνὴ λίαν γίγνεται μνεία· πανταχοῦ γὰρ αὐτῷ οἱ Μάντεις διαθρυλλοῦνται, οἱ Οἰωνοπόλοι, οἱ Ὀνειροπόλοι, ἔτι τε μὴν καὶ παρὰ τοῖς Κύκλωψιν. (Ὀδυσ: Ι'. ϛ. 510.) Ἦν δὲ Μαντειῶν ἁπασῶν ὑπερέχουσα, ἡ ἐξ ἐνθέου κατακωχῆς ἀποῤῥήτου γινομένη, μετὰ ἐνθουσιασμοῦ τινὸς τὰ πολλὰ καὶ μανίας· ὅθεν οἱ Μάντεις καὶ τὴν κλῆσιν ἔλαχον, ὡς Πλάτων μαρτυρεῖ (ἐν τῷ Φαίδρῳ) καὶ Κικέρων (ἐν τῷ Α'. τῶν περὶ τῆς Μαντικῆς.) Καὶ ὑπὲρ τοῦ τοιούτου τῆς Μαντείας εἴδους χωρί' ἄττα ὑπῆρχεν, ἐφ' ἃ ἔδει παρεῖναι τοὺς χρήσασθαι μέλλοντας, ὧν ἀρχαιότατον τὸ Διὸς τοῦ Δωδωναίου ἐν Ἑλλάδι γενέσθαι, γράφει (ἐν τῇ Εὐτέρπῃ) Ἡρόδοτος· πρὸς ὃ καὶ τὸν Ὀδυσσέα φησὶν Ὅμηρος (Ὀδυσ: Ξ'. ϛ. 327. καὶ Ὀδύσ: Τ'. ϛ. 269.) προσεληλυθέναι. Ἀλλὰ καὶ Ἀμφίνομος βούλεται ἐπὶ τὸ αὐτὸ καὶ τοὺς Πηνελόπης μνηστῆρας ἀναδραμεῖν, πρὸ τοῦ Τηλέμαχον ἀνελεῖν. (Ὀδυσ. Ξ'. ϛ. 402.) Καὶ ἕτερον δὲ ἐν τοῖς Μαντείοις περιβόητον ἦν, τὸ τοῦ Πυθίου Ἀπόλλωνος, ἀφ' οὗ χρηστηριάσασθαι Ἀγαμέμνονα φησὶν Ὅμηρος (Ὀδυσ: Θ'. ϛ 79.)

Ἀλλὰ γὰρ παρὰ Ὁμήρῳ μᾶλλον τεθρύλληται ἡ Μαντικὴ ἡ ἐκ τέχνης, καὶ διὰ σημείων ἡγησαμένων περαινομένη, ἣν Παυσανίας (ἐν τοῖς Ἀττικ:) ἐν χρήσει μάλιστα γενέσθαι τοῖς ἀρχαιοτέροις διατείνεται μαντιπόλοις. „Χωρὶς δὲ, πλὴν ὅσους ἐξ Ἀπόλλωνος „μανῆναι λέγουσι, τὸ ἀρχαῖον Μάντεων γ' οὐδεὶς χρησμο„λόγος ἦν· ἀγαθοὶ δ' ὀνείρατα ἐξηγήσασθαι, καὶ διαγνῶναι „πτήσεις ὀρνίθων, καὶ σπλάγχνα ἱερῶν. Καὶ αὐτὸν δὲ Ἀμφιάραον, τὸν θείας μοίρας μετεσχηκότα, μάντιν ὀνείρων φησὶν ὑπάρξαι εἰκασίαις μάλιστα χρώμενον. Κικέρων δὲ αὐτόν τε δὴ, καὶ τὸν Τειρε-

σίαν, ὃν τοσοῦτον Ὅμηρος ὕμνησεν, οἰωνοῖς τε καὶ τεκμηρίοις παραινουμένους προφῆναι διέξεισι τὰ ἐσόμενα. Ἀλλὰ καὶ Πλίνιος τὸν Τειρεσίαν ὑποφήτην τῶν Οἰωνοσκοπιῶν ἀνακηρύττει.

Πρωτίστην ἐν τῷ τοιῷδε τῆς Μαντικῆς εἴδει ἔλαχε τάξιν, ἡ διὰ τῆς τῶν πτηνῶν διασκέψεως καὶ παρατηρήσεως, ἥτις ὁλοσχερῶς ἡ πᾶσα **Οἰωνιστικὴ** ὑπὸ Πλάτωνος προσηγόρευται· ἐλαμβάνετο δὲ ἐκ τῆς ἐκείνων πτήσεως καὶ τῆς ᾠδῆς καθ' Ὅμηρον: (ἐν Ὕμν. Ἑρμ: ς. 541)

„Φωνῇ καὶ πτερύγεσσι τελἠέντων οἰωνῶν.

Ὃ καὶ Οὐίργίλιος εἶπεν (Αἰνειάδ: Βιβλ: Γ'. ς. 361.)

Et volucram linguas, et praepetis omina pennae.

„(Οἰωνῶν γλώσσας τ' ὠκύπτερά θ' ὅσσα προφαίνει.

Ἐν οἷς τὰ μὲν ἐπὶ τὸ δεξιὸν μέρος, αἴσια τοῖς Ἕλλησιν ἐνομίζετο. Ὅθεν τῷ Ὁμήρῳ ὁ τοσάκις ῥηθεὶς **δεξιὸς ὄρνις**: ὅνπερ ἀγαθῇ τύχῃ καθίπτασθαι οἱ Ἀχαιοὶ ἑφηρμήνευον: (Ἰλ: Ν'. 821.) ὡς καὶ Ἑλένη τῷ Τηλεμάχῳ (Ὀδυσ: Ο'. ς. 160. κξ:) τοὐναντίον δὲ τῷ Ἕκτορι οὐκ ἀγαθὰ οἰωνίζεται Πολυδάμας, ὅτι (Ἰλ: Μ'. ς. 201. καὶ 218.)

„Ὄρνις Τρωσὶν ἐπῆλθε περησέμεναι μεμαῶσιν,
„Αἰετὸς ὑψιπέτης, ἐπ' ἀριστερὰ λαὸν ἐέργων.

Ἦν δὲ δεξιὸν μέρος, τὸ πρὸς ἥλιον ἀνίσχοντα ἀφορῶν· ἀριστερὸν δὲ, τὸ πρὸς δυόμενον, ὡς Ἕκτωρ ἀναπτύσσει λέγων: (Αὐτ. ς. 239. καὶ 240.)

„Εἴτ' ἐπὶ δεξί' ἴωσι, πρὸς ἠῶ τ' ἠέλιόν τε,
„Εἴτ' ἐπ' ἀριστερὰ τοίγε, ποτὶ ζόφον ἠερόεντα.

Οὕτω γὰρ ἀπὸ Ὁμήρου νοεῖσθαι τὰ μέρη ταῦτα, ἐπιβεβαιοῖ ὁ Πινδάρου σοφὸς ἐξηγητὴς, ἐν τοῖς **προλεγομένοις** φάσκων: Δεξιὰ

καλεῖ Ὅμηρος τὰ ἀνατολικὰ, ἀριστερὰ δὲ τὰ δυτικά. Καὶ μὲν δὴ καὶ τῶν Φιλοσόφων οἱ κορυφαῖοι, Πυθαγόρας τε, καὶ Πλάτων, καὶ Ἀριστοτέλης: δεξιὸν μὲν εἶναι τοῦ κόσμου τὸ ἀνατολικὸν κλῖτος εἰπόντες, ἀριστερὸν δὲ τὸ δυτικόν: ὡς ἰδεῖν ἐστὶ παρὰ Πλουτάρχῳ, ἐν τοῖς περὶ τῶν ἀρεσκόντων τοῖς Φιλοσόφοις. Βιβλ. Β΄.

Ταυτὸ παρατετήρηται κἀπὶ τῆς βροντῆς: Ὁ γὰρ Αἴας ἐπὶ τῇ Τρώων θηριωδίᾳ ἐπιπστνιώμενος ἔφη: (Ἰλ. Ι΄. ϛ. 236.)

„Ζεὺς δέ σφιν Κρονίδης ἐνδέξια σήματα φαίνων

„Ἀστράπτει. . . . . . . . . . . . . .

Ὃ δὴ μεθερμηνεύων ὁ Κικέρων (ἐν τῷ Β΄. τῶν περὶ Μαντικ.) ἐκφράζει: Profpera Iuppiter his dextris fulgoribus edit. Ἀλλάγε, Ἔννιος τοὐναντίον Intonuit laevam bene tempeftate ferena: (Ἐβρόντησεν ἀριστερὰν καλῶς, οὔσης εὐδίας.) ἀμέλει τοι ἐξ ἔθους τοῦ παρὰ τοῖς Ῥωμαίοις, οὓς ἀντιφρονεῖν τοῖς Ἕλλησι περὶ τοῦτο διδάσκει Τοῦλλιος: οὕτω δὴ φάσκων, ἡμῖν τὰ ἀριστερὰ δοκεῖ, τοῖς δ' Ἕλλησι καὶ τοῖς βαρβάροις τὰ δεξιὰ εἶναι κρείττονα.) περὶ οὗ πλατύτερον ὁ Πλούταρχος διεξέρχεται (ἐν τοῖς Ῥωμαικοῖς Προβλήμ. ΟΖ.)

Ἐχομένως ἕπεται ἡ ἐξ ὀνείρων Μαντική, ἣν οἱ μετιόντες ὀνειροπόλοι προσειρήνται. Τοιοῦτον τινὰ μετάπεμπτον γενέσθαι Ἀχιλλεὺς βούλεται, ὅς ἂν τὴν αἰτίαν ἐξείποι τοῦ παροργισμοῦ τοῦ Ἀπόλλωνος. Καὶ „γάρ τ' ὄναρ ἐκ Διός ἐστι, φησὶν, ὅθεν σαφῶς ἔχει τὸ ἀξιόπιστον. (Ἰλ. Α΄. ϛ. 63.) Ὑπόδειγμα δὲ τούτου τό: (Ὀδυσ. Τ. ϛ. 535) Ἔνθα Πηνελόπη αἰτεῖται Ὀδυσσέα, τὸν ὄνειρον αὐτῇ ὑποκρίνασθαι τῶν κατοικιδίων χηνῶν, τῶν πρὸς τοῦ ἀγκυλοχείλους Ἀετοῦ ἀποκτανθεισῶν: ὃν ἐκεῖνος περὶ τῆς ἐσομένης τῶν μνηστήρων ἀναιρέσεως διηρμήνευσεν.

Ἀρχαιοτάτη δ' ἦν τοῖς Ἕλλησι προσέτι καὶ ἡ Μαντική, ἡ διὰ τῆς τῶν σπλάγχνων διασκοπήσεως τῶν θυμάτων, ἣν οἱ Ῥωμαῖοι Extifpicium (Σπλαγχνοσκοπίαν) ἐκάλουν, ἧς μέντοι παρ' Ὁμήρῳ δεῖγ-

μα κεῖται οὐδέν· ὑποσημαίνειν γὰρ μόνον τοιοῦτό τι ἔοικε βουλομένῳ ὑπὸ τῷ Μάντεος ὀνόματι, ᾧ τὸ τοῦ ἱερῆος παρασυνάπτει. (Ἰλ. Α΄. ς. 62).

„Ἀλλ᾽ ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα.

Καὶ οὕτω δὲ καὶ Εὐστάθιος ἑρμηνεύει (ἐν τῷ Ω΄. τῆς Ἰλιάδ. ς. 221.) τὸ ἔπος:

„Ἢ οἱ Μάντεες εἰσὶ θυοσκόοι, ἢ ἱερῆες.

„Δύω γάρ, φησί, κατὰ τοὺς ἀρχαίους, μάντεων συνί-
„σταθαι γένη: Θυοσκόους τε δή, τοὺς διὰ τῶν ἐπιθυμιωμένων:
„τουτέστι τοὺς ἐμπυρομάντεις, ἢ λιβανομάντεις, ὡς ἄλλως
„ἀποκαλοῦνται· καὶ τοὺς ἱερεῖς, οὓς ἱεροσκόπους ὀνομάζει καθ᾽ ἑτέραν ἐπίκλησιν, τοὺς διὰ τῶν σπλάγχνων. Ἀλλὰ καὶ Ἀπουλήϊος (ἐν τῷ Βιβλ. τῷ περὶ τοῦ Δαιμον: τοῦ Σωκρ.) ὑπὸ τῇ αὐτῇ ἐπωνυμίᾳ τοῦ Σπλαγχνισκόπου, προσαγορεύει τὸν Κάλχαντα, ὅν περ ἐπὶ τοῦ τῶν Ἀχαιῶν στρατοῦ, Μάντιν ὄχ᾽ ἄριστον ἀνακηρύττει Ὅμηρος (Ἰλ. Α. ς΄. 69. 70.)

Ὑπῆρχε δὲ καὶ πολλὰ ἄλλα, τὰ δεισιδαιμόνως παρατηρούμενα, οἷον ὁ πταρμὸς, ὡς ἐπιφέρει Πλίνιος (ἐν Βιβλ. Ζ΄. Κεφ. Ζ΄.) atque etiam, parva dictu, in auguriis sternutamenta, et offensiones pedum. (Καὶ μὲν δὴ καὶ τὰ μικροῦ λόγου ἄξια ἐν οἰωνίσμασι πτάρματά τε, ποδῶν τε προσκόμματα. Οὗ δεῖγμα τὸ, (ἐν Ὀδυσ. Ρ΄. ς. 545.)

„Οὐχ ὁράας, ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσι.

Τῷδε γὰρ τῷ οἰωνισμῷ, ὡς αἰσιωτέρῳ, ἡ Πηνελόπεια τὴν ἑαυτῆς εὐχὴν ἐπιβεβαιοῖ, περὶ τῆς τῶν μνηστήρων ἐπαναιρέσεως· Οὕτω δὲ καὶ Θεόκριτος (ἐν Εἰδυλ. ΙΖ.)

„ Ὄλβιε γαμβρὲ ἀγαθός τις ἐπέπταρεν ἐρχομένῳ το,
„ ἐ'ς Σπάρτην. . . . . . . . . . .

Καὶ παρὰ Ξενοφῶντι (ἐν τῷ Γ'. τῆς Ἀναβασ:) ὁ ςρατὸς αἴφνης πταρμȣ γενομένȣ, σωτηρίαν σφίσιν ὑπέχοντο. Ἀλλ' ἐπὶ τȣ πταρμȣ προσέτι καί τι ἀπαίσιον ἐνίοτε συνεβάλλοντο, ὡς ἐπ' ἐκείνȣ, παρὰ τῷ αὐτῷ Θεοκρίτῳ (ἐν Εἰδυλ. Ζ'. ς. 96.)

„ Σιμιχίδᾳ μὲν ἔρωτες ἐπέπταρον, ἦ γὰρ ὁ δειλὸς
„ Τόσσον ἐρᾷ Μύρτης, ὅσον ἔαρος αἶγες ἔρωνται.

Ἔνθα τȣ̀ς πταρμȣ̀ς ὁ Σχολιαςὴς ὁτὲ μὲν τελεσφόρȣς, ἄλλοτε δ' ἐπιβλαβεῖς εἶναι λέγει. Ἀλλὰ καὶ Εὐςάθιος (ἐν τῷ Η'. τῆς Ἰλιάδ.) τὸν πταρμὸν ἐπιβεβαιȣ̃ται ἐκ' ἀγαθῷ ἐκλαμβάνεσθαι εἰωθέναι, εἴτις πρὸς δεξιὰν πτάροιτο: Οὗ δεῖγμα κεῖται παρὰ Πλȣτάρχῳ ἐν Βίῳ τȣ Θεμιςοκλέȣς ὡς τȣ̀ς ἐπὶ τὴν λαιὰν πταρμȣ̀ς τυχὸν μὴ καλῶς ἀκȣ́ειν.

Καὶ ταῦτα μὲν περὶ τῆς παρὰ τοῖς πάλαι Ἕλλησι Μαντικῆς εἰρημένα ἐξ Ὁμήρȣ, ἅλις ἐχέτω: ἧς καίτοιγε παρὰ τῷ χύδην ὄχλῳ μεγάλη τις ἦν ἡ ἀξιότης, ȣ̓ μέντοιγε καὶ παρὰ πᾶσιν ἁπάσης εἶναι ἀμφιβολίας ἐκτὸς ἐπιςεύετο. Μάλιςα μὲν δὴ ἐθρυλλεῖτο ἡ Μαντικὴ ἡ ἐκ τῶν οἰωνῶν, ἢ καὶ ἐκ τῶν ὀνείρων, ἀλλ' ἐκείνην ὅλως ὑπερεξαίρει Ἕκτωρ (Ἰλ. Μ'. ς. 230. κξ.) καὶ Εὐρύμαχος (Ὀδυσ. Β'. ς. 17. κξ.) Κατὰ δὲ ταύτης ἀντιφέρεταί πως ἡ Πηνελόπη (Ὀδυσ. Τ. ς. 560. Τέως δ' ȣ̓̃ν Εὐριπίδης τὸ Μάντεων γένος ὡρίσατο καθόλȣ εἶναι, τὸ πολλὰ μὲν ψευδῆ, ὀλίγα δ' ἀληθῆ λέγον:

„ . . . . . . . . . . Τίς δὲ Μάντις ἐς' ἀνὴρ,
„ Ὃς ὀλίγ' ἀληθῆ, πολλὰ δὲ ψευδῆ λέγει.

## ΚΕΦΑΛ. ΙΖ΄.

# Περὶ Μαγικῶν Τεχνῶν.

Συγγενὴς ἐςὶ τῇ Μαντικῇ ἡ Μαγεία. Ταύτης γὰρ τὸ μὲν πλεῖςον ἐν τῇ τῶν κρυφίων κεῖται διερευνήσει, τὸ δὲ λοιπὸν, ἐν τῷ ἀσχολεῖσθαι ἀποτελεῖν τὰ εἰς θαῦμα κινῦντα. Συχνὴ δ᾽ αὐτῆς, ἐπὶ τῆς Ὁμήρȣ Ὀδυσσείας ἡ χρῆσις, ὥςε καὶ τὴν ποίησιν ὅλως ἐκείνην μηδαμόθεν ἄλλοθεν συνεςάναι Πλίνιος ἀπεφήνατο, (ἐν Βιβλ: Λ΄. Κεφαλ: Λ΄.) „Οὐδὲ γὰρ ἄλλως, φησὶ, καὶ τὸν Πρωτέα καὶ τὰς ᾠδὰς „τὰς Σειρήνων παρ᾽ αὐτῷ θέλειν νοεῖσθαι. Ἀλλὰ καὶ ἡ „Κίρκη τῇ τῶν ἐξ Ἅδȣ ἐπανακλήσει τȣ̃το αὐτὸ διαπράτ-„τεται μόνον. Καὶ εἰς τόδε δ᾽ αὖ ςρέφεται ἅπασα ἡ τοῖς Ὀδυσσείας δεκάτη πρώτη Ῥαψῳδία, ἣν οἱ παλαιοὶ Νεκυίαν ὠνόμασαν. Ὀδυσσεὺς γὰρ ἐν ταύτῃ βοσκήματα μέλανα σφάξας ἐν βόθρῳ, μετὰ λοιβάς τινὰς περικεχυμένας, ἀνακαλεῖται τὰς τῶν τεθνεώτων ψυχὰς προσελθȣ́σας τȣ̃ αἵματος ἐκπιεῖν· ἰδιαίτερον δὲ τὴν τȣ̃ Μάντεως Τειρεσίȣ· καὶ περὶ πραγμάτων αὐτὰς διαφόρων διαπυνθάνεται. Ταὐτὸ δὲ καὶ τὸν Τειρεσίαν αὐτὸν εἰωθέναι πράττειν ἐν ζῶσιν ὄντα, παρέδωκε Στάτιος· καὶ τὸν Αἴσωνα δὲ Οὐαλλέριος ὁ Φλάκκος· καὶ Πλίνιος δὲ τὸν Νέρωνα, ȣ̓ μόνον κτήνεσι μελανόχρωσιν, ἀλλὰ καὶ ἀνθρώποις ἐπὶ τȣ́τῳ σφαγιαζομένοις ἀναφέρει χρησάμενον. Ὃν δὴ τρόπον καὶ ὁ Ναζιανζηνὸς Γρηγόριος ἐν τῷ Στηλιτευτικῷ κατὰ Ἰȣλιανȣ̃ μέμνηται „τῶν ἀνατεμνομένων παρθένων τε καὶ παίδων ἐπὶ ψυχα-„γωγίᾳ καὶ Μαντείᾳ. Ἀλλὰ καὶ ὁ Τυανεὺς Ἀπολλώνιος παρὰ Φιλοςράτῳ (ἐν Βιβλ: Δ΄.) φησὶν, ὅτι τὴν Ἀχιλλέως ψυχὴν δι᾽ εὐχῶν „καθαρῶν ἀνεκαλέσατο: Οὐ γὰρ βόθρον Ὀδυσσέως ὀρυξάμενος, „ȣ̓δ᾽ ἀρνῶν αἵματι ψυχαγωγήσας, εἰς διάλεξιν τȣ̃ Ἀχιλ-„λέως ἦλθεν, ἀλλ᾽ εὐξάμενος, ὁπόσα τοῖς Ἥρωσιν οἱ „Ἰνδοί φασι δεῖν εὔχεσθαι. Ἐγίνετο δ᾽ ὁ τοιȣ̃τος τύμβος ἐξ ἔθȣς· ἐκεῖ γὰρ ᾤοντο τὰς ψυχὰς, πόθῳ τῶν οἰκείων ἀγομένας σωμάτων, ἀσμενέςερον ἀναςρέφεσθαι. Ἔνθεντοι Οὐϊργίλιος (ἐν τῇ Η΄: τῶν Ἐκλογ: ϛ. 96.) ἔφη:

Moerin saepe animas imis excire sepulcris.
„(Μοῖριν πολλάκις ἐκ τύμβων ψυχὰς καλέεσθαι.)

Καίγε ἡ Φαρμακὶς Ἐριχθὼ παρὰ τῷ Λευκανῷ: (ἐν Βιβλ. ϛ΄.) τὰς μαγικὰς αὐτῆς ἀνεκκλήσεις ἐπὶ τοῦ τάφου ποιεῖται. Ὅθεν καὶ Ἐπιτυμβάδες αἱ τοιαῦται γυναῖκες προσηγορεύοντο. Ἀλλ' ὁ Ὁμηρικὸς Ὀδυσσεὺς παρὰ τοῖς ὑποχθονίοις τὰ τοιαῦτ' ἀπετέλει, ἔνθα μάλιστα αἱ νεκύων περιπολοῦσι σκιαί· (Ὀδυσ: Λ΄. ϛ. 474.) .....

„ . . . . . . . . . . . Ἐνθάδε νεκροὶ
„ Ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων.

Ἄλλως τε δὲ, ἦν τὸ πάλαι παρ' Ἕλλησι καὶ χωρία τινὰ, ἐν οἷς περ ἐξ ἔθους οἱ νεκροὶ ἀνεξεκαλοῦντο. Τοιοῦτον ἦν τὸ Νεκυομαντεῖον τὸ παρὰ Θεσπρωτοῖς, πρὸς ὃ Περίανδρος ὁ Κορινθίων Τύραννος τοὺς διαπευσομένους ἀπέσταλκε περὶ τῆς τοῦ ξένου παρακαταθήκης· ἀνεφάνη δὲ Μέλισσα ἡ ἀκοίτη, ἥτις ἀπηνήνατο ἀποκρίνασθαι, παρὰ τὸ ῥιγοῦν γυμνὴν οὖσαν, ὡς παρ' Ἡροδότῳ (ἐν τῇ Τερψιχόρῃ) ἀναγινώσκομεν. Παυσανίας δὲ (ἐν τοῖς Βοιωτικ:) καὶ τοῦ Νεκυομαντείου μέμνηται, ἐν ᾧ Ὀρφεὺς φέρεται ἐκκαλεσάμενος Εὐρυδίκην: Ὅθεν καὶ εἰς Ἅδην εἴρηται καταβῆναι. Τοιοῦτον ψυχοπομπεῖον διαφημίζει καὶ Πλούταρχος καθ' Ἡράκλειαν ὑπάρξαι· ἐν ᾧ Παυσανίας, ἱλασμοῖς καὶ χοαῖς τισι, τὴν ψυχὴν κόρης τινὸς Βυζαντίδος ὑπ' αὐτοῦ ἀναιρεθείσης ἐξεκαλέσατο, τῆς καὶ τὸ πέρας αὐτῷ τοῦ βίου προανειπούσης. Τὸ δ' αὐτὸ διέξεισι καὶ Κικέρων, παρὰ τῇ Ἀόρνῳ λίμνῃ γεγονός. Inde, φησὶν, ista Homeri Νεκυία; inde ea quae meus amicus Appius Νεκυομαντεῖα faciebat; inde in vicinia nostra Averni lacus, unde animae excitantur obscura umbra, aperto ostio alti Acherontis, falso sanguine

imagines mortuorum (ἐν Α': Τεσκελάν:) ἐντεῦθεν ἡ „Ὁμήρε, φησὶ, Νεκυία· ἐντεῦθεν ἅπερ ὁ ἐμὸς φίλος „Ἄππιος, τὰ Νεκρομαντεῖα ἐποιεῖτο· ἐντεῦθεν ἡ ἐκ γειτόνων ἡμῖν Ἀόρνε λίμνη, ὅθεν αἱ ψυχαὶ τῆς ζοφερᾶς „σκιᾶς ἐξεγείρονται ἀναπεταννυμένης τῆς θύρας τε ὑψηλε Ἀχαίροντος, ἐν αἵματι ψευδεῖ νεκρῶν εἰκόνες. Τελευταῖον, ὡς λίαν τῷ ἔθει τέτριπτο ἡ Νεκυομαντεία τοῖς παλαιοῖς αὕτη, ὥςε καὶ τὸν Ἄππιον τὴν Ὁμήρε ψυχὴν ἐκκαλεσάμενον διαπυθέσθαι, τίς ποτε ἄρα ἡ Πατρὶς αὐτῷ γένοιτο; καὶ οἱ τεκόντες δὲ αὐτὸν τίνες; ὡς ὁ Πλίνιος (ἐν Βιβλ: ΚΘ'. Κεφ Β'.) μαρτυρεῖ.

Ποικίλα δ' ὡσαύτως καὶ τεράςιά τινα φέρεται τῆς Μαγείας ἀποτελέσματα, ε μόνον ἐν ἀνθρώποις καὶ κτήνεσιν, ἀλλὰ κἀν αὐτοῖς τοῖς ςοιχείοις τοῖς τε κόσμε τερατεργέμενα, ἃ δι' ἐπῶν τινων μαγικῶν συνεργήσει δαιμονίων ἀνοσιεργοὶ ἄνθρωποι δρῶσιν. Ἐπωδὴν Ἕλληνες ὠνόμασαν, ἣν οἱ Λατῖνοι εἶπον, Incantationem ἐκ τῆς ἐπαγωγε ἀοιδῆς τῶν Ὁμηρικῶν Σειρήνων ἐκφράσαντες. Διὰ δὴ ταύτης τὸν νεν τοῖς ἀνθρώποις παρεκφέρεσθαι πεπίςευται, καὶ οἱονεί πως τῆς ἰδίας ἕδρας ἐξίςασθαι: ὡς δῆλον ἐκ τῶν Θεοκρίτε (ἐν Εἰδυλ: Β'.) καὶ ἐκ τε Ὀυϊργιλίε. (ἐν Ἐκλογ: Η'.)

Ἀλλ' ἡ τῶν Μάγων μεγίςη καὶ τερατωδεςάτη ἰσχὺς ἐν ταῖς μεταμορφώσεσι κεῖται, ταῖς γε ἑαυτῶν, καὶ ταῖς τῶν ἄλλων, οἵαν ἐπὶ τε Πρωτέως καὶ τῆς Κίρκης παρέςησεν Ὅμηρος. Τοῖς μὲν ἐν Ἀρκάσι σύνηθες ὑπάρξαι διέξεισι Πλίνιος (Βιβλ: Η'.) λίμνην διανηχομένες, ἐξ ἀνθρώπων εἰς λύκες, καὶ ἀνάπαλιν αὖ, μεταμείβεσθαι, ὓς Λυκανθρώπες Ἕλληνες εἶπον. Τεθ' ὅπερ ἐφ' ἡμῶν, ἐξ ἔθες κρατεῖν παρὰ τοῖς Πιλαππίοις, Βορείοις δήμοις ἐκ μαρτύρων ἀξιοπίςων Πευκέρος παρέδωκεν. Οὕτω δὴ Ουϊργίλιος (ἐν τῇ ς'. τῶν Ἐκλογ. ς, 97.) τὸν Μοῖριν ἐκεῖνον:

Saepe lupum fieri, et fe confiftere fylvis.

„(Δηθὰ λύκον γίγνεσθ', ἐνὶ δ' ὕλαις ἐγκαταμίμνειν.)

Καὶ δῆλον δ' ἐστὶ κἀκ τοῦ Λουκιανοῦ ὄνου, ὅση τις ἦν ἡ τῆς τοιᾶσδε μεταμορφώσεως χρῆσις παρὰ Θετταλοῖς, τοῖς ἁπάντων Ἑλλήνων μαγικωτάτοις.

Ἀλλὰ γὰρ κατὰ τῆς λυμαντηρίου ταύτης Μαγικῆς δυνάμεως, ἐστὶν ἄττα ἀντίδοτα οἱ παλαιοὶ ἀπεχρῶντο: οἷον τὸ φυτὸν τὸ Μῶλυ, τὸ κατὰ τῶν ἐπῳδῶν τῆς Κίρκης ὑπὸ Ἑρμοῦ τῷ Ὀδυσσεῖ δοθέν. (Ὀδυσ: Κ'. ς. 302. κξ.) Ὅπερ οὖν καὶ Πλίνιος (Βιβλ: Δ'. Κεφ: ΚΕ'.) ἀντεπῳδικὸν ὀνομάζει. Ἀλλὰ καὶ Ἀπουλήϊος (ἐν τοῖς περὶ τῆς τῶν Βοτανῶν δυνάμεως Κεφ: Ζ'.) De verbasco (περὶ τοῦ φλόμου) πραγματευόμενος: hanc herbam (φησὶ) dicimus Mercurium inveniſſe et Ulyſſi dediſſe, cum deveniſſet ad Circem, ut nulla maleficia ejus timeret. Herbae verbaſci virgultum qui ſecum portaverit, nullo metu terrebitur, neque beſtiae, neque occurſus mali moleſtabunt hunc. „(Τόνδε τὸν χόρτον φαμὲν Ἑρμῆν ἐξευρηκέναι, καὶ τῷ „Ὀδυσσεῖ δεδωκέναι πρὸς Κίρκην ἀφιξομένῳ, ἐφ' ᾧ μη„δεμίαν ἐξ αὐτῆς δεδιέναι λύμην κακουργίας. Εἴτις φλόμου „θράυσανον μεθ' ἑαυτοῦ φέροι, οὐδεμίαν πτοηθήσεται „πτόησιν. Οὔτε θηρὸς, οὔτέ τινος κακοῦ προσάντησις αὐτῷ „παρενοχλήσει.)

Ἄλλως τε δὲ, καὶ ὡς πρὸς ὑγίειαν φέρουσαι αἱ ἐπῳδαὶ παρελήφθησαν, ἅτε νόσων ἀποκρουστικαὶ, ἣ παρὰ τῶν Αὐτολύκου παίδων, ἐπὶ τῆς Ὀδυσσέως Ὠτειλῆς συμβεβηκέναι διέξεισιν Ὅμηρος (Ὀδυσ: Τ'. ς. 457.

„Δῆσαν ἐπισαμένως, ἐπαοιδῇ δ' αἷμα κελαινὸν
„Ἔσχεθον . . . . . . . . .

Οὗ καὶ Πλίνιος ἐπεμνήσθη: (Βιβλ. ΚΗ'. Κεφ. Β'.) καίπερ παραπταίσας τῇ μνήμῃ: (* Ἀναγνοὺς ἔσχεθεν, ἀντὶ τοῦ ἔσχεθον τοῦ παρ

Λ 2

Ὁμήρῳ) ἐν οἷς φησὶ: Profluvium ſangvinis vulnerato ſemine Ulyſſem inhibuiſſe carmine. Sic Theophraſtus iſchiadicos ſanari: Cato prodidit laxatos membris carmen „auxiliari: Marcus Varro podagris (τὴν τοῦ αἵματος ῥύσιν „διὰ τῆς ἐπῳδῆς Ὀδυσσεὺς ἐπέχεν· (* τȣτὶ δ' ἐςὶν ὃ διέλαθε, „τὸ ἔχεθεν ἀναγνωσθὲν ἀντὶ τȣ̃ ἔχεθον.) Ὡσαύτως καὶ Θεόφρα„ςος ἔφη τȣ̀ς ἰχιαδικȣ̀ς θεραπεύεσθαι· Καὶ ὁ Κάτων δὲ παρέδωκε τοῖς ἐξαρθρωθεῖσι τὰ μέλη τὴν ἐπῳδὴν ἐπιβοηθεῖν· καὶ Μάρκος δὲ Οὐάῤῥων τοῖς ποδαγροῖς.) Καὶ Καίλιος δὲ ὁ Αὐρηλιανὸς εἶπε: Philiſtionis fratrem ſcribere: quen„dam fiſtulatorem loca dolentia decantaſſe. (Ὅτι ὁ Φιλι„ςίωνος ἀδελφὸς ἔγραψεν, ἕνα τινὰ τῶν Αὐλῳδῶν τὰ ἐν „αὐτῷ ἀλγηδόσι καθυποκείμενα μέρη δι' ἐπῳδῆς ἐξιάσασθαι.) Ἀλλὰ γὰρ τȣ̃το, οἷα δὴ καὶ τῶν ἀνωτέρω τὰ πλείω, ἐπὶ τὴν κρυφιωτέραν τῆς μȣσικῆς συμφωνίας δύναμιν ἀνάγεσθαι ἔχει, ἣν μέγα τι ἰχύειν εἰς τὸ τὰς διαθέσεις τῆς τε ψυχῆς καὶ τȣ̃ σώματος κατευνάζειν, παρὰ Θεοφράςȣ (ἐν τῷ περὶ ἐνθȣσιασμ. βιβλ.) καθυμνȣμένην παρέδωκεν Ἀπολλώνιος, ἐν τοῖς θαυμασίοις αὐτȣ̃ ἱςορήμασι. Καὶ ἐν ἄλλοις δὲ προσέτι τὴν μαγικὴν ἐν χρήσει γενέσθαι, καί γε τοῖς ἀν' Ἑλλάδα ἀρχαιοτάτοις τῶν Ἀκεςέρων ὑπάρξαι συνήθη, πρόδηλον ἐκ „τȣ̃ Χείρωνος, περὶ ȣ̃ Πίνδαρος (Πυθ. Ὠδ'. Γ.) „Λύσαις ἄλλον ἀλ„λοίων ἀχέων ἔξαγεν· τοὺς μὲν μαλακαῖς ἀοιδαῖς ἀμφιέ„πων, τοὺς δὲ προσανέα πίνοντας, ἢ γυίοις περιάπτων „πάντοθεν φάρμακα, τοὺς δὲ τομαῖς ἔςασεν ὀρθούς.

# ΟΜΗΡΙΚΩΝ ΑΡΧΑΙΟΤΗΤΩΝ

## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

### ΚΕΦΑΛ. Α΄.

### Περὶ τῆς τοῦ κράτους καταςάσεως.

Μετὰ τὴν περὶ τῶν Ἱερῶν, ἡ διάσκεψις ἕπεται ἡ περὶ τῶν βεβήλων, καὶ πρῶτον ἡ περὶ ἐκείνων, ἃ τοῦ δημοσίου ἐςὶ δικαιώματος, καὶ πρὸς τὴν ἐν ἀνθρώποις κοινωνίαν ἐπανήκει. Κατ' ἀρχὰς μὲν οὖν, σποράδην ἕκαςοι τὴν οἴκησιν εἶχον, καὶ τοῖς τῷ γένει σφίσι προσήκουσιν ἡγεμόνευον· τοῦθ' ὅπερ ἐν τῇ περιγραφῇ τῶν Κυκλώπων ἐκθέσθαι τὸν Ὅμηρον, Ἀριςοτέλης ἐπεσημείωσεν (βιβλ. Α. τῶν πολιτικ. Κεφ. Β΄.) ἐν οἷς περὶ ἐκείνων εἴρηκεν: „Ὅτι θεμιςεύει ἕκαςος παίδων, ἠδ' ἀλόχων.„ (Ὀδυσ. „Ι΄. ς. 114.) „Φορονεὺς οὖν πρῶτος ὁ τοῦ Ἰνάχου, εἰς δικαίωμα πόλεως μιᾶς συνεκάλεσε τοὺς ἀνθρώπους, σποράδας τέως ὄντας, καὶ ἐφ' ἑαυτῶν ἑκάςοτε οἰκοῦντας, ὥς „φησὶ Παυσανίας (ἐν τοῖς Κορινθιακ.) Ὅθεν καὶ πρῶτον „αὐτὸν ἐν Ἕλλησι τὸ βασίλειον ἀναδήσασθαι κράτος, Ὑγῖνος ἱςόρηκεν.

Ἐντεῦθεν τὴν ἀρχὴν ἐφ' ἑκάςων Ἑλληνικῶν πόλεων καθίςαντο βασιλεῖς οἱ ἐφεξῆς τῶν ἐθνῶν κρατήσαντες, ὡς Ἀριςοτέλης ἐπιβεβαιοῖ: „διὸ καὶ τὸ πρῶτον ἐβασιλεύοντο αἱ πόλεις, καὶ νῦν ἔτι τὰ „ἔθνη· ἐκ βασιλευομένων γὰρ συνῆλθον.„ Συνυπογράφει δὲ καὶ Διονύσιος ὁ Ἁλικαρνασσεὺς (ἐν τῷ Ε΄. Βιβλ. τῶν Ῥωμαϊκῶν Ἀρχαιολογιῶν:) „Κατ' ἀρχὰς μὲν γὰρ ἅπασα πόλις Ἑλλὰς ἐβασιλεύετο.„ Καὶ συνεπιμαρτυρεῖ δὲ τοῦτο καὶ Παυσανίας (ἐν τοῖς Βοιωτικ.) „διὰ τοῦ τῶν Πλαταιῶν παραδείγματος: „Ὅτι μὲν δὴ (φάσκων) „καὶ οὗτοι τὸ ἀρχαῖον ἐβασιλεύοντο, δῆλα ἐςί. Βασιλεῖαι

„γὰρ πανταχοῦ τῆς Ἑλλάδος, καὶ ὁ Δημοκρατίαι καθεστήκεσαν.„ Ὅμηρος δὲ σαφέστατα πάντων τόδε κατασκευάζει, ὁ πανταχοῦ τῶν Ἑλληνίδων πόλεων τοὺς Βασιλεῖς τε καὶ ἄνακτας διαφημίζων: οὐδὲ γὰρ τὸ ὑπὸ τῶν πλειόνων ἐν ταὐτῷ κράτος ἀγαθὸν εἶναι νομίζει, μίαν δ' ὑφ' ἑνὶ ἐπιτρέπει τὴν κυριότητα, διὰ τῆς παρὰ πάντων ἐπαινουμένης ἐκείνης ἀποφάνσεως. (ΙΛ. Β'. ς. 204.)

„Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω·
„Εἷς Βασιλεύς: ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
„Σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσιν ἐμβασιλεύῃ.

Τὸ δέ τοι γέρας τόδ' ὁ λαὸς, τοῖς ἐν λαμπρότητι κατορθωμάτων ἐπιφανεστέροις ἀπένεμε, καὶ τούτων τοῖς ἀπογόνοις ἐκ διαδοχῆς παραπέμποντες ἐπισυνίστων. Οὕτω καὶ γὰρ τὰς Βασιλείας ἐπὶ τῶν Ἡρωϊκῶν χρόνων καθεστηκέναι Ἀριστοτέλης διδάσκει. (ἐν τῷ Γ'. τῶν πολιτικ: Κεφ. Ε'.) „Τέταρτον δὲ εἶδος μοναρχίας βασιλικῆς αἱ κατὰ τοὺς „Ἡρωϊκοὺς χρόνους ἑκούσιαί τε καὶ πάτριαι γενόμεναι κατὰ „νόμον· διὰ τὸ τοὺς πρώτους γενέσθαι τοῦ πλήθους εὐεργέ„τας κατὰ τέχνας, ἢ πόλεμον· ἢ διὰ τὸ συναγαγεῖν, „ἢ πορίσαι χώραν, ἐγίνοντο βασιλεῖς ἑκόντων, καὶ τοῖς πα„ραλαμβάνουσι Πάτριοι.„ Καὶ Θουκυδίδης δὲ, ἐν καταρχῇ τῆς κατ' αὐτὸν ἱστορίας, περὶ τῆς ἀρχαίας τῶν Ἑλλήνων διαλεγόμενος καταστάσεως: „Πρότερον (φησὶν) „ἦσαν ἐπὶ ῥητοῖς γέρασι πα„τρικαὶ βασιλεῖαι:„ τουτέστιν (ὡς ὁ Σχολιαστὴς ἀναπτύσσει:) „ἀπὸ τῶν πατέρων παραλαμβανόμεναι κατὰ διαδοχὴν „γένους. Δείγματα δὲ τοῦ τοιούτου ἐν ταῖς ἀρχαίαις τῶν ἱστοριῶν ἁπανταχοῦ ἀπαντᾷ· καὶ μὲν δὴ καὶ παρ' αὐτῷ Ὁμήρῳ· ὡς ὅτε Τηλέμαχος λέγεται ὑπὸ Ἀντινόου, δικαιώματι κληρονομίας βασιλεύειν Ἰθακησίων. (Ὀδυσ Α'. ς. 387.)

„. . . . . . . Ὅ τοι γενεῇ πατρώϊόν ἐστί.

Πολὺν δὲ τοῦ βασιλείου γένους γίνεσθαι λόγον, φανερὸν ἐξ ὧν Ἀμφίνομος ἔφατο: (Ὀδυσ. Π'. ς. 401.)

„ . . . . . . Δεινὸν δὲ γένος βασιλήϊον ἐςὶ
„ Κτείνειν. . . . . . . . . . . .

Ἀλλὰ γὰρ συνέβη ἐνίοτε καὶ τὸ τοὺς υἱοὺς εἰς διαδοχὴν τῆς πατρῴας βασιλείας ἐλθεῖν μὴ ἐπιτραπῆναι, ἤπου ἕνεκά τινος Θεοπροπίου, ὡς Εὐςάθιος παρετήρησεν (Ὀδυσ: Γ΄. ς. 215.) ἔνθα Νέςωρ θαυμάζων, ὅτι Τηλέμαχος ὑπὸ τῶν μνηςήρων ἀπεβέβλητο, ὃς πυνθάνεται, „ εἴπερ αὐτῷ ἐπινεμεσῶσιν οἱ δῆμοι „ ἑπισπόμενοι Θεοῦ ὀμφῇ; τὸ δ' αὐτὸ καὶ Ὀδυσσεὺς ἐπανήρετο. (Ὀδ: Π΄. ς. 96.) Τῷ γὰρ ὄντι τοῖς παλαιοῖς ἐπὶ τῇ τοῦ κράτους συςάσει μέγα ἴσχυον οἱ χρησμοί. Οὕτω καὶ γὰρ ἡ Πυθία διερωτηθεῖσα, τὴν τῶν Ἀθηνῶν Βασιλείαν Μέδοντι ἐπεκλήρωσε τῷ τοῦ Κόδρου, Νηλέα ἀπωσαμένη τὸν ἐκείνου ὁμαίμονα, περὶ τῆς ἀξίας αὐτῷ διαμφισβητοῦντα, ὡς ἰδεῖν ἐςὶ παρὰ τῷ Παυσανίᾳ (ἐν τοῖς Ἀρκαδικοῖς) καὶ παρὰ τῷ Αἰλιανῷ. (Βιβλ: Η΄. Κέφ: Ε΄.) ἡ δ' αὐτὴ καὶ τῷ Γύγῃ προσεπεκύρωσε, τοῦ κράτους κεκυριευκότι μετὰ τὴν Κανδαύλου ἀναίρεσιν, ὡς Ἡρόδοτος (ἐν τῇ Κλειοῖ) μαρτυρεῖ. Ἐκέλευσε δὲ καὶ ὑπ' ἀμφοῖν ἅμα τῶν Ἀριςοδήμου υἱέων, Εὐρυσθένους τε καὶ Προκλῆος βασιλεύεσθαι τοὺς Λακεδαιμονίους, καθάπερ ὁ αὐτὸς διέξεισιν (ἐν τῇ Ἐρατοῖ.) Τοῦτ' δὲ καὶ τὸ αἴτιον ἦν, διόπερ Ἀμφίνομος ᾤετο δεῖν Διὸς πυθέσθαι τοῦ Δωδωναίου, καὶ αὐτοῦ τὸ βούλημα γνῶναι, πρὶν ἢ Τηλεμάχῳ, τῷ υἱῷ τοῦ Βασιλέως καὶ κληρονόμῳ, θάνατον ἐπενεγκεῖν. (Ὀδυσ: Π΄. ς. 402.) ἀμέλει τοι, ὅτι ὑπὸ Διὸς πιςεύοντες ἦσαν τὴν Βασιλείαν παρέχεσθαι: (ΙΛ. Α΄. ς. 279.)

„ Σκηπτοῦχος Βασιλεὺς, ᾧ τε Ζεὺς κῦδος ἔδωκεν.

Διὸ καὶ οἱ Βασιλεῖς ἀεὶ προσείρηνται Διογενεῖς καὶ Διοτρεφεῖς. Ἐνθεντοι καὶ παρὰ Λακεδαιμονίοις, (ὧν τὸ κράτος τῇ ἀρχαίᾳ μάλιςα Ἑλλάδι προσεμεμόρφωτο:) κατὰ ἔννατον ἐνιαυτὸν οἱ τεταγμένοι „ ἔφοροι λαβόντες νύκτα καθαρὰν καὶ ἀσέληνον, σιωπῇ

„ἐκαθέζοντο πρὸς τὸν ὀρανὸν ἀποβλέποντες· Ἐὰν ὃν ἐκ
„μέρος τινὸς εἰς ἕτερον μέρος ἀςὴρ διᾴξειεν, ἔκρινον τὸς
„Βασιλεῖς, ὡς εἰς τὸ Θεῖον ἐξαμαρτάνοντας, καὶ κατέ-
„παυον τῆς ἀρχῆς· ἕως ἂν ἐκ Δελφῶν, ἢ ἐξ Ὀλυμπίας
„χρησμὸς ἔλθοι τοῖς ἡλωκόσι τῶν βασιλέων βοηθῶν, ὡς ὁ
Πλάταρχος διηγεῖται. (ἐν Βίῳ Ἄγιδος.)

## ΚΕΦΑ΄Λ. Β΄.

## Περὶ τῆς τῦ Βασιλέως Δυνάμεως, καὶ ἔργυ τῦ αὐτῷ ἐπανήκοντος.

Οὐκ ἦν αὐτελευθέρα πάντη καὶ ἀπόλυτος ἡ τῶν πάλαι ἀν Ἑλλάδα Βασιλευόντων δύναμις, ἀλλ᾽ ἐν ὅροις νόμων τινῶν περιγεγραμμένη· ὡς γὰρ ὁ Ἁλικαρνασσεὺς Διονύσιος (ἐν τῷ Ε΄. Βιβλ: τῶν Ῥωμαϊκῶν Ἀρχαιολογ:) Βασιλεῖς ἐφ᾽ ἑκάςαις τῶν ἐν Ἑλλάδι πόλεων προεςηκέναι „ἱςόρησε: Πλὴν, ὀχὶ δεσποτικῶς (προσέθετο), ἀλλὰ κατὰ „νόμος τε καὶ ἐθισμὸς πατρίος. Ἦν δὲ ἄριςος ὁ Βασιλεὺς, ὃς ἦν δικαιότατος, καὶ τῶν νόμων φύλαξ ἀκριβέςατος, τῶν Πατρίων θεσμῶν μηδαμῇ παρεκκλίνων· τὀθ᾽ ὅπερ Ὅμηρος ἐννοεῖ τὸς Βασιλεῖς ἀποκαλῶν **Δικασπόλος**. (Ἰλ Α΄. ς. 238. καὶ Ὀδυσ. Λ΄. ς. 185.) καὶ **Θεμιςοπόλος**. Ἀλλ᾽ ἡ φωνὴ αὕτη παρ Ὁμήρῳ (εἰμὴ με λανθάνει) ὀ κεῖται.

Τελευταῖον δ᾽ ὑπῆρχον οἱ Βασιλεύοντες, **ἐπὶ ῥητοῖς γέρασιν**· ἤτοι ἐπὶ ὡρισμέναις τιμαῖς, καὶ τεταγμέναις συνθήκαις, ὡς παρὰ Λάκωσιν. Οὕτω καὶ γὰρ Ἀριςοτέλης (ἐν τῷ Γ΄. τῶν Πολιτικ:) ἀναπτύσσει τὴν τῶν Βασιλέων κατάςασιν, οἵαπερ ἦν ἐπὶ τῶν Ἡρωϊκῶν „χρόνων: αὕτη δ᾽ ἦν ἑκόντων μὲν, ἐπί τισι δ᾽ ὡρισμένοις.

„Στρατηγὸς γὰρ ἦν καὶ δικαστὴς ὁ Βασιλεὺς, καὶ τῶν πρὸς „Θεὺς κύριος. Ἀποδεικνύει δὲ τῦτο ἐκ τῆς Βασιλείας τῆς τῶν Λακεδαιμονίων· παρ᾽ οἷς εἶναι μάλιστα, φησὶ, **τὴν Βασιλείαν, τὴν κατὰ νόμον**· ἐκεῖ γὰρ ὁ Βασιλεὺς ὐκ ἦν ἔχων τὴν ἐπὶ πάντων ἐξυσίαν, εἰμὴ ὅτε ὑπῆρχε τὰ τῦ πολέμυ διαπραττόμενος. Ἦν δὲ παρὰ ταῦτα καὶ ἐπὶ τῶν ἱερῶν ἡγεμονεύων. Τῦτο δέ τοι παρὰ τοῖς ἀρχαιοτέροις κρατῆσαι, συνάγει ἐκ τῶν Ὁμήρυ, ὃς τὸν Ἀγαμέμνονα, ἐν μὲν ταῖς ἀγοραῖς ποιεῖ τὰς ἀντιῤῥήσεις ὑφιςάμενον- (Ἰλ: Δ΄. ϛ. 240.) ἐν δὲ ταῖς μάχαις, θάνατον ἐπαπειλῦντα τοῖς δραπετεύυσι. **Παρὰ γὰρ ἐμοὶ θάνατος**, φησίν. ἡ ἄρα πρώτη τε καὶ μεγίςη τοῖς Βασιλεῦσι δύναμις ἦν ἐν πολέμῳ. Ἡ δ᾽ ἄλλη, συνεςαλμένη μέν πως, εὐγενεςέρα δὲ, ἐν εἰρήνῃ, ἡ τῦ κρίνειν τὰ δίκαια, ὅθεν καὶ **θεμιςοπόλοι** προσείρηνται. Ἀμέλει καὶ γὰρ αὕτη ἐςὶν ἡ τὴν ἀρχὴν αὐτοῖς παραχομένη, ὡς διὰ λαμπρῦ τῦ δείγματος φανερὸν ἐςὶ παρ᾽ Ἡροδότῳ, (ἐν τῇ **Κλειοῖ**) διεξιόντι, ὡς Δηϊόκην ἐπὶ τῷ τὰς δίκας δικάζειν οἱ Μῆδοι ἑαυτοῖς ἐβασίλευσαν. Ὅπερ οὖν καὶ παρὰ Ῥωμαίοις ἀνέκαθεν γεγονὸς ὁ Κικέρων ἡγεῖται: Mihi quidem non apud Medos ſolum, ut ait Herodotus, ſed etiam apud majores noſtros, ſervandae juſtitiae cauſa, videntur olim bene morati Reges conſtituti. (ἐν τῷ Β΄. τῶν Καθηκόντ.) „(ἐμοὶ „δὲ ὐ μόνον παρὰ Μήδοις, ὡς Ἡρόδοτος φησὶν, ἀλλὰ καὶ παρὰ „τοῖς ἡμετέροις προγόνοις ἐπὶ τῷ σώζειν τὰ δίκαια δοκῦσι „πάλαι οἱ τὺς τρόπυς χρηςοὶ Βασιλεῖς ἐπικαταςῆναι.) Τελευταῖον δὲ καὶ τοῖς ἱεροῖς οἱ αὐτοὶ ἐτύγχανον προσεδρεύοντες „**κύριοι θυσιῶν, ὅσαι μὴ ἱερατικαὶ**, Ἀριςοτέλης φησίν. Ὃ δὴ τῷ ἀνακτορικῷ ἀξιώματι ὕτω προσήκειν ἡγῦντο, ὥςε καὶ τύτυ ἐν πολλαῖς τῶν ἑλληνίδων πόλεων καταργηθέντος, οἱ **τῶν Ἱερῶν Βασιλεῖς** διέμενον: οἷα παρ᾽ Ἀθηναίοις ἰδίᾳ τυτὶ συμβὰν Δημοσθένης

διδάσκει ἐν τῷ εἰς Νεαίραν. καὶ Πλάτων δὲ ἐν τῷ Πολιτ
„Τῷ γὰρ λαχόντι βασιλεῖ, φασὶ, τῇδε τὰ σεμνότατα
„μάλιστα πάτρια τῶν ἀρχαίων θυσιῶν ἀποδεδόσθαι. Τ
αὐτὸ διετάξαντο καὶ Ῥωμαῖοι, ὡς ἰδεῖν ἐστὶ παρὰ Διονυσίῳ τῷ Ἁλι
νασσεῖ, (ἐν Βιβλ: Δ΄.) ὅτε τοὺς Βασιλεῖς ἐξεληλακότες, ἵν' ἐκ
περιῄτι σωζόμενον ἴνδαλμα, ἀπεσημήναντο ἐκ τῶν γεραιτέρων ἕνα
„τὸν μάλιστα δεξιώτατον: ὃς οὐδενὸς ἔμελλεν ἕξειν ἑτέρου, π
„τῶν περὶ τὰ θεῖα σεβασμάτων προστασίαν, ἀπα
„λειτουργίας πολεμικῆς ἀφειμένος, ἱερῶν καλούμενος
σιλεύς. Πάντως δήπου κατάγε τὸν ἑλλαδικὸν τοῦτον τύπον, τὸν καὶ
Ῥωμύλου ἐπὶ τῆς τῶν Βασιλέων συστάσεως τὸ πρόσθεν παρατηρού
Τριπλοῦν γὰρ εἶναι τὸ Βασιλέως ἔργον ηὐδόκησε: τὸ μὲν πρῶ
τὴν περὶ τὰς θυσίας, καὶ τὰ λοιπὰ τῶν ἱερῶν ὑπεροχὴν παρ
κεῖσθαι, καὶ δι' αὐτοῦ ἐπιτελεῖσθαι πᾶν τὸ ἀνῆκον πρὸς τὴν τῶν Θεῶν ἐ
ωσιν· ἐπὶ δὲ τούτῳ τὴν τῶν νόμων ἔχειν καὶ τῶν πατρίων ἐθῶν
λακήν τε καὶ διατήρησιν, καὶ παντὸς δὲ δικαιώματος, ὅπερ
ἡ φύσις ὑπαγορεύει, ἢ γοῦν αἱ συνθῆκαι τε καὶ αἱ Κύ
διαθεσπίζουσιν, ἐπιμελεῖσθαι: καὶ ὅπως ἂν περὶ τῶν βα
ρων ἐγκλημάτων αὐτὸς ἀποφαίνοιτο, τὰ δὲ κουφότερα τῶν πλημμ
μένων ἐκρίνειν ἐπιτρέπον τοῖς γερουσιασταῖς, πρόνοιαν μεταξὺ ποιου
τοῦ μηδέν τι ἐπὶ τῶν κρίσεων ἁμαρτάνεσθαι, καὶ τοῦ τὴν γερουσίαν
καλεῖν, καὶ τὸν δῆμον εἰς ἐκκλησίαν συνάγειν. Καὶ ὁ μὲν, πρῶτο
ἄλλων τὴν ψῆφον ἐπάγοι, ὃ δ' ἂν καὶ τοῖς πλείοσιν εὐάρεστον ὂν
ρασαίη, καὶ αὐτὸς ἐπικυροίη. Τελευταῖον δὲ ἐν πολέμῳ τὸ κράτος
τῷ τὸ ὑπέρτατον ἀπονέμει. (Αὐτ. ἐν Β΄. τῶν Ἀρχαιολογ.) Ταυτ
ταῦτα καὶ τοῖς ἐν Ἑλλάδι Βασιλεῦσι πάλαι ἐπετέτραπτο.

# ΚΕΦΑΛ. Γ'.

## Περὶ τῆς Βασιλικῆς Κυριότητος.

Τῆς Βασιλείας ὑπεροχῆς καὶ ἀξίας, οἷον ἐπισφραγιστήριόν τι καθωσίωτο τέμενος· Ἀγρῦ τις ἀπόμοιρα, ἣν ὁ δῆμος τιμῆς χάριν, καὶ ὡς γέρας, τῷ Κυριαρχῦντι, καθιέρῳ ἐπιδωρύμενος, (Ἀριστείδης ἐν τῷ εἰς „ τὴν Ἀθηνᾶν λόγῳ: (Τοῖς Βασιλεῦσι, καὶ τοῖς ἡγεμόσι τεμένη „ καὶ χώρες ἐξαιρῦσι. Διὸ καὶ γέρας τὸ τοιῦτον, ὡσεὶ Βραβεῖον πρόξενον τιμῆς, ὁ Ποιητὴς ὀνομάζει. (Ὀδυσ: Λ'. ς. 533.) οὕτως ὁ Σαρπηδὼν εἰς μάχην τὸν Γλαῦκον προτρέπων, πρός γε τοῖς ἄλλοις, οἷς περ οἱ πρῶτοι παρὰ Λυκίοις Βασιλεύοντες ἐπίσημοι καθιςῶντο: ἡμεῖς ἔφη: (Ἰλ: Μ'. ς. 314.)

„ Καὶ τέμενος νεμόμεσθα μέγα, ξάνθοιο παρ' ὄχθας,
„ Καλὸν φυταλιῆς, καὶ ἀρύρης πυροφόροιο.

Ἀλλὰ καὶ Προῖτος Βελλεροφόντην, ὡς μετὰ τὰ πλεῖςα καὶ ἐπίσημα τῶν κατορθωμάτων ἃ διεπράξατο, καὶ ἐκ σπέρματος αὐτὸν ἔτι „ θειοτέρῳ κατέμαθε γεγονῶτα, ἔδωκεν αὐτῷ, τιμῆς Βασιληΐδος „ ἥμισυ πάσης· οἱ δὲ Λύκιοι „ Τέμενος τάμον ἔξοχον ἄλλων (Ἰλ: Ζ'. ς. 193.) Παραπλησίως δὲ καὶ Ἀσκάνιος ἆθλον πολεμικῆς ἀρετῆς ὑπισχνεῖται τῷ Νίσῳ (Αἰνειάδ: Θ'. ς. 214.) μέρος.

. . . . . . . Campi quod Rex habet ipse Latinus:

„ Πρὸς δ' ἀγρῶν τι μέρος, τῶν νῦνγε Λατῖνος ἐπάρχει.)

Ἔνθα Σέρβιος: mos fuerat, ut viris fortibus, seu Regibus, pro honore daretur aliqua agri particula, ut habuit Tarquinius Superbus in campo Martio, quod spatium ab Homero τὸ τέμενος dicitur. (Ἦν ἔθος ἀνδράσι δυνά- „ μεως, ἤτοι Βασιλεῦσι, τιμῆς χάριν δίδοσθαί τινα ἀγρῦ

„ μερίδα· ὡς λαβὼν ἔχε Ταρκυΐνιος ὁ Σϐπερβος ἐν „ πεδίῳ τϐ Α'ρεος· ὃ δὴ χωρίον, ὑπὸ Ο'μήρϐ τέμι „ λέγεται.) Τὸ οὖν ὡς γέρας, πρὸς τῆς Πολιτείας τῷ Λα χορηγηθὲν, νοητέον ὧδε τὸ ὑπὸ Α'σκανίϐ εἶναι ἐπαγγελλόμενον. ὄντι γὰρ παρὰ Ρωμαίοις, ἀγρὸς ἦν ἴδιος τῶν Βασιλευόντων, ἐ τῶν ἀποφερομένων προσόδων· τοῖς Θεοῖς ἔθυον, καὶ τὰ οἴκοι σ ἐπαρκϐντα τῷ βίῳ ἀπηνέγκοντο· τὸν δὲ δὴ τὸν ἀγρὸν Ρώμυλος ὅτ κτησάμενος, τῷ Νϐμᾷ παρέδωκεν ἔχειν. Τϐλλιος δὲ μετὰ ταῦ τοῖς πενομένοις καθ' ἄνδρα ἐπιδιένειμεν, ὡς παρὰ τῷ Α'λικαρνα Διονυσίῳ (ἐν τῷ Γ'. τῶν ἀρχαιολογ:) ἀναγέγραπται.

Τῇ τοίνυν τϐ τοιϐδε ἀγρϐ γεωργίᾳ προσεῖχον ἐπιμελῶς· „ Ο „ καὶ γὰρ (Ι'λ: Σ'. ϛ. 550. κξ.) περὶ τὸ Βαθυλήϊον τέμ „ ἐν ἀμητῷ διαπονϐμένων τῶν ἐρίθων (Αὐτ: ϛ. 557.)

„ . . . . . . . ὁ Βασιλεὺς ἐν τοῖσι σιωπῇ,
„ Σκῆπτρον ἔχων ἑςήκει ἐπ' ὄγμϐ γηθόσυνος κῆρ

Περὶ τϐτϐ δ' ἔτι ἐκδεκτέον, καὶ τὸ (Ὀδυσ: Ω'. ϛ. 226.) τϐ Ποιητϐ ῥηθὲν, ὅτι Λαέρτην τὸν Βασιλέα ὁ υἱὸς εὗρε,

„ Λιςρεύοντα φυτὸν . . . . . . . . .

Καὶ τὸ Τηλέμαχον τοσάκις περὶ πώεα διατρίβειν, καὶ β „ καὶ τ' ἄλλα ἄττα ἐκέκτητο τεμένη νέμοντα. (Ὀδυσ: Λ'. 184.) Παραπλησίως δὲ καὶ ὁ Βασιλεὺς Αὐγίας παρὰ Θεοι ἐξῄει:

„ Κτῆσιν ἐποψόμενος, ἠ οἱ νήριθμος ἐπ' ἀγρῶν.

Η'ν δ' ἄρα τοῖς Βασιλεῦσιν αὕτη οἱονεί τις πατρῷϊος περιϐσί πόῤῥω τῆς πόλεως κειμένη, ὡς ἐκ τῆς τϐ Α'λκινόϐ δῆλον: (Ὀ Η'. ϛ. 112. κξ:)

Α'λλὰ καὶ φόροι ἐτελϐντο τοῖς Βασιλεῦσιν, ὡς φανερὸν ἐκ (Ι'λ: Ι, ϛ. 155. κξ:) ἐν οἷς Α'γαμέμνων τῷ Α'χιλλεῖ καθυπισχνε

ἐπὶ τῇ ἰδίᾳ θυγατρὶ, ἣν ἂν ἄλοχον ἀγαγέσθαι θελήσειε „ δώσειν αὐτῷ ἑπτὰ εὖ νεόμενα πτολίεθρα: ἐν οἷσπερ.

„ . . . . . Ἄνδρες ναίουσι πολύῤῥηνες, πολυβοῦται,

„ Οἵκε ἑ δωτίνῃσι, θεὸν ὣς τιμήσουσι.

„ Καὶ οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας. Ἔνθα „ ὁ Σχολιαστής: Ὅσα δεῖ Βασιλέα λαμβάνειν παρὰ τῶν ὑπηκό- „ ων, εὐκόλως δώσουσι: τουτέστι καὶ ὑποταγέντες αὐτῷ κατὰ „ τὸ δίκαιον, λαμπροὺς τελέσουσι φόρους. Οὕτω δὴ καὶ πάλαι, καὶ ὑπὸ τοῖς ἀρχαιοτάτοις τῶν Βασιλευόντων, ἔσθ' ἅττα τὸ ὑπήκοον ἔδει ἐπιφορτίζεσθαι, ἃ πολέμου ἐφισαμένου τε καὶ ἐπείγοντος, προσέτι καὶ κατεβαρύνετο, ὡς ἐκ τῆς Ἰλιάδος συνάγεται, ἐξ ὧν „ Ἕκτωρ φησὶ δώροισι κατατρύχειν λαοὺς τοὺς Τρoίας, ἐπὶ διατροφῇ τῶν κατὰ συμμαχίαν συστρατευομένων. (Ἰλ: Ρ'. ς. 225.)

Ἄλλως τε Μινύας ὁ τῶν Ὀρχομενίων Βασιλεύς θησαυρὸν συλλέξαι μᾶλλον περιούσιον, πρῶτος φέρεται γάζαν οἰκοδομῆσαι, ἣ μαρτυρεῖ „ Παυσανίας (ἐν τοῖς Βιωτικοῖς.) „ Πρόσοδοι δὲ ἐγίνοντο τῷ „ Μινύῃ τηνικαῦτα μεγέθους, ὡς ὑπερβαλέσθαι τοὺς πρὸ „ αὐτοῦ πλούτῳ· θησαυρόν τε ἀνθρώπων ὧν ἴσμεν Μινύας „ πρῶτος ἐς ὑποδοχὴν χρημάτων ᾠκοδομήσατο. Ἔνθεντοι ὁ τοῦ Ὁμήρου Σχολιαστής (Ὀδυσ: Λ'. ς. 458.) τὴν Ὀρχομενὸν πόλιν „ διαφημίζει: ἐν ᾗ κατ' ἐκεῖνο τοῦ χρόνου καὶ οἱ κοινοὶ ἐτίθεντο τῶν Πόλεων θησαυροί.

## ΚΕΦΑΛ. Δ'.

## Περὶ τῶν Βασιλικῶν παρασήμων.

Βασιλείας παράσημον ἀνέκαθεν ἦν μάλιστα τὸ σκῆπτρον, ὃ Βασιλικὴν ῥάβδον, ἢ Βακτηρίαν, ἑρμηνεύει ὁ ἐτυμολογιστὴς, παρὰ τὸ σκήπτεσθαι, ἤτοι σκηρίπτεσθαι, ὡς Ὅμηρος τρανῶς δηλοῖ· (Ὀδυσ: Ρ'. ς. 196.) αὐτῷ γὰρ ἐπηρείδοντο καὶ ἐπιστηρίζοντο: ὡς ὅτε ὁ Ἀγαμέμνων ἔστη: (Ἰλ Β'. ς. 109.) Τῷ ὅγ᾽ ἐρεισάμενος.. Καθάπερουν καὶ παρ᾽ Ὀϋιδίῳ, (ἐν Α'. τῶν Μεταμορφώσ:)

Jupiter fceptroque innixus eburno:

„ (Ζεὺς σκήπτρῳ δὲ ἐρεισάμενος ἐλεφαντίνῳ)

Ὅμηρος δὲ τὸ Αγαμέμνονος σκῆπτρον ὡς λίαν κυδαίνει, τὸ ὑπὸ Ἡφαίστου τεχνουργηθὲν, κἀντεῦθεν αὐτῷ ἐκ προγόνων παραδοθέν· φησὶ δὲ, ἐκ δένδρου τὰ φύλλα ἀποθεμένου ἀποτετμῆσθαι· ὃν τρόπον καὶ Ὀυϊργίλιος (Αἰνειάδ: ΙΒ'. ς. 210.) τὸ τῶν Λατίνων Βασιλέων σκῆπτρον κατήρτισεν:

Olim arbos, nunc artificis manus aere decoro
Inclufit, patribusque dedit geltare Latinis.

„ (Πρόσθε φυτὸν μὲν ἐὴν, τέκτων δ᾽ ὀρίχαλκον ἐνάρσας
„ Ἐν παλάμῃς φερέμεν τὸ ῥὰ πατράσι δῶκε Λατίνοις.

Οὕτως Ἡσίοδος (ἐν τῇ Θεογονίᾳ) ἔφη, τὰς Μούσας οἱ δεδωκέναι σκῆπτρον: „ Δάφνης ἐριθηλέος ὄζου· θραύσανον κέδηλ: δαφναῖον. Καὶ Πίνδαρος δὲ (Ὀλυμπ: Ζ'.) „ σκᾶπτον, ἀναφέρει „ σκληρᾶς ἐλαίας τὸ δὶ οὗ ἀνήρηται Λικύμνιος. Προσῆν

δὲ τῷ τοιῷδε ξύλῳ καὶ διακόσμημά τι ἐν χρυσοῖς ἥλοις, διόπερ ὑπὸ „Ὁμήρε φράζεται Χρυσείοις ἥλοισι πεπαρμένον: (Ἰλ: Α'. ς. 2.6. καὶ Α'. ς. 639.) ὑφ' ὃ καὶ Μίνωα χρυσῷ σκήπτρῳ ἀκούομεν διαπρέποντα. (Ὀδυσ: Λ'. ς. 568.)

„Χρύσεον σκῆπτρον ἔχοντα, θεμιςεύοντα νεκύεσσιν.

Ὡσαύτως καὶ ὁ Τειρεσίας ἐν Ἅδῃ ἦν (Ὀδυσ: Λ'. ς. 91.)

„Χρύσεον σκῆπτρον ἔχων. Καὶ ὁ Χρύσης δὲ, (Ἰλ: Α'. ς. 15. καὶ 374) παρέςη.

„Χρυσέῳ ἀνὰ σκήπτρῳ . . . . . . . . .

Ὁ μὲν ὖν Ἰεςῖνος (Ἰςορ: Βιβλ: ΜΒ'.) διδάσκει, ὅτι τὰ σκῆπτρα τῶν ἀρχαιοτάτων Βασιλέων, δόρατα ἦν. Perea adhuc tempora Reges hastas pro diademate (f. pro sceptri insigne, aut gestamine) habebant quas Graece Σκῆπτρα dixere. Nam et ab origine rerum pro Diis immortalibus veteres hastas coluere: (Κατ' ἐκεῖνες ἔτι τὲς χρόνες οἱ Βασιλεῖς, „δόρατα ἀντὶ σκήπτρων φέροντες ἦσαν, ἅπερ Ἕλληνες „σκῆπτρα εἶπον· Καὶ γὰρ ἀπὸ καταβολῆς πρώτης τῶν „πραγμάτων, ἀντὶ θεῶν ἀθανάτων, οἱ παλαιοὶ τὰ δό„ρατα ἐσεβάσθησαν.) Τοιᾷδε δήπε λόγῳ, τὸ Ἀγαμέμνονος ἐκεῖνο προγονικὸν σκῆπτρον οἱ Χαιρωνεῖς ἔσεβον, ὡς ἰδεῖν ἐςὶ παρὰ τῷ „Παυσανίᾳ (ἐν τοῖς Βοιωτικοῖς;) Τῦτο (φάσκοντι) νῦν τὸ „σκῆπτρον σέβεσι, δόρυ ὀνομάζοντες. Καίγε εἰς τῦτο Τέρνεβος ἕλκει, τὸ ὑπὸ τῦ Εὐριπίδε (ἐν τῇ Ἑκάβῃ) εἰρημένον περὶ „ἐκείνε; Τὸ τὸν λαὸν εὐθύνειν δορί. Καίτοιγε τῦ μὴ ἁπλῶς ὕτω λελέχθαι ἐκδέχεσθαι σαφῶς ἐκδηλοῦν ἔοικεν ἡ διαςολὴ, ἣν ἐφ' ἑκατέρε ἁπανταχῦ Ὅμηρος ἐπισημειοῖ, ἰδίᾳ δὲ (Ὀδυσ: Β'. ἐν προοιμίοις.) ἐν ᾧ Τηλέμαχος, (ς. 10.)

„Βῆ ῥ' ἴμεν εἰς ἀγορὴν, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος.

Ἐν ᾧ δ' ἔπειτα ἄρξεται ἀγορεύειν λαμβάνει τὸ σκῆπτρον παρὰ τῦ Κήρυκος· ( Αὐτ: ς. 37. ) Τὸ γοῦν σκῆπτρον ἐγγὺς ἦν ἴσως γινόμενον τῷ ἀκοντίῳ τὸ εἶδος, ἐξ ῦ τυχὸν μετέχε καὶ τῦ ὀνόματος.

Καὶ τοίνυν ἐν χερσὶν οἱ Βασιλεῖς εἶχον τὸ σκῆπτρον, δημοτελές τι μέλλοντες διαπράξεσθαι· Οὕτω Νέστωρ ( Ὀδ: Γ'- ς. 406. κξ: ) πρωΐας ἐξιὼν ἐκ θαλάμοιο:

„. . . . . . Κατ' ἄρ' ἕζετ' ἐπὶ ξεστοῖσι λίθοισι,
„Σκῆπτρον ἔχων· Πέρι δ' υἷες ἀολλέες ἠγερέθοντο,
„Θυγατέρες τε, νυοί τε, καὶ αἰδοίη παράκοιτις.

(Αὐτ: ς. 451.) Θύσων γὰρ ἦν τῇ Παλλάδι. Καὶ Ἀγαμέμνων δὲ, τῦς Ἀχαιῦς εἰς ἐκκλησίαν συγκαλέσων ( Ἰλ: Β' ς. 46. )

„Εἵλετο δὴ σκῆπτρον πατρώϊον, ἄφθιτον αἰεὶ

Ὀδυσσεὺς δὲ τῦτο παρ' αὐτῦ λαβὼν, ὡς ἂν ἐπίσημος εἴη τῇ Βασιλείῳ χρώμενος ἐξυσίᾳ τοῖς Δαναοῖς ἐπεδείκνυ ἀποχωρῦσι, καὶ ὡς ἐξονόματος τῦ Ἀγαμέμνονος ἐν τῇ παρεμβολῇ πρῦτρέπετο μένειν. ( Ἰλ: Β'. ς. 186. ) Τῷ μέντοι σκήπτρῳ οἱ Βασιλεῖς μάλιστα ἐχρῶντο δικάζοντες, οἷον συμβόλῳ εὐθύτητός τε καὶ ἀληθείας· ὥστε καὶ ἀνατεινομένῳ, τοσαύτην αὐτῷ προσεῖναι, ὅσην καὶ τῷ ἱερῷ ὅρκῳ νομίζεσθαι δύναμιν, Ἀριστοτέλῦς ( ἐν τῷ Γ'. τῶν Πολιτι: Κεφαλ: ΙΔ'.) „ἐπιμαρτυρῦντος: Καὶ πρὸς τύτοις τὰς δίκας ἔκρινον· τῦτο „δ' ἐποίῦν οἱ μὲν ὀκ ὀμνύοντες, οἱ δ' ὀμνύοντες· ὁ δ' ὅρκος „ἦν τῦ σκήπτρῦ ἐπανάτασις. Οὗ δεῖγμα σαφέστατον, τὸ ἐν Ἰλιάδ, Κ'. ς. 320. )

„Ἀλλ' ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο, ἠδὲ ὄμοσσον.

Ἐκ γοῦν τῦδε τῦ τύπῦ, καὶ τὸν Μίνωα ὁ Ποιητὴς παρίστησιν ἐν Ἅδῦ δικαστὴν χρηματίζοντα: (Ὀδυσ. Λ'. ς. 568.)

„ Χρύσεον σκῆπτρον ἔχοντα, θεμιςεύοντα νεκύεσσιν

Ἔνθεντει κ̀ τὸ παρὰ τῷ Φιλοςράτῳ (εἰς βίον Ἀπολλωνίυ, Βιβλ. Α'.) „τὰ λεγόμενα ἠχῶ εἶχεν, ὥσπερ ἀπὸ σκήπτρου θεμιςευόμενα. Διὸ κ̀ Πίνδαρος Θεμιςεῖον ἀποκαλεῖ, περὶ Ἱέρωνος λέγων τῦ Σικελῶν „βασιλεύοντος.„(Ὀλύμπ. Α')„ Θεμιςεῖον ὃς ἀμφέπει σκᾶπ- „τον. Οὕτω δὲ κ̀ Ὀυϊργίλ. (Αἰνειάδ. Ζ'. ς. 246.)

Hoc Priami gestamen erat, cum jura vocatis
More daret populis, sceptrumque, sacerque tiaras.

„ (Τὸ Πρίαμος φέρεν, εὖτε τίθει λαοῖσι θέμιςας,
„ Ἀγρομένοις κατ' ἔθος σκῆπτρον θ', ἱερήν τε τιάρην.)

Καὶ τὸ διάδημα δ' ἔτι σὺν τύτοις συνεπισημαίνεσθαι βύλεται Σέρβιος: τυτέςι τὸ σπαργάνιον, ἢ τὴν ταινίαν, ἥπερ οἱ πάλαι βασιλεῖς ὑπῆρχον τὴν κεφαλὴν ἀναδύμενοι· ἐν ᾧ διαδήματι κ̀ ὁ στέφανος προσῆν μάλα περιφανὴς, ὃν τῷ σκήπτρῳ προσεπισυνῆψεν, Αἰήτῃ Ὀρφεὺς τῷ Κόλχων βασιλεύοντι.

„ Ἀμφὶ δέ οἱ ςέφανον κεφαλὴ ἔχε θυσσανόεσσα
„ Ἀκτῖσιν φλογέαις· σκῆπτρον δ' ἐν χερσὶν ἐνώμα.

Ἀλλ' Ὅμηρος ςέφανον τοῖς βασιλεῦσιν ὀ περιάπτει, εἰς Θεὺς τὺς ὀυρανίωνας τῦτον ἀνάγων, ᾗ φησὶ Πλίνιος. Ἡ δὲ Βασιλικὴ ἀμφίασις, ὀ πολὺ τῆς τῶν ἄλλων ἦν παραλλάσσυσα, ὡς ἰδεῖν ἐςὶν ἐν ἀρχῇ τῆς Β'. Ῥαψῳδ: τῆς Ἰλιάδος, ἔνθα Ἀγαμέμνων, ἐκσείσας τὸν ὕπνον, „κ̀ ὄρθιος ἑςὼς, μαλακὸν ἔνδυνε χιτῶνα, περιεβάλ- „ λετό τε μεγαφάρος . . . ποσσὶ δ' ὑπαὶ λιπαροῖ- „ σιν, ἐδήσατο καλὰ πέδιλα . . . Ἀμφὶ δ' ἄρ' „ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον . . . σὺν δὲ „ τῷ σκήπτρῳ ἔβη κατὰ νῆας Ἀχαιῶν. Ὁ δ' αὐτὸς κ̀

ἄλλοτε εἰς ϑῆρειν τοὺς Ἀχαιοὺς παρορμῶν ἐν χερσὶν ἔχων ἣν „πορφύρεον φᾶρος, ἕνεκα τοῦ εὐχερῶς ἑαυτὸν σημᾶναι „Ἕλλησι, φησὶν ὁ Σχολιαστής: ἄλλως τε καὶ γὰρ ἐκ ἄδηλον, πορφύρα τῶν πάλαι Βασιλευόντων ὑπῆρχε κόσμημα, καὶ δὴ μάχης σημεῖον, οὐ μόνον τοῖς Ἕλλησιν, ἀλλὰ καὶ τοῖς Ῥωμαίοις.

## ΚΕΦΑΛ. Ε.

### Περὶ τῶν τοῖς Βασιλεῦσι καθυπουργούντων.

Καθάπερ ἅπαντα τὰ τῶν πάλαι Βασιλέων ἐκείνων λιτά τε ἦν τῇ παρασκευῇ μέτρια, οὕτως οὐδὲ μετὰ πολλῶν ὀπεώνων, καὶ λοπρεποῦς τῆς δορυφορίας προήεσαν παραπεμπόμενοι. Ἥπου δὲ μαχος, ᾧ τὸ Ἰθάκης ἐπανῆκε κράτος, δυσὶ κυσὶν ἐπὶ τῆς α ἐξήει συμπαραστείβουσιν. (Ὀδυσ: Β' ϛ. 11.)

„Οὐκ οἶος· ἅμα τῷδε δύω κύνες ἀργοὶ ἕποντο.

Καὶ παρὰ τῷ Θεοκρίτῳ δὲ Αὐγίας εἰς τὸν ἀγρὸν ἀπέρχ Ἡρακλέους τε καὶ τοῦ υἱοῦ αὐτῷ συνεπομένων.

„Σὺν δ' υἱός τε, βίητε πολύφρονος Ἡρακλῆος.

Ὡσαύτως Οὐϊργίλιος (Αἰνειάδ: Η'. ϛ. 461.) ποιεῖ σὺν Εὔανδρον συνεξιόντα.

Nec non et gemini cuftodes limine ab alto
Procedunt; greffumque canes comitantur herilem.
„(Τῷ δὲ δύω κύνε ἐξ οἴκου ὠμάρτεον οὔρῳ
„Βήμασι δεσποσύνοις . . . . . . (Καὶ ϛ. 466. Α'
Filius huic Pallas, olli comes ibat Achates.
„(Τῷ μὲν Πάλλας γ' υἱὸς ὀπήδει, τῷ δὲ Ἀχάτ

Ἐν μὲν ὖν τῷ πολέμῳ συνῆφθεν αὐτοῖς ἀεὶ καὶ θεράποντες, ὡς δι' ὅλης τῆς Ἰλιάδος ἐςὶν ἰδεῖν: Οἷον Πάτροκλος μὲν συνείπετο Ἀχιλλεῖ· Μηριόνης δὲ Ἰδομενεῖ· Λυκόφρων δὲ Αἴαντι, καὶ ἄλλοις ἄλλοι, ὃς δίκην ὁπλοφόρων αὐτοῖς γενέσθαι Ἡσύχιος οἴεται· Τοιῦτος ἦν παρὰ Οὐϊργιλίῳ Ἀκήτης. (Αἰνειάδ: ΙΑ'. ς. 31.) ὡς,

. . . . . . . . . . . . . . . . Parrhasio Evandro
Armiger ante fuit . . . . . . . . . . . . . . .
„( . . . . . . . . . . . . Παῤῥασίῳ Εὐάνδρῳ
„ Ἦν πάρος ὁπλῦχος . . . . . . . .)

Ἀλλ' ἐπὶ λειτεργίας δημοτελῦς διαφερόντως οἱ Κήρυκες περιάδονται, ὡς τοῖς Βασιλεῦσιν ὑπυργῦντες διὰ πάσης πράξεως. Διὸ καὶ ὑπὸ „τῦ Ἡσυχίυ προσείρηνται Διάκονοι, οἳ τὰς ὑπηρετικὰς ὑπετέλυν πράξεις. Οἱ δὲ, καὶ τὸν λαὸν ἐξ ὀνόματος τῦ Βασιλέως εἰς ἐκκλησίαν συνεκάλυν. (Ἰλ: Β'. ς. 50.)

„ Αὐτὰρ ὁ κηρύκεσσι λιγυφθόγγοισι κέλευε
„ Κηρύσσειν ἀγορὴνδε καρηκομόωντας Ἀχαιύς,

Καὶ αὖθις (Ὀδυσ: Β'. ς. 6.) ὡσαύτως δὲ καὶ σιγᾶν ἐτύγχανον ἐπιτάσσοντες οἱ αὐτοὶ, ὡς ἂν ἀκυςοὶ γένοιντο ἐπὶ τοῖς ειρησομένοις οἱ δημηγορήσοντες: οἷς ἂν δηλονότι τὸ σκῆπτρον ἐπεγχειρίσειαν. (Ἰλ: Β'. ς. 97.)

„ Κήρυκες βοόωντες ἐρήτυον, εἴποτ' ἀϋτῆς
„ Σχοίατ', ἀκύσειαν δὲ διοτρεφέων Βασιλήων.

Καὶ ἀλλαχῦ ἔτι: * * * *

„ . . . . . . . . Ἐν δ' ἄρα κῆρυξ
„ Χερσὶ σκῆπτρον ἔθηκε, σιωπῆσαι τ' ἐκέλευσεν.

Οὕτω καὶ Plautus Paenulo (ἐν τῷ Προλόγῳ ς. 11.)

N 2

Exurge praeco, fac populo audientiam.

„ (Ἄνστηθι ὦ κῆρυξ, ποίει τῷ δήμῳ ἀκρόασιν.)

Καὶ Ἀπουλήϊος (ἐν Γ. Milesia) Jamque sublimi suggestu magistratibus considentibus, jam praecone publico silenti„um clamante. Ἤδη δ' ἐφ' ὑψηλοῦ ὀκριβάντος, τῶν δικαστῶν „συνεδρευαζόντων· ἤδη τοῦ δημοσίου κήρυκος σιγὰν ἐκβοῶντος.
„Ἐν δ' Ἑλλάδι λέγειν εἴθιστο: Σιγῇ πᾶς ἔσω λεώς . . . .
„Ἀκούετε λεώς. . . . . . Εὐφημεῖτε . . . . . καὶ τὰ παραπλήσια, ἀπολλαχοῦ ἅπαντα.

Ἀπεστέλλοντο δὲ καὶ κήρυκες, πρὸς τὸ τι ἀναγγεῖλαι, ἢ τινὰ μεταπέμψασθαι: Οὕτως Ἀγαμέμνων ἀποστέλλει Ταλθύβιον, καὶ Εὐρυβάτην ἀπ' Ἀχιλλέως τὴν Βρισηΐδα μετάξοντας. (Ἰλ. Α'. ς. 320. καὶ Ὀδυσ. Θ'. ς. 47.) Κῆρυξ ἀπέρχεται προσκαλεσόμενος Δημόδοκον:

„ Κῆρυξ δὲ μετῴχετο θεῖον ἀοιδόν.

Καὶ τοῦ Τηλεμάχου δὲ προσιόντος οἱ ἑταῖροι προὔπεμψαν κήρυκα. (Ὀδυσ. Π'. ς. 329.)

„ Ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ.

„ Οὕτω καὶ Πλούταρχος (εἰς βίον Θησέως) Κήρυκα δ' ἐπέστειλε, „(φησὶ) τῆς σωτηρίας ἄγγελον εἰς Ἄστυ. Ἦν δ' ἐν πολέμῳ ἰδίως, τὸ τῆς κηρυκείας τοῦδ' ἔργον μάλιστα ἐν χρήσει, τοῖς Κηρυκειοφόροις ἐπικαθῆκον.

Ἀλλὰ καὶ συνοπαδοί τινες τοῖς ἄρχουσιν ὑπῆρχον, ἢ τοῖς πρὸς ἐκπλήρωσιν πράξεώς τινος ὑπὸ τῶν ἀρχόντων ἀποστελλομένοις: (οἷον τῷ Ὀδυσσεῖ * * * * *

„ . . . . . Κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ ἕπετο.)

Καὶ Πρίαμος πρὸς Ἀχιλλέα ἀπελευσόμενος, ἕνα μόνον κελεύεται Κήρυκα συμπαραλαβεῖν: (Ἰλ. Ω΄. ϛ. 148.) Ὁ δ᾽ Ἀγαμέμνων τοῖς πρεσβευσομένοις πρὸς Ἀχιλλέα Ὀδίο τε προσέθηκε καὶ Εὐρυβάτην. (Ἰλ. Ι΄. ϛ 170.)

Καὶ Ὀδυσσεὺς δὲ, δύο τῶν ἑταίρων πρὸς Λαιστρυγόνας ἀποστείλας, προσέθετο καὶ Κήρυκα τρίτον (Ὀδυσ. Ι΄. ϛ. 89.)

„Ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ᾽ ἅμ᾽ ὀπάσσας.

Ἀλλ᾽ ἦν τι ἔτι καὶ τοῖς Ἱεροῖς τῶν Κηρύκων ἔργον· αὐτοῖς γὰρ ἦν ἔθος διὰ τῆς πόλεως τὰ θύματα περιάγειν, ἃ δημοτελῶς ἔμελλε θύεσθαι. (Ὀδυ . . . . . . . . . .

„Κήρυκες δ᾽ ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην
„Ἦγον. . . . . . . . . . .

Τὸ δ᾽ αὐτὸ ἐγένετο καὶ Ἰλ. Γ΄ ϛ. 245.) ἐπὶ τῶν τελουμένων συνθεσιῶν ἔνθα οἱ Κήρυκες οἶνον φέροντες

„Μίσγον· ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.

Καὶ Ὀδυσ. Η΄. ϛ. 163.)

„ . . . . . . . . Σὺ δὲ κηρύκεσσι κέλευσον
„Οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διῒ τερπικεραύνῳ
„Σπείσομεν . . . . . . .

Τουτὶ δέ τοι τὸ πρῶτον γενέσθαι τῶν Κηρύκων λειτούργημα διδάσκει Ἡρόδοτος, τὸ ἐπὶ τῶν Ἱερῶν δηλονότι σπονδῶν προΐστασθαι· ὅθεν ὁ τῶν Κηρύκων προῆλθεν οἶκος ἐκεῖνος, ὁ παρ᾽ Ἀθηναίοις ἐπιφανὴς τῷ γένει, ᾧ περ ἦν διαφερόντως ἀνήκουσα ἡ λειτουργία τοῦ σφαγιάζειν τὰ θύματα, ὡς Κλείδαμος γράφει, ἐν Α΄. Βιβλ. (Πρωταγωνίας) (Protagonia)

„ Οἵδε γὰρ μαγείρων καὶ βουτύπων ἐπεῖχον τάξιν, οἷοί περ ὑπῆρχον οἱ (Popae) Πόπαι τε καὶ σφαγιασταὶ παρὰ τοῖς Ῥωμαίοις. Πάντως γὰρ παρ᾽ Ὁμήρῳ οὗτοι ἐν ταῖς Ἡρωϊκαῖς τῶν ἑστιάσεων παρίστανται καθυπουργοῦντες. (Ἰλ. Σ΄. ϛ. 558.)

„Κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο.
„Βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον . . . . . .

Ὁμοίως Εὐμαίῳ ἀνακειμένῳ (Ὀδυσ. Ρ'. ϛ. 334. κτ.)

„ . . . . . . . . . . Τῷ δ' ἄρα Κήρυξ
„Μοῖραν ἑλὼν ἐτίθει, κανέϐ τ' ἐκ σῖτον ἀείρας.

Καίτοιγε καὶ τὴν εἰς αὐτὰ ταῦτα τῶν βασιλέων αὐτῶν ἰδεῖν Αὐτοδιακονίαν· Οὕτω καὶ γὰρ Ἀγαμέμνων (Ἰλ. Γ'. ϛ.

„Ἦ, καὶ ἀπὸ ςομάχων ἀρνῶν τάμε νηλεϊ χαλκ

Θρασυμήδης δὲ ὁ τϐ Νέςορος, πέλεκυν (Ὀδυσ. Γ'. ϛ. 44

„Ὀξὺν ἔχων ἐν χερὶ παρίςατο βϐν ἐπικόψων.

Ἀμέλειτοι τϐ πατρὸς διὰ γῆρας ἀπεχομένϐ: Φησὶν Ἀθήναιος ΙΔ'.). Οὕτως ὁμοίως, καὶν ταῖς δημοτελέσι λιταῖς Πάτροκλὸς Ἀχιλλεὺς (Ἰλ. Ι'. ϛ. 205.) ἐπιμελῶς εἶχον τϐ δεόντως πάντα θαι. Καὶ τῷ Μενελάῳ δὲ ὁ Μεγαπένθης ἐπὶ τῶν Κρατήρων ἦν. ( „Ο'. ϛ. 122) Ταύτῃ δὲ ἄρα (φησί Χρύσιππος) ἐπετήδευο „αὐτοδιακονίαν, καὶ ἐκαλλωπίζοντο τῇ ἐν τοιϐτοι „ςροφίᾳ. Ὅπερ οὖν Θετταλοῖς τὸ πάλαι ἔθιμον ἐς τὰ ὑπάρξαι, γράφει ὁ Ἀνώνυμος, οὗ σώζονται οἱ Δωρικοὶ λόγοι, „τῶν Ἠθῶν „Θεσσαλοῖσι καλὸν, τὼς ἵππως ἐκ τᾶς ἀγ „λαβόντι, αὐτὼς δαμάσαι, καὶ τὼς ὀρέας βῶς τε λ τι, αὐτὼς σφάξαι, καὶ ἐκδεῖραι, ἢ κατακοψαι.

## ΚΕΦΑΛ. ϛʹ.

### Περὶ τῶν κατ' ἐκκλησίας Ἀγορῶν. (ἤτοι βȣλῶν.)

Ὑπῆρχον δὲ τοῖς πάλαι Βασιλεῦσι συνόντες καὶ ἄνδρες ἡλικίᾳ τε προηγμένοι, καὶ Φρονήσει διαφέροντες, ὧν διὰ συμβȣλῆς, καὶ τὰ οἴκοι, καὶ τὰ ἐπὶ τȣ̃ ϛρατȣ δημόσια ἀπετέλȣν. Διδάσκει τόδε ἀμφιλαφῶς ἐξ Ὁμήρȣ ὁ Ἁλικαρνασσεὺς Διονύσιος, (ἐν Βίβλ: Βʹ.) ȣ̃τως: „τοῖς „γȣ̃ν Βασιλεῦσιν, ὅσοι τε πατρίȣς ἀρχὰς παραλάβοιεν, „καὶ ὅσȣς ἡ πληθὺς αὐτὴ κατασήσαιτο ἡγεμόνας, βȣλευ„τήριον ἦν ἐκ τῶν κρατίϛων, ὡς Ὅμηρός τε, καὶ οἱ „παλαιότατοι τῶν Ποιητῶν μαρτυρȣ̃σι, καὶ ȣ̓χ᾽ ὥσπερ ἐν „τοῖς καθ᾽ ἡμᾶς χρόνοις αὐθάδεις καὶ μονογνώμονες ἦσαν „αἱ τῶν ἀρχαίων Βασιλέων δυναϛεῖαι. Καὶ κατὰ δὴ τὸν τοιόνδε τύπον, Φησὶ, Ῥώμυλον καταϛῆσαι τὴν Γερȣσίαν, τὴν ἐκ τῶν „Πατέρων (οἱ συγγεγραμμένοι εἴρηνται) συγκροτȣμένην. Ἣν Ὅμηρος ἀποκαλεῖ Βȣλὴν γερόντων: ὑφ᾽ ἧς πρῶτον διεψηφίζετο, ἃ τῷ λαῷ ἐπὶ τῆς ἀγορᾶς ἔμελλε δημηγορεῖσθαι. Ὡς Ἀγαμέμνων (Ἰλ: Βʹ. ϛʹ. 53.)

„Βȣλὴν δὴ πρῶτον μεγαθύμων ἷζε γερόντων.

Καὶ ὃν ἑώρακεν ὄνειρον τοῖς Ἑλλήνων ἀρχȣ̃σιν ἐξαγγείλας, τὴν εἰς τὰ οἴκοι ἐπάνοδον ἔϛησε πρὸς ἀπόπειραν τοῖς Ἕλλησι προβληθῆναι, καὶ συναινέσει τῶν ἀρίϛων τῷ λαῷ δημοσιευθῆναι· ὅπερ σὺν καὶ ἀγορᾶς συγκροτηθείσης αὐτίκα ἐγένετο. Τȣτὶ γȣ̃ν καὶ Ἀριϛοτέλης (ἐν Βιβλ: Γʹ. τῶν Ἠθικ: Κεφαλ: Εʹ.) παρετηρήσατο: Δῆλον δὲ τȣ̃„το, Φάσκων, καὶ ἐκ τῶν ἀρχαίων Πολιτειῶν, ἃς Ὅμηρος „ἐμιμεῖτο· οἱ γὰρ Βασιλεῖς ἃ προείλοντο ἀνήγγελον τῷ „δήμῳ.

Ε'ν μὲν οὖν ταῖς ἐκκλησίαις Θώκων πεϱοτεταγμένων ἐκαθέζοιτο πάντες, ὀϱθȣ̃ ἱϛαμένȣ ἐν τῷ μέσῳ τȣ̃ δημηγοϱεῖν μέλλοντος. (Ι'λ: Β'. ϛ. 99.)

„Σπȣδῇ δ' ἕζετο λαὸς, ἐϱήτυθεν δὲ καθέδϱας
„Παυσάμενοι κλαγγῆς, ἀνὰ δὲ κϱείων Α'γαμέμνων
„Ἔϛη σκῆπτϱον ἔχων . . . . . . . . . . .

Οὕτως (Ι'λ: Τ'. ϛ. 77.) ἐπὶ τῆς ἐκκλησίας πϱῶτοι ἐκάθισαν Διομήδης, καὶ Ο'δυσσεὺς· ἔπειτα δὲ καὶ Α'γαμέμνων, καί πεϱ ȣ̉τοι δημαγοϱήσας· ἀλλὰ

„Αὐτόθεν ἐξ ἕδϱης, ȣ̉δ' ἐν μέσσοισιν ἀναϛὰς,

Διὰ ὅ, τιȣ̃ν τὸ κωλῦσαν. Παϱαπλησίως καὶ τῶν Ι'θακησίων συναθϱοισθέντων, (Ο'δ: Β'. ϛ. 14.) Τηλέμαχος ἐπελθὼν „ἕζετο ἐν

„Πατϱὸς θώκῳ, εἶτα δημηγοϱήσων (Α'υτ: ϛ. 30. 31.) ἀνέϛη.

„Οὐδ' ἄϱ ἔτι δὴν ἧϛο, μενοίνησε δ' ἀγοϱεύειν.
„Στῆ δὲ μέσῃ ἀγοϱῇ· σκῆπτϱον δέ οἱ ἔμβαλε χειϱὶ
„Κῆϱυξ Πεισήνωϱ. . . . . . . . . . .

Καθάπεϱȣ̃ν πέπϱακτο καὶ τῷ Μενελάῳ. (Ι'λ. Ψ'. ϛ. 567. κξ)

Οἱ δ' ἀγοϱεύσαντες μετὰ τȣ̃το πάλιν ἐκαθέζοντο, ἑτέϱȣ ἀνιϛαμένȣ εἰπεῖν: ὡς (Ι'λ. Η'. ϛ. 354.) ἐν τῇ τῶν Τϱώων ἀγοϱᾷ ὁ Α'ντήνωϱ:

„Ἤτοι ὅγ' ὣς εἰπὼν κατ' ἄϱ ἕζετο, τοῖσι δ' ἀνέϛη
„Δῖος Α'λέξανδϱος Ἑλένης πόσις ἠϋκόμοιο.

Ε'τελεῖτο δ' ἡ βȣλὴ αὕτη ἐν τῇ Τϱοίας ἀκϱοπόλει, ἔνθα τὴν ἀγοϱὰν κεῖσθαι τῶν Τϱώων, διαϱϱήδην εἴϱηται. (Ο'δυσ. Θ'. ϛ. 503)

Καὶ ἐν ἄλλαις δὲ πόλεσι, τὸ Βουλευτήριον ὁμοίως ἔκειτο ἐπὶ χωρίου τοῦ ἐπιφανεστέρου, ὡς ἐκ τῶν ὑπομνημάτων τῆς παλαιτέρας Ἑλλάδος ἐστὶ μαθεῖν. Τὸ δέ τοι σχῆμα σαφὲς ὑπὸ τοῦ Φιλοστράτου (ἐν ς. Βιβλ. „τῶν εἰς τὸν βίον Ἀπολλωνίου.) περιγέγραπται. Τὸ δὲ χωρίον ἐν ᾧ „ἵδρυτο, φασὶ προσεοικέναι ἀγορᾷ ἀρχαίᾳ· οἷαι τῶν ἀγο-„ρῶν ἐν πόλεσί ποτε οἰκηθείσαις λείπονται, στηλῶν παρε-„χόμεναι τρύφη, καὶ τειχῶν ἴχνη, καὶ θάκους, καὶ στοὰς „Ἑρμῶν τε ἀγάλματα, τὰ μὲν ὑπὸ χειρῶν διεφθορότα, „τὰ δὲ ὑπὸ χρόνου:

Ἐπεβάλλοντο δὲ ἀγορεύειν, οὐ περὶ μόνων τῶν τῇ πολιτικῇ καταστάσει προσανηκόντων, ἀλλὰ καὶ περὶ πραγμάτων ἔτι ἰδιωτικωτέρων. Οὕτω Τηλέμαχος ἀγορεύων ἐποτνιᾶτο ἐπὶ τῇ τῶν μνηστήρων βίᾳ τε καὶ ὕβρει: (Ὀδυσ. Β΄. ἐν Προοιμ.) οἱ δὲ ὑπέπτησσον μήτοι γε περὶ τῆς ἐπιχειρισθείσης κατ᾽ αὐτοῦ ἀναιρέσεως λόγον ἐπὶ τῆς ἐκκλησίας τινὰ κινήσειεν. (Ὀδυσ. Υ΄. ς. 272.)

## ΚΕΦΑΛ. Ζ.

## Περὶ Δικαστηρίων.

Ὅλως δὲ καὶ αἱ περὶ διαφόρων ἀμφισβητήσεων ἀντιδιενέξεις διεκρίνοντο ἐπ᾽ ἀγορᾶς δημοσίᾳ, Δικαστῶν ἐπὶ τούτῳ συνεδρευόντων, οἳ ἂν ἑκάστῳ ἀποδιδοῖεν τὸ δίκαιον. Οὕτω. (Ὀδυσ. Μ΄. ς. 439.)

„ . . . Ἦμος δ᾽ ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέστη
„ Κρίνων νείκεα πολλὰ δικαζομένων αἰζηῶν.

Καὶ (Ἰλιάδ. Π΄. ς. 387.) δικασταὶ λέγονται,

„ Οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας.

Καὶ διὰ τῦτο παρὰ ταῖς ναυσὶν (Ἰλ. Λ΄. ϛ. 806.) τοῖς Ἀχαιοῖς: „ἦν ὁ τόπος . . . . . . . . . . „Ἵνα σφ᾽ ἀγορήτε, θέμης τε.

Τὸ δὲ τῦ Δικαςηρίε χωρίον, ἰδίᾳ κυκλοτερὲς σεσημείωται. (Ἰλ. Σ΄. ϛ. 504.) Οἱ δὲ γέροντες οἱ συνεδρεύοντες:

„Εἴατ᾽ ἐπὶ ξεςοῖσι λίθοισιν, ἱερῷ ἐνὶ κύκλῳ.

„Ἱερὸς δὲ προσείρηται ὁ κύκλος„ διὰ τὸ πολυχώρητον τῦ τοιέτε σχήματος, φησὶν Εὐςάθιος. Ὅθεν ϗ Σοφοκλῆς Κυκλόεντα θρόνον ἀγορᾶς εἶπεν Αὐτῦ δ᾽ ἐπὶ θρόνοις λιθίνοις ἐκαθέζοντο οἱ δικαζοντες, οὓς ὁ Ποιητὴς γέροντας ὀνομάζει, καθότι ἢ τῷ χρόνῳ ἐν συνέσει καὶ πολυπειρίᾳ πραγμάτων προέχεσιν, ἢ καὶ ἁπλῶς ἄλλως ἔντιμοι, κἂν μὴ τῇ ἡλικίᾳ γέροντες εἶεν. Ἐπίσημοι δὲ καὶ ἐν οἷς σκήπτροις εἶχον, ὥσπερ οἱ βασιλεῖς· ἔςι γὰρ τὸ σκῆπτρον ὁ μόνον βασιλείας, ἀλλὰ καὶ θέμιδος σύμβολον. Ἔνθεντοι (Ἰλ. Α΄. ϛ. 237.)

„ . . . . . . . . . . Νῦν αὖτε μὶν υἷες Ἀχαιῶν
„Ἐν παλάμης φορέεσι δικασπόλοι, οἵτε θέμιςας
„Πρὸς Διὸς εἰρύαται. . . . . . . . . .

Ἐκράτει δ᾽ ἐς ἀεὶ τὸ ἔθος παρ᾽ Ἀθηναίοις τῦ βακτροφορεῖν τὲς δικάζοντας, ὡς ἰδεῖν ἐςὶ παρὰ τοῖς Ἀριςοφάνες ἑρμηνευταῖς, ϗ τοῖς ἄλλοις τῶν Γραμματικῶν, περὶ τέτε. Ἀλλὰ καὶ ἐφ᾽ ἡμῶν προσέτι ἐμφιλοχορεῖν τετὶ τὸ ἔθος ἐν πολλοῖς ἔθνεσιν ἐςὶ πρόδηλον. Παρὰ δὲ δὴ τῶν Κηρύκων ἐν χερσὶν ἐτίθετο τοῖς Δικαςαῖς τὰ τοιάδε σκῆπτρα, ἃ „καὶ οἱ κατέχοντες ἐν τῷ ἀγορεύειν θαμὰ διεσάλευον, ὡς τὰ σκῆπτρα τοῖς λόγοις συνδιαφέροντες. Ταύτῃ τοι καὶ Ὀδυσσεὺς ἀπειρίας τε ϗ ἀνοίας ἠλέγχετο ὑπὸ Τρώων, ὡς ἐν ἀκινήτῳ τῷ σκήπτρῳ διαλεγόμενος. Καὶ γάρ τοι (Ἰλ. Γ΄ ϛ. 217. κξ.)

„Στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας,„
„Σκῆπτρον δ᾽ ὅτ᾽ ὀπίσω, ὅτε προπρηνὲς ἐνώμα·

„Ἀλλ' ἀστεμφὲς ἔχεσκεν ἀίδρεϊ φωτὶ ἐοικὼς·
„Φαίης κεν ζάκοτόν τινα ἔμμεναι, ἄφρονα θ' αὔτως.

Ἀλλ' ἐκεῖνο δὴ καὶ θαυμάζειν ἄξιον, ἅτε μοναδικόν: ὅτι δισσά ποτε τάλαντα χρυσοῦ προὐτέθη εἰς γέρας τε καὶ ἀντιμισθίαν χορηγηθησόμενα τοῖς πρὸς τὸ ἀκριβέστατον ὀρθὴν τὴν ψῆφον ἀποφανουμένοις. Ἀλλὰ γὰρ ἐνίοτε τὴν δίκην καὶ οἱ αὐτοί, οἷς περ τὸ νεῖκος ἦν διεπραγματεύοντο, τοὺς μαρτυροῦντας ἑκάτεροι ἐνάγοντες ὑπὲρ τοῦ ἰδίου αὐτῶν δικαιώματος.

Κἂν τούτῳ δὲ λαμπρόν τε ἦν καὶ περίδοξον τὸ ἐπάγγελμα, καὶ αὐτοῖς ὁμοίως τοῖς βασιλεῦσιν. Ἐπὶ καὶ αὐτοὶ Ἐπὶ τῆς ἀγορᾶς ἐφοίτων θεμίζοντες, καὶ τὰ δίκαια ἑκάστοις ἀγόρευον. Ἐν τῇ ἀγορᾷ δήπου παρεῖναι εἴρηται ὁ Ἄναξ τῶν Λαιστρυγόνων. (Ὀδυσ. Κ'. ϛ. 114.) Ὁμοίως δὲ καὶ ὁ Κροῖσος παρ' Ἡροδότῳ (ἐν τῇ Κλειοῖ.) Τοῖσι με χρὴ
„ὄμμασιν ἔς τε ἀγορὴν, καὶ ἐξ ἀγορῆς φοιτέοντα φαίνεσθαι.
Ὁ δὲ θρόνος τῶν βασιλέων ποικίλοις κοσμήμασι περιφανοῖς ἔστρωτο. Τοιοῦτος γὰρ ὑπὸ Πινδάρου (Πυθ. ᾠδ. Δ'.) ἐπιφημίζεται ὁ θρόνος.

„ Ὦ ποτὲ Κρηθεΐδας ἐγκατίζων ἱππόταις
„ Εὔθυνε λαοῖσι δίκας·

„Καὶ Ἡρόδοτος δὲ διέξεισιν (ἐν τῇ Κλειοῖ.) Ὅτι Μίδας ἐν
„Δελφοῖς καθιέρωσε τὸν βασιλήϊον θρόνον, ἐς τὸν προκα-
„τίζων ἐδίκαζε. Ταὐτὰ δὲ καὶ Ἀθήναιος γράφει (ἐν Βίβλ. ΙΒ'.) περί τε τοῦ Περσῶν βασιλέως, καὶ περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, καὶ περὶ Γέλωνος τοῦ Συρακουσίων Τυράννου, καὶ περὶ ἄλλων. Ἐς τοσοῦτον δὲ τοῖς παλαιοῖς ἡ τοιάδε μεταχείρησις τοῖς βασιλεῦσι προσήκουσα ἐνομίζετο, ὡς καὶ τὰς βασιλίδας αὐτὰς εἰς τὸ λύειν τὰ ἐπεγειρόμενα νείκη ἐνασχολεῖσθαι, ὡς περὶ τῆς τῶν Φαιάκων Ἀνάσσης Ὅμηρος (Ὀδυσ.
„Η'. ϛ. 74.) ἐπεμαρτύρησεν. Ἀνδράσι νείκεα λύει. Ἀλλὰ γὰρ ἐκ τῆς κατὰ λόγον ἰσότητος, καὶ ἐξ ἔθους τοῦ κρατοῦντος τὸ πλέον διε-

κρίνοντα αἱ τοιαίδε ἀμφισβητήσεις, ὅτι ἐ πολλοὶ, ἢ καὶ ἔθνες τοῖς παλαιοῖς ὑπῆρχον νόμοι. Διὸ καὶ παρ' Ὁμήρῳ, ἐδαμῆ φημίζεσθαι Νόμους παρασημειοῦνται οἱ Κριτικοί: ἀλλ' ἢ Θέμιστας.

## ΚΕΦΑ'Λ. Η'.

## Περὶ Φόνων.

Συχνότατον τὸ ἔγκλημα τῆς ἀνδροκτασίας ἀπαντᾷ παρ' Ὁμήρῳ, καὶ τέτε ἡ ποινὴ, ἐξορία· οἱ γὰρ ἔνοχοι καθεστῶτες ἐτρέποντο εἰς φυγὴν ἀφ' ἧς ᾤκεν. Μέδων μὲν ἐν ὁ τῦ Αἴαντος ὁμαίμων, (Ἰλ.: Ο'. ς. 335.) ἔναιεν

„Ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτάς.

Παρὰ δὲ τῷ Αἴαντι αὐτῷ Λυκόφρων (Ἰλ Αὐτ: ς. 432.)

„Ναῖ., ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισιν.

Ὅλως δὲ γενομένε τῦ φόνε, εἰς οἶκον τινὸς τῶν μέγα δυναμένων εἰώθεσαν καταφεύγειν ἱκέται, ὡς ὁ Ποιητὴς φησὶν: (Ἰλ: Ω' ς. 480.)

„Ὡς δ' ὅτ' ἄνδρ' ἄτη πυκινὴ λάβῃ ὅςτ' ἐνὶ πάτρῃ
„Φῶτα κατακτείνας, ἄλλων ἐξίκετο δῆμον
„Ἀνδρὸς ἐς ἀφνειῦ. . . . . . . .

Οὕτως Ἐπειγεὺς, ἐπεὶ τὸν ἀνεψιὸν ἐξενάριξεν, (Ἰλ Π'. ς. 574.) Προσφυγὼν.

„Ἐς Πηλῆ, ἱκέτευσε, καὶ ἐς Θέτιν ἀργυρόπεζαν.

Ο' δὲ Θεοκλύμενος ὑπὸ τὴν Τηλεμάχȣ ἑαυτὸν καθυπέβαλε πίςιν, φυγὰς διὰ τὸν τȣ̃ Ε'μφύλȣ φόνον ( Ο'δυ : Ο'. ς. 271.- )

,,Φεύγω, ἐπεί νύ μοι αἶσα κατ' ἀνθρώπȣς ἀλάληϑαι.

Τὴν ἐκ τῶν πρὸς γένȣς ἐκείνῳ ἐκδίκησιν ὑποπτήσσων:

,, Μή με κατακτείνωσι, διωκέμεναι γὰρ ὀΐω.

Παραπλησίως δὲ καὶ Ο'δυσσεὺς ἀμηχανῶν ἐςὶ τίποτε δράσει,, τȣ̀ς τοσȣ́τȣς ἀνελῶν μνηςῆρας, ὁπότε καὶ ὁ ἀποκτείνας ἄνδρα ἕνα,, ( Ο'δυσ : Ψ'. ς. 119. )

,, Ὧ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω,

,, Φεύγει, πηȣ̃ς τε προλιπὼν, καὶ πατρίδα γαῖαν.

Καὶ Ο'μηρος μὲν ἔφη: (Ο'δυσ : Ω'. ς. 433. κξ :) ὅτι ἀγορὰν περὶ τȣ̃ πρακτέȣ συςήσαντες οἱ προσγενεῖς τῶν ἀποκτανθέντων, ἐν ὅπλοις ὥρμηταν κατὰ Ο'δυσσέως· ἀλλ' ἔπειτα Παλλάδος σπȣδῇ, οἱ μὲν τὰ ὅπλα κατέθεντο, ὁ δὲ ἐν εἰρήνῃ τȣ̃ λοιπȣ̃ διέμεινε Βασιλεύων. Ε'τεροι δὲ Συγγραφεῖς τῶν λίαν ἀρχαίων ἱςόρησαν, ἐκπεσεῖν αὐτὸν ἀπελαθέντα Κεφαληνίας τε, καὶ Ι'θάκης, καὶ Ζακύνθȣ, ὡς Παρέδωκε Πλȣ́ταρχος. ( ἐν τοῖς Ε'λληνικ : Προβλήμ : ΙΔ'. ) Πάντως δὲ περὶ Α'δράςȣ, υἱȣ̃ τȣ̃ Φρυγῶν Βασιλεύοντος ἀνιςόρηται, ὅτι ἐξ ἀγνοίας τὸν κασίγνητον τὸν ἑαυτȣ̃ ἀποκτείνας, ὑπερόριος παρὰ τȣ̃ πατρὸς ἀπηλάϑη, καὶ περιȣσίας ἁπάσης ἐξέρηται ( παρ' Ηρόδ : ἐν τῇ Α'. Μȣ́σῃ. ) ὅθεν καὶ εἰς Κροῖσον κατέφυγεν, ὑφ' ȣ̃ καὶ κατὰ τὸν ἀρχαῖον τύπον ἀφαγνισθεὶς, ἔτι καὶ τῆς παρ' αὐτῷ οἰκήσεως ὑποδεξαμένῳ ἠξίωται. Τȣ̃το δὲ ἐπὶ τῶν ἀκȣσίων μάλιςα φόνων ἐπικρατῆσαι ,,γράφει ὁ τȣ̃ Ο'μήρȣ Σχολιαςὴς, ( Ι'λ : Ο'. ς. 573. ) Ε'θος ἦν ,,παρὰ τοῖς παλαιοῖς, τὸν ἀκȣ́σιον φόνον ἐργαζόμενον ,,φεύγειν ἐκ τῆς πατρίδος, καὶ παραγίνεσθαι εἰς τέμενος ,,καθαρσίων δεόμενον. Παρασημειοῖ δὲ τόδε τὸ ἔθος καὶ Παυσανίας ( ἐν τοῖς Ηλειακοῖς τοῖς γε προτέροις. ) ἐπὶ τȣ̃ Αἰτωλῶν ,,Α'νακτος, ὅν περ φησὶν ἐκ Πελοποννήσȣ φυγεῖν, ὅτι αὐτὸν

„οἱ Α'πιδος παῖδες, ἐφ' αἵματι ἀκεσίῳ δίκη εἷλον. Καὶ μετὰ βραχὺ, ἐπὶ Ο'ξύλε, ἀνδρὸς καὶ τέτε ἡγεμονικε, ὦ συνέβη φυ- „γάδι ἐξ Αἰτωλίας εἶναι· δισκέυοντα γὰρ φασὶν αὐτὸν ἁμαρ- „τεῖν, καὶ ἐξεργάσασθαι φόνον ἀκέσιον. Οὕτω δέ τοι καὶ ἐν παιδιᾷ ἀςραγάλων Πάτροκλος ἀνεῖλε τὸν υἱὸν Α'μφιδάμαντος: νήπιος ἐκ ἐθέλων: ἀνθ' ὅτε καὶ πρὸς Α'χιλλέα ἠνάγκαςο καταφυγεῖν (Ι'λ: Ψ'. ς. 86.) ὡς τόδε σεσημείωκεν ὁ Νομικὸς Κλαύδιος ὁ Σατερνῖνος (ἐν τοῖς Διγέςοις περὶ τῶν Ποινῶν.) Apud Græcos, exilio voluntario fortuiti casus luebantur; ut apud praecipuum Poetarum scriptum est Iliados Ψ'. „(Παρ' Ἕλλησιν, ὑπερορία ἐθελεσίῳ τὰ τῶν τυχαίων ἀν- „δροκτασιῶν ἀπετίετο. ὡς Ο'μήρῳ γέγραπται τῷ κορυ- „φαίῳ τῶν Ποιητῶν. (Ι'λ. Ψ'.) Α'λλὰ τῆς τοιᾶσδε ὑπερορίας τὴν προθεσμίαν, εἰς ἐνιαυτὸν ὡρίσθαι περέδωκεν ἕνα, ὁ τε Εὐριπίδε Σχο- „λιαςὴς (ἐν τῷ Ἱππολύτῳ.) Ἔθος γὰρ τοῖς ἐφ' αἵματι φεύ- „γεσιν ἐνιαυτὸν ποιεῖν ἐκτὸς τῆς Πατρίδος· Α'ρχαιοτάτη δὲ ἔσα ἡ τοιάδε ποινὴ τῆς φονοκτονίας, ἀπὸ Καΐν πάντως τε πρώτε φονεργε κατὰ θείαν δίκην ἐπὶ τὲς λοιπὲς ἔοικε τὴν ἀρχὴν εἰληφέναι.

Α'λλὰ καὶ δι' ἀποίνων, ἡ τῆς φονοκτονίας ἐποφειλομένη δίδοσθαι δίκη, παρὰ τῶν πρὸς γένες τε ἀποκτανθέντος ἐνίοτε ἐξηγόραςο. Ε'ντεῦθεν καὶ γὰρ (Ι'λ Ι'. ς. 628.) ἀπελέγχει Αἴας τὸ Α'χιλλέως αὐθαδές τε καὶ σκληροκάρδιον, ὅτι τὶς ἄλλος, καὶ ὑπὲρ κασιγνήτε αὐτῷ ἀναιρεθέντος ἀποδεξάμενος τὴν ἱκανοποίησιν, οἴκοι μένειν τῷ ἀποκτείναντι ἐπιτρέψειε.

„Νηλὴς, καὶ μέν τις τε κασιγνήτοιο φονοῖο
„Ποινὴν, ἢ ὃ παιδὸς ἐδέξατο τεθνειῶτος.
„Καί ῥ ὁ μὲν ἐν δήμῳ μένει αὐτε, πόλλ' ἀποτίσας,

„ Τῷ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ„
„ Ποινὴν δεξαμένου . . . . . . . .

Οὕτω δ' ἐκδεκτέον, καὶ τὸ (Ἰλ. Σ'. ς. 498.)

„ . . . . . Δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
„ Ἀνδρὸς ἀποφθιμένου· Ὁ μὲν εὔχετο πάντ' ἀποδοῦναι
„ Δήμῳ πιφαύσκων· ὁ δ' ἀναίνετο μηδὲν ἑλέσθαι·

„ Ἔνθα Εὐστάθιος φησίν: Ἦν δὲ παλαιὸν ἔθος καὶ ποινὴν „ἔσθ' ὅτε δίδοσθαι ὑπὲρ φόνου, καὶ μὴ ἀνάγκην εἶναι φεύγειν „ἀεὶ τὴν πατρίδα τὸν πεφονευκότα. Ὁ δὲ Σχολιαστὴς καὶ „ὑποφόνια ἑρμηνεύει ταῦτα πρὸς τῶν Ἀττικῶν εἰρῆσθαι, ἃ ἐδί- „δοσαν τοῖς οἰκείοις τῶν ἀνῃρημένων οἱ ἀνελόντες. Πολλὰ δὲ τῆς τοιᾶσδε ἐξαγοράσεως ἀπομνημονεύματα σώζεται παρά τε Δημοσθένει, καὶ τῶν Ἑλλήνων Ῥητόρων ἄλλοις. Ἀλλὰ καὶ νῦν ἐφ' ἡμῶν πολλαχοῦ ἐπιχωριάζει τὸ ἔθος παρὰ τοῖς βορειοτέροις ἔθνεσιν· ὃ τοῖς Λογγοβάρδοις ποτὲ ἐμφιλοχωρῆσαι, ἐν πολλοῖς τῶν περιόντων Νόμων ἀναφαίνεται.

## ΚΕΦΑΛ. Θ'.

## Περὶ Κλοπῶν τε καὶ ἁρπαγῶν.

Συνεχεῖς λίαν ὑπῆρχον τὸ πάλαι αἱ κλοπαί τε καὶ ἁρπαγαὶ ἀν' Ἑλλάδα, οὐχ ὅπως κατὰ γῆν, ἀλλὰ καὶ ἐπὶ θαλάσσης· μαρτυροῦσι δὲ αἱ πολλαὶ βοηλασίαι, οἵτε ἀνδραποδισμοί, καὶ αἱ ἀνάστατοι γινόμεναι πόλεις τε καὶ ἀγροί, ὧν ἅπασα ἡ Ὁμήρου Ποίησις πλέως. Ἔδρων δὲ τὰ τοιαῦτα ἄνδρες οὐχὶ τῶν ἀσήμων· καὶ γὰρ καὶ αὐτοῖς τοῖς Ἥρωσιν, οὐ-

,,κουν μὲν εἰς αἶχος, ἀλλ' εἰς εὖχος καθίςατο τὸ πρᾶγμα,, Οὐκ ἔχοντός πω αἰχύνην τὲτε τῦ ἔργε, φέροντος δέ τι κὴ δόξης ,,μᾶλλον, ὡς Θεκυδίδης ἀρχόμενος τῆς αὐτῦ ἱςορίας Φησίν· ὃ πρὸσεμπεδοῖ κὰξ ἐκείνε, ὅτι κὴ ἐπ' αὐτῦ ἤδη, πολλοῖς ἦν σεμνόντε κὴ εὐπρεπὲς τὸ τοιόνδε ἀσκεῖν. Καὶ ὅτι παρὰ τοῖς ἀρχαιοτάτοις τῶν Ποιητῶν, ,,οἱ ὁπεδήποτε καθορμιζόμενοι ἀνηρωτῶντο, μήποτε τῶν ληςευόν- ,,των τυγχάνοντες εἶεν; ὡς ἔτε ὧν πυνθάνονται ἀπαξιέντων ,,τὸ ἔργον, οἷς τ' ἐπιμελὲς ἦν εἰδέναι ὀκ ὀνειδιζόντων· Δεῖγμα δ' ἐμφανέςατον, τὸ (Ὀδυσ. Γ'. ς. 71.)

,,Ὦ ξεῖνοι τίνες ἐςὲ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
,,Ἤ τί κατὰ πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε,
,,Οἷατε ληϊςῆρες ὑπεὶρ ἅλα; τοί γ' ἀλόωνται.
,,Ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;

Ἔνθεντοι παρὰ τῷ Ὀρφεῖ, ὁ Ἰάσων τῷ βασιλεῖ Αἰήτῃ, καθ' ὑπόνοιαν ἐκπυνθανομένῳ, τίνες ἄρ' εἶεν οἱ Ἀργοναῦται; ἀπεκρίνατο:

,,Οὔτι νὺ ληϊςῆρες ἱκάνομεν . . . . .

Ὅλως δὲ κὴ Φιλόςρατος (εἰς τὸν Ἀπολλων: βίον, ἐπιμαρτυρᾶν ,,ἐςὶ κὴ τοῖς ἄλλοις ἅπασι τόδε συμβαίνειν ὡσαύτως: οἱ γὰρ πα- ,,λαιοὶ τὰς ἐρωτήσεις τῶν καταπλεόντων ἐποιῦντο, εἰ ,,ληςαί εἰσί;

Τὸ τοίνυν λῃςρικὸν πάλαι, παρὰ τὸ ἐνδελεχὲς τῦ ἐθισμῦ ἐν ἦν ἐν κάκῃ· Κἀντεῦθεν ἴσως ὑπὸ Ὁμήρε (Ὀδυσ. Τ'. ς. 395.) ἐπαινεῖται Αὐτόλυκος:

,, . . . . . . . . . . . . Ὃς ἀνθρώπες ἐκέκαςο
,,Κλεπτοσύνῃ θ' ὅρκῳ τε· θεὸς δέ οἱ αὐτὸς ἔδωκεν
,,Ἑρμείας. . . . . . . . . .

„Ἑρμῆν γὰρ οἱ παλαιοὶ Ἕλληνες προεςάναι τε καὶ ἡγεμονεύειν τῶν κλοπέων ἐνόμιζον. Ἔνθεντοι καὶ Σάμιοι Ἑρμῇ τῷ χαριδότῃ ἐνθεάζοντες, κλέπτειν τε καὶ λῃςεύειν τῷ βουλομένῳ ἐπέτρεπον· ὅτι ἀπὸ χρησμοῦ τὴν Νῆσον καταλιπόντες, καὶ εἰς Μυκάλην μεταναςάντες, ἐξ ἁρπαγῆς ἐπ' ἐνιαυτοῖς δέκα διέζησαν, μαρτυροῦντος Πλουτάρχου ἐν τοῖς Προβλήμασιν. Ἀλλὰ γὰρ ἡ τῆς κλεπτοσύνης μείζων ἦν δόξα, εἰ οὕτω περιεσκεμμένως τοῖς μετιοῦσι γίγνοιτο, ὡς μὴ τὸν κλέ„ψαντα φωραθῆναι: Ὅθεν Σουΐδας, τὸ παλαιὸν (φησὶν) οὐ διεβέ„βλητο ἡ κλοπή, εἰ μὴ φωραθεὶς ὁ κλέπτων ὑπῆρχε· καὶ ταύτῃ γε δὴ Αὐτόλυκος ἐπαινεῖται, καὶ Σίσυφος, καὶ ἄλλοι τῶν Ἀρχαιοτέρων, ὡς ἐν τοῖς Λυκούργου θεσμοῖς παρὰ Λάκωσιν ὕςερον τὸ ἔθος τόδ' ἐπικλεϊσθῆναι.

Ἄλλως μέντοιγε, καί περ αἱ κλοπαί τε καὶ ἁρπαγαὶ κατ' ἐκεῖνο τοῦ χρόνου, ἐν ἔθει τε ἦσαν καὶ ἐν ἐπαίνῳ, οὐ μὴν ἀλλ' ἦν ὅτε περὶ τούτων ἔδει καὶ λόγον ἀποδιδόναι. Τῶν γὰρ Μεσσηνίων τριακόσια πρόβατα τοῖς Ἰθακησίοις ἀφελομένων, Ὀδυσσεὺς βουλῇ τε καὶ συναινέσει τῶν γεραιτέρων εἰς ἀπαίτησιν ἐξῆλθε πρεσβεύσων, μετὰ χρέος: ὡς εἴπερ ἄρα οὐχὶ κατὰ γνώμην τῶν κεκτημένων ἐπ' ἐκείνους μετενεχθεῖσα γένοιτο τῶν ἀφαιρεθέντων ἡ κυριότης, ἀλλ' ὡς δάνειον κιχρηθείη, τὸ ἐν καιρῷ ἀποδοθησόμενον. (Ὀδυσ: Φ'. ς. 19.) Εἰ δὲ μήγε, ἀλλὰ δι' ἁρπαγῆς παραπλησίως τὸ σφίσιν ἱκανὸν ἀντεπενεγκόντες εἶεν. Καθάπερ δὴ Νέςωρ (Ἰλ: Λ'. ς. 687.) ἔφη Πυλίους ὑπὸ τῶν Ἐπειῶν ζημιωθέντας μεγάλην ἐκ τοῦ ἀγροῦ τοῦ ἐκείνων λείαν ἀπαγαγεῖν, ἣν „οἱ τῆς ἐκςρατείας ἡγησάμενοι διεμέρισαν. Πολέσιν γὰρ Ἐπειοὶ „χρεῖος ὄφειλον„ Τοιῷ δὲ δὴ νόμῳ, ὡς οἷς τὰ πλείω παρὰ τῶν ἀντιπολεμίων ἀφῄρητο, καὶ τὸ πλεῖον μέρος λαχεῖν: καθάπερ οὖν καὶ Νηλεὺς ὁ Ἄναξ, ὑπὲρ τῶν ἁρπαθέντων αὐτῷ τεσσάρων ἵππων ἀθλοφορικῶν, ἀγέλην ἔσχε βοῶν, καὶ προβάτων ποίμνην σὺν τοῖς νομεῦσιν. (Αὐτ: ς. 695.) Ἔνθεντοι καὶ ὁ τοῦ Ἀντινόου Πατὴρ ἤλασε διώξας τοὺς λῃϊςῆρας Ταφίους, τοὺς ἐν ἁρπαγαῖς κακῶς ἀκούοντας: (Ὀδυσ: Π'. ς. 426. καὶ 427.) Εἰ καὶ αὐτὸς τὴν Ἰθακησίων ὑπε-

ςη μῆνιν, ὡς Θεσπρωτοῖς τοῖς συμμάχοις ἐκείνων προλυμηνόμενος, καὶ μικρὸν ἐδέησε, τούτου γε ἕνεκα, τὴν ἰδίαν αὐτοῦ περιουσίαν ἅπασαν ζημιωθῆναι. Πρῶτος δὲ φέρεται Μίνως ὁ τῶν Κρητῶν Ἄναξ, ἀπὸ τῆς θαλάσσης τοὺς λῃστὰς ἐξελάσας, ὡς Θουκυδίδης ἐν τῷ Α'. τῆς Ἱστορίας παρέδωκεν.

## ΚΕΦΑΛ. Ι'.

## Περὶ ὠνήσεών τε καὶ πράσεων.

Οὔτις ἦν κατ' ἀρχὰς ἐν Ἕλλησιν ἐμπορικὴ πραγματεία, ἑκάστου καθ' ἡμέραν ἑαυτῷ ἐκ τοῦ ἰδίου ἀγροῦ τὰ πρὸς τὸ διαζῆν χρειώδη παρασκευάζοντος, ὡς ὁ Θουκυδίδης μαρτυρεῖ ἐν προοιμίοις τῆς αὐτοῦ Ἱστορίας. Ὕστερον δὲ ὁ ἐμπορικὸς βίος συνέστη, καὶ τοῦ κέρδους ἕνεκα ὁ διὰ τῆς θαλάσσης πλοῦς ἠνεώχθη· ἐξ οὗ καὶ οἱ Ναῦται Πρηκτῆρες εἴρηνται: (Ὀδ: Θ'. ς. 162.) καὶ πλωτῆρες, „οἳ ἔπλεον ἐπὶ πρῆ„ξιν καὶ χρήματα. (Ὅρ: εἰς βίον Ἀπολλ: ς. 397. καὶ 453.) Προηγήσαντο δ' Ἑλλήνων εἰς τοῦτο Φοίνικες· οἵτινες, ὥσπερ ᾄδει Διονύσιος, (ἐν τῷ περὶ Θεσ: τῆς γῆς:)

„. . . . Πρῶτοι νήεσσιν ἐπειρήσαντο θαλάσσης.
„Πρῶτοι δ' ἐμπορίης ἁλιδήνεος ἐμνήσαντο.

Ὅθεν Κικέρων (ἐν Γ'. τῶν περὶ πολιτ.) φησίν: Eos primos mercatores mercibus ſuis avaritiam, magnificentiam et inexplebiles cupiditates primum in Graeciam intuliſſe. „(Πρώτους ἐκείνους ἐμπόρους, τοῖς αὐτῶν ἀγωγίμοις, τὴν φιλο„χρηματίαν, καὶ τὴν πολυτέλειαν, καὶ τὰς ἀπλήστους ὀρέ„ξεις τὸ πρῶτον εἰς τὴν Ἑλλάδα εἰσενηνοχέναι.) Διόπερ οἱ αὐτοὶ (Φοίνικες) Ὀδυσ. Ο'. ς. 414.)

„Ἔνθα δὲ Φοίνικες ναυσίκλυτοι ἤλυθον ἄνδρες
„Τρῶκταί, μυρί' ἄγοντες ἀθύρματα νηΐ μελαίνῃ.

Ἐξ οὗ καὶ ἐπὶ τῷ πειρατικῷ βίῳ τὸ πάλαι κατέστησαν διαβόητοι, ὡς μαρτυρεῖ Φιλόστρατος (ἐν Γ. Βιβλ. τῶν εἰς τὸν Ἀπολλωνίου βίον.) Διεπραγματεύετο δὲ τὰ τῆς ἐμπορίας διὰ συναλλάγματος, ὡς δῆλον ἐκ τῆς Η'. Ῥαψῳδ. (ς. 472.) Ἔνθα ἐκ Λήμνου ἐπὶ τὸ τῶν Ἑλλήνων στρατόπεδον νῆες καθωρμίζοντο, οἴνου φόρτον ἄγουσαι, ὃν ἐκεῖνοι χαλκοῦ, καὶ σιδήρου, καὶ δερμάτων, καὶ βοῶν, καὶ ἀνδραπόδων συνεξωνοῦντο.

„Ἔνθα δ' ἄρ οἰνίζοντο καρηκομόωντες Ἀχαιοί·
„Ἄλλοι μὲν χαλκῷ, ἄλλοι δὲ αἴθωνι σιδήρῳ,
„Ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δὲ αὐτοῖσι βόεσσιν,
„Ἄλλοι δ' ἀνδραπόδεσσι . . . . . . .

Τοῦ δὲ δὴ χωρίου τούτου, καὶ ὁ Νομικὸς ἐπεμνήσθη (ἐν τοῖς Διγές. περὶ τῶν Συμβολαίων, τῶν ἐν ὠναῖς καὶ πράσεσι: Καὶ Πλίνιος δὲ (ἐν Βιβλ. ΛΓ'. Κεφάλ: Α'.) Quantum, inquit, feliciore ævo cum res ipſae permutabantur inter ſe; ſicut et Trojanis temporibus factitatum Homero credi convenit. Ita enim ut opinor, commercia victus gratia inventa. Alios coriis boum, alios ferri, captivisque rebus amplitaſſe tradit „Ἐν χρόνοις ὅσον, φησὶν, εὐτυχεστέροις, ὅτε τὰ πράγ„ματα αὐτὰ πρὸς ἄλληλα διεξαμείβετο. Ὡς γενέσθαι ἐπὶ „τῶν Τρωϊκῶν, πιστεύειν Ὁμήρῳ χρή. Οὕτω γὰρ, ὡς οἶμαι „τὰ τῆς ἐμποορίας εὕρηται τροφῆς χάριν. Τοὺς μὲν γὰρ „δέρμασι βοῶν, τοὺς δὲ σιδήρῳ, τοὺς δ' ἀνδραπόδοις, τοὺς δ' „ἄλλοις τοῖς ἐκ λείας λαφύροις, ἐξωνουμένους παρίστησιν. Τῇ δὲ παραπλησίᾳ ἀντεπαμείψει κέχρητο, καὶ ὁ τοῦ Θεοκρίτου Αἰπόλος, ὅτε τῷ Ναυτίλῳ αἶγα ἀπέδωκεν ὑπὲρ τοῦ Κυπέλλου. (Ἐν Εἰδυλ. Α'.)

Καὶ οἱ Λάκωνες δὲ τὰ τȣ̃ Πολυδώρȣ Ἀνάκτορα μετὰ τὴν ἐκείνȣ τελευτὴν ἐπὶ βȣσὶ παρὰ τῆς ἀλόχȣ αὐτȣ̃ συνωνήσαντο. Ἐξ οὗ καὶ βοώνητα ἐπεκλήθη, ὡς Παυσανίας διέξεισιν ἐν τοῖς Λακωνικοῖς. Τὸ δ' αἴτιον, ὅτι ἔπω νόμισμα χρύσεον, ἢ ἀργύρεον ἦν ἐν χρήσει: „Ἀργυρίȣ γὰρ ȣ̓κ ἦν πώποτε, ἢ χρυσȣ̃ νόμισμα, φησὶ, „κατὰ τρόπον δὲ ἔτι ἀρχαῖον ἀντεδίδοσαν βȣ̃ς καὶ ἀνδρά-„ποδα, καὶ ἀργὸν τὸν ἄργυρον καὶ χρυσόν. Τȣ̃το δὲ τῷ τῶν Ἰνδῶν ὑποδείγματι προσεμπεδοῖ, οἳ κἀπὶ τῶν ἐπ' ἐκείνȣ προσέτι χρόνων, ὑπὲρ ὧν Ἕλληνες πρὸς αὐτȣ̀ς ἦγον, ἐκ τῶν παρ' αὐτοῖς ἐμπορευμάτων ἀνταπεδίδοσαν, νόμισμα τὸ σύνολον ἀγνοȣ̃ντες, καί τοι χρυσȣ̃ καὶ ἀργύρȣ εὐμοιρȣ̃ντες δαψιλῶς. Οὕτω δέ τοι καὶ Λίβιος (ἐν Βιβλ. ΚΘ.) ἱστορεῖ, καὶ Μασύλλȣς τȣ̀ς ἐν Ἀφρικῇ δήμȣς, ἐν πόσει πραγματεύεσθαι συναλλάσσοντας, ȣ̓κ ἐν νομίσμασιν. Ἀλλὰ καὶ Λυκȣ̃ργος τȣτὶ χώραν ἔχειν ἐν Σπαρτιάταις ἐβȣ́λετο, δι' ὧν τȣ́τοις ἐνομοθέτησε, κατὰ τὸν ἱστορικὸν Ἰȣστῖνον: Emi fingula non pecunia, fed com-„penfatione mercium juffit (κελεύσας μὴ νομίσματι, συ-„ναλλάγματι δ' ἐμπορευμάτων ἕκαστα διαπιπράσκεσθαι)

Καί τοιγε καὶ νομίσματος χρῆσιν τοῖς ἐμπορευομένοις γενέσθαι, ἐξ αὐτȣ̃ Ὁμήρȣ συνάγεσθαι ἔοικεν, ἐν οἷς τῶν ἑκατομβοίων ὁ Ποιητὴς μέμνηται καὶ τῶν ἐννεαβοίων ἐπὶ τῆς τῶν ὅπλων ἀντεπαμείψεως Γλαύκȣτε καὶ Διομήδȣς: (Ἰλ. Ζ. ς. 236.) Χρύσεα χαλκείων, ἑκατόμβοι ἐννεαβοίων· καὶ ἀλλαχȣ̃: (ὡς ἐν Ἰλ. Β'. ς. 449. καὶ Ἰλ. Φ'. ς. 79.) φησὶ γὰρ ὁ Σχολιαστὴς, ὡς ὑπῆρχε νομίσματα, ἃ κατὰ τύπον ἀρχαῖον, ἔνθεν μὲν εἶχεν εἰκόνα βοὸς, ἔνθεν δὲ τὴν τȣ̃ βασιλεύοντος. Καὶ Πολυδεύκης δὲ (ἐν Βίβλ. Θ. Κεφάλ. Ζ.) γράφει, τοῖς Ἀθηναίοις ἀνέκαθεν νόμισμα χρηματίσαι καλȣ́μενον βοῦς· „διὰ τὸ ἔχειν βȣ̃ν ἐκτετυπωμένον. καὶ τȣ̃το γοῦν ἐπὶ τοῖς ἀνωτέρω ἀνενεχθεῖσιν ἐξ Ὁμήρου πολλȣ̀ς ἡγεῖσθαι. Προστίθησι δ' ὅτι καὶ ἐπὶ

τοῖς τῦ Δράκοντος Νόμοις, βοῦς εὕρηται δεκάβοιος· καὶ ἐν τῇ παρὰ Δηλίοις θεωρίᾳ, τὸν Κήρυκα εἰωθέναι κράζειν, ἐπει-„δάν τινι δώρημα συνετελεῖτο: Ὅτι δοθήσονται αὐτῷ τοσοῦτοι „βόες, καὶ δίδοσθαι καθ' ἕκαςον βοῦν δύο δραχμὰς ἀττι-„κάς· ὡς ἐντεῦθεν τὸν βοῦν τιμᾶσθαι διδράχμου. Ἀλλὰ γὰρ καὶ Πλούταρχος (εἰς βίον Θησέως) λέγει: Πρῶτον τοῦτον νόμισμα κόψαι ὑπὸ βοὸς εἴδει, εἴτε διὰ τὸν ἐν Μαραθῶνι ταῦρον, εἴτ' οὖν εἰς μνήμην τοῦ Ἡγεμονεύσαντος Μίνωος, ἢ ὅτι ἐπὶ τὴν γεωργίαν βουληθείη ἀνακαλέσαι· ἐξ οὗ δὴ νομίσματος, καὶ τοὔνομα ἑκατόμβοιον, καὶ δεκάβοιον, παρῆκται. Ὅμηρος δὲ συνεχῶς καὶ χρυσοῦ ταλάντων μνημονεύει: (Ἰλ. Ι'. ς. 122. καὶ Ὀδ. Ι'. ς. 202. καὶ Ὀδ. Ω'. ς. 273.) Ὅτι δὲ ταῦτα ἐπισεσήμαντο τοῖς Ἕλλησιν, οὐκ ἄδηλον. Καί τοι τῷ βάρει μᾶλλον, ἢ τῷ σχήματι κεκόφθαι ἔοικε παρ' αὐτῷ· βαροῦντα δ' ἔμπης οὐχ' οὕτω μέγα τῷ βρίθει, ὡς ἄν τις ἐκ τῶν ἄθλων τεκμήραιτο, τῶν ἐπὶ τῷ κήδει τοῦ Πατρόκλου, ἔνθα εἰς ἔχατον τῇ τάξει βραβεῖον προὐτέθη Δύο χρυσοῖο τάλαντα. (Ἰλ. Ψ'. ς. 269.) Πρίαμος δὲ ὕςερον, χρυσοῖο ςήσας ἔφερεν δέκα πάντα τάλαντα, (Ἰλ. Ω'. ς. 232.) τῷ Ἀχιλλεῖ πρὸς τοῖς ἄλλοις, ὡς λύτρα ὑπὲρ ἀναῤῥύσεως τοῦ νεκροῦ τοῦ ἰδίου υἱοῦ προσενέγκας. Ὅτι δὲ καὶ ἡττοβριθέςερόν τι τάλαντον ἐφέρετο, παρὰ τὸν Ὁμήρου Σχολιαςὴν, καὶ Σέρβιος παρασημειοῦται· (Αἰνειάδ. Βιβλ. Ε'. ς. 112.)

Ἀλλ' ὅπως ἂν τὸ περὶ τούτου καὶ ἔχοι, ἐκεῖνο δὴ ἐκτὸς ἐςὶν ἀμφιβολίας, ὅτι παρὰ τοῖς ἀρχαίοις ἔλαττον ἐπεπόλαζε χρημάτων πλῆθος, ὅθεν ἐκείνων τὴν ἀχρηματίαν ἀπεκλαίετο Θουκυδίδης. Προσέτι δὲ καὶ παρ' αὐτοῖς τοῖς ἐν δυναςείαις ἀνδράσιν, ὡς καὶ Ἡρόδοτος μαρ-„τυρεῖ, (ἐν τῇ Οὐρανίᾳ.): Ἦσαν γὰρ τὸ πάλαι (φησὶ) καὶ αἱ τυ-„ραννίδες τῶν ἀνθρώπων ἀσθενέες χρήμασιν, οὐ μόνον ὁ „δῆμος: Ὁ δὲ πᾶς πλοῦτος ἐν κτήνεσιν ἔκειτο, καὶ μάλιςα βόεσιν:

ὢ δήπε λόγῳ καὶ ταῦτα χρήματα εἴρηται. (ἐν Ὕμνῳ τῷ εἰς Ἑρμ. ς. 400.) οὗ πλείςας τὰς ἐξ Ὁμήρε ἐπιμαρτυρήσεις ἀναφέρει ὁ Παυσανίας· (ἐν τοῖς Μεσσηνιακοῖς:) ἐσπεδάκεσαν δὲ ἄρα (φάσκων) „οἱ τότε, πλῦτον τινὰ συλλέγεσθαι τοιῦτον, ἵππων καὶ „βοῶν ἀγέλας.

## ΚΕΦΑΛ. ΙΑ'.

## Περὶ Δωρεῶν.

Τῶν δωρεῶν, ὡς οἱ περὶ τὰ Νομικὰ ἐνασχολέμενοι διαςέλλεσιν, αἱ μὲν ὑπὸ τῶν περιόντων ἐν ζῶσι παρέχονται, αἱ δ' ἀπολείπονται ὑπὸ θνησκόντων, ἑκατέρε δὲ τῦ εἴδες ἐκ ὀλίγα, ἐδ' ἀσαφῆ ἁπανταχῇ παρ' Ὁμήρῳ τὰ δείγματα. Πρὸς οὖν τὴν ὑπὸ ζώντων παρεχομένην δωρεὰν ἀνήκει, τὰ φιλοξενικὰ ἐκεῖνα τῶν ἐπιδομάτων, ἃ ξεινήια πρὸς τῦ Ποιητῦ ἁπανταχῦ καλεῖται, παντοῖα μὲν αὐτὰ ὄντα, τὰ πλεῖςα δὲ ἐν σκέυεσι καὶ ἐσθήτεσιν ὑφιςάμενα· οἷον Τηλεμάχῳ ἀπιόντι Ἑλένη κρατῆρα δίδωσιν ἀργύρεον τοῖς χείλεσι περίχρυσον, καὶ ἐσθῆτα νυμφικήν. (Ὀδυσ. Ο'. ς. 115. καὶ ς. 125.) Ὡσαύτως δὲ καὶ τῷ Ὀδυσσεῖ ἀ„περχομένῳ παρὰ Φαιάκων δέδονται τρίποδες, καὶ λέβητες, καὶ „χρυσὸς, ὑφαντά τε εἵματα καλά. (Ὀδ. Ν'. ς. 217.) Καὶ ὅπλα δὲ δωρεῖσθαι εἰώθεσαν, ὥσπερ Ἀμφιδάμας τῷ Μόλῳ ἐδωρήσατο τὴν κυνέην, (Ἰλ. Κ. ς. 269.) καὶ Κινύρης τῷ Ἀγαμέμνονι τὸν θώρακα, (Ἰλ. Λ. ς. 20.) καὶ Ἴφιτος τὸ πατρῷον τόξον Ὀδυσσεῖ, τῷ ἀμοιβαδὸν ἀντιδωρησαμένῳ (Ὀδυσ: Φ'. ς. 31. καὶ 34.) ξίφος καὶ δόρυ. Παραπλησίᾳ δὲ τῇ ἀντεπαμείψει, Οἰνεῖ τῷ ζωςῆρα χαρισαμένῳ, καὶ Βελ„λερεφότης ἀντεχαρίσατο δέπας ἀμφικύπελλον (Ἰλ. Ζ'. ς. 219. 220.) Τοῦ τοιέτε ἔθες ὡς πλεῖςα σώζεται δείγματα, καὶ παρὰ τοῖς ἄλλοις τῶν συγγραφέων: οἷον, ὡς ὅτε τοῖς Ἀργοναύταις Ὀρφεὺς ἔφη,

„τὸν Χείρωνα αὐτῷ δεδωκέναι, Νεβρὴν παρδαλέην ξεινήϊον. Κύ-
„ζικον δὲ τὸν Ἄνακτα τοῖς Ἀργοναύταις αὐτοῖς, χλαίνας, ἠδὲ
„τάπητας, ξυνήτυς τε χιτῶνας. Οὕτω καὶ Πολυδεύκης παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ. ΚΒ΄.) διὰ δώρων προσκαλεῖται Ἄμυκον τὸν Ἄνακτα, ἐπὶ τὸν ἑαυτῦ οἶκον:

„Ἔλθοις, καὶ ξενίων γε τυχὼν πάλιν οἴκαδ' ἱκάνοις.

Καί γε Ἰάσων ὁμοίως παρὰ Πινδάρῳ (ἐν Ὠδῇ Δ. Πυθ.) τοῖς ἀ-
„δελφοῖς τε καὶ ξυγγενέσι ξένι' ἁρμόζοντα τεύχων. Γράφει δὲ Πλύταρχος, καὶ τὰς Ἀμαζόνας τῷ Θησεῖ πρὸς αὐτὰς ἀφικομένῳ ξένια πεπομφέναι. Οὕτω καὶ Ξενοφῶν περὶ τῶν Λακεδαιμονίων (Ἑλληνικ: Ζ΄.)
„Ὅτι ἄλλως τε ἐτίμων αὐτὺς, καὶ βοῦν ξένια ἔπεμψαν.

Ταῖς δωρεαῖς ταῖς μεταξὺ τῶν ζώντων συγκαταλεκτέον, καὶ τὰς
„ἐπὶ τοῖς γάμοις γιγνομένας. Ἔδνα δὲ Ὅμηρος ὀνομάζει, τὰ ὑπὸ
„τῶν μνηστήρων ταῖς μνηστευομέναις διδόμενα, ἢ φησὶν Ἡσύχιος. Οὕτως Ὀδυσσεὺς πρὸς Ναυσικάαν διαλεγόμενος φάσκει. (Ὀδ. Ζ΄. ς. 158.)

„. . . . . . . Μακάρτατος ἔξοχον ἄλλων,
„Ὅς κε σ' ἐέδνοισι βρίσας οἴκαδ' ἀγάγηται.

Καὶ Πολυμήλην δ' Ἐχεκλεύς, (Ἰλ. Π΄. ς. 190.)

„Ἠγάγετο πρὸς δώματ', ἐπεὶ πόρε μυρία ἕδνα.

Ὃν δὴ τρόπον καὶ Ἕκτωρ ἀγαγέσθαι λέγεται Ἀνδρομάχην. (Ἰλιάδ. Χ΄. ς. 472.)

„Ἐκ δόμυ Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα.

Καὶ Νηλεὺς Χλῶριν. (Ὀδυσ. Λ΄. ς. 281.) Διὸ καὶ οἱ Πηνελόπης Μνηστῆρες, πρὸς ἀλλήλυς ἐρίζοντες ὑπῆρχον, ἐν δώροις ἀντιφιλονεικῦντες. (Ὀδ. Π΄. ς. 392)

„. . . . . Ὅς κεν πλεῖστα πόροι, καὶ μόρσιμος ἔλθοι.

Τῷ δὲ πατρὶ ἔθος ἦν τὰ δῶρα παρέχειν, ὡς δῆλον ἐξ ὧν (Ὀδυσ. Θ΄. ς. 318.) Ἥφαιστος ἀποδοθῆναι αὐτῷ βέλεται παρὰ τȢ γεννήτορος τῆς μοιχευθείσης ἀλόχȢ, ἃ ὑπὲρ αὐτῆς ἐκείνῳ ἐτύγχανε δεδωκώς.

„ Εἰσόκε μοι μάλα πάντα Πατὴρ ἀποδώσει ἔεδνα,
„ Ὅσσα οἱ ἐγγυάλιξα, κυνώπιδος εἵνεκα κȢρης.

Οὕτω τοι καὶ Κτιμένην τὴν Ὀδυσσέως κασιγνήτην οἱ τεκόντες ἐκδεδώκασι πολλὰ δῶρα λαβόντες. (Ὀδυσ. Ο΄. ς. 366.)

„ . . . . . Σάμην δ᾽ ἔδοσαν, καὶ μυρί᾽ ἕλοντο.

Καὶ ἦν ἄρα ὠνῆς τι εἶδος ἢ πράσεως τὰ τῶν Γάμων παρ᾽ Ἕλλησιν, ὃ καθ᾽ ἡμᾶς ἀριδήλως γίγνεται παρὰ ΤȢρκοις, οἷς τισιν ἐπ᾽ ἀριθμητῷ τιμήματι αἱ θυγατέρες παρὰ τῶν τοκέων οἷον πιπράσκονται· τῷ ὄντι δὲ ΘȢκυδίδης, καὶ Ἀριστοτέλης δ᾽ ἔτι. (Πολιτικ. Βιβλ. Β΄. Κεφαλ. Η΄.) ȣκ αἰδȢνται λέγοντες, τὰς γαμετὰς τὸ πάλαι ὠνίȢς ἀν᾽ Ἑλλάδα προτίθεσθαι. ΤȢ τοιȣτȢ γεμὴν ἔθȢς, καὶ παρὰ τοῖς ἀρχαιοτέροις Ῥωμαίων ἔσθ᾽ ὅ,τι ἴχνος ἐμφαίνεται.

Αἱ δὲ δὴ δωρεαὶ αὗται, μετάγε τὰ ταῖς γυναξὶ προσήκοντα προκοσμήματα, ἐν πόεσιν ὑφίσαντο, καὶ μάλιστα ἐν βȢσίν· ὅθεν αἱ Κόραι καὶ Ἀλφεσίβοιαι εἴρηνται: καὶ τȣτȣ δεῖγμα πρόκειται ἐμφανὲς τὸ ἐπὶ Ἀλκιδάμαντος, τȢ τῇ μνηστευθείσῃ αὐτῷ Θεανοῖ (Ἰλ: Λ΄. ς. 244.)

„ Πρῶθ᾽ ἑκατὸν βȢς δῶκεν, ἔπειτα δὲ χίλι᾽ ὑπέστη,
„ Αἶγας ὁμȢ, καὶ ὄϊς, τά οἱ ἄσπετα ποιμαίνοιτο.

Ὡσαύτως καὶ παρὰ Θεοκρίτῳ (ἐν Εἰδυλ: ΚΖ΄.) ἡ Παῖς παρὰ Δάφνιδος τȢ ἐκζητȢντος τὸν γάμον, πυνθάνεται:

„ Καὶ τίμοι ἕδνον ἄγοις γάμȢ ἄξιον, ἣν ἐπινεύσω;

Ὁ δὲ ἀποκρίνεται:

„ Πᾶσαν τὰν ἀγέλαν, πάντ᾽ ἄλσεα, καὶ νομὸν ἕξεις.

Ἀλλὰ γὰρ καὶ τινες ἐξεδίδοντο θυγατέρες ἀνάεδνοι, ἐκ προνομίας τουτέστιν ἄνευ δωρεᾶς καὶ ἔδνων τῶν ἐπὶ τῷ γάμῳ: ὃν δὴ τρόπον Ἀγαμέμνων τῷ Ἀχιλλεῖ καθυπισχνεῖτο μίαν τῶν θυγατέρων δώσειν ἀνάεδνον: (Ἰλ: Ι'. ς. 146.) Καὶ Ὀθρύων δὲ διωμολογεῖτο Πριάμῳ Κασσάνδραν ἄγεσθ' ἀνάεδνον ἐπὶ συμφωνίᾳ τοῦ Τροίαν διασώσασθαι. (Ἰλ: Ν'. ς. 366.) Καὶ γάρ τοι καὶ σύνηθες ἦν, εἴτις τι ἀγώνισμα, ὅπερ ἂν ἀναλάβοιτο, εὐκλεῶς κατορθώσειε, τοῦτον εἰς γάμον τῇ παιδὶ συνάπτεσθαι, ἧς ἐφίειτο. Καθάπερ οὖν Πέλωψ ἐς Ἆλιν νικήσας ἅρματι:

„ Ἐπεὶ τρεῖς γε καὶ δέκ' ἄνδρας ὀλέσαις
„ Ἐρῶντας (τὸν Ἱπποδαμείας) ἀναβάλλεται γάμον.

Καὶ τοῦτον ἐπὶ τῇ νίκει παρὰ Πισάτου ἔχεν ἐπιβραβευθεὶς· ὡς παρὰ Πινδάρῳ (Ὀλυμπ: Α'.) ἐστὶν ἰδεῖν. Τὸν αὐτὸν τρόπον Ἰκάριος Πηνελόπην τὴν θυγατέρα, εἰς δρόμον προκαλεσάμενος τοὺς μνηστῆρας, τῷ νικήσοντι ἐπεγγυήσατο: ὁ δὲ, ἦν Ὀδυσσεὺς· τοῦθ' ὅπερ κατὰ ζῆλον τοῦ Δαναοῦ γενέσθαι, Παυσανίας διέξεισιν· (ἐν τοῖς Λακωνικ.) Δαναὸς γὰρ εὑρεῖν οὐκ ἔχων, οἷς ἂν τὰς ἑαυτοῦ θυγατέρας ἐπισυζεύξειε, διὰ τὴν τῶν ὁμολέκτρων μιαιφονίαν, ἔδνων ἄνευ ἐπηγγείλατο αὐτὰς ἐπιδώσειν, τῷ κατὰ σθένος εὐδοκιμήσοντι. Διὸ καὶ τὸ τοῦ δρόμου ἀγώνισμα προὔθετο, ἐν ᾧ πολλῶν συνελθόντων, τοῖς προφερεστέροις πάσας ἐν τάξει ἐγκατεστήσατο.

Λείπεται δὴ ἡ δωρεὰ ἡ ἐν θανάτῳ, κατὰ τοιάνδε γινομένη συνθήκην, ὡς εἰ μὲν τελευτήσειεν ὁ τὴν δωρεὰν διδοὺς, τὸ δωρηθὲν ἐν διηνεκεῖ κτήσει, παραμένοι τῷ εἰληφότι: εἰ δ' ἄλλως περιγένοιτο, ἀποδοθείη, ὡς διατεθὲν ἐστὶν ἰδεῖν μεταξὺ Τηλεμάχου τε καὶ Πειραίου. (Ὀδ: Ρ'. ς. 78. καὶ ἑξ:) Ὃν ἄρα θεσμὸν ἐπαινεῖ καὶ Ἰουστινιανὸς (ἐν τοῖς institutis, ἤτοι τοῖς Νομοθετήμασι, τοῖς περὶ τῶν δωρημάτων.

Καὶ ὁ Νεμινὸς Μαρτιανὸς ἐν τοῖς Διγέςοις: ἔνθα λόγος περὶ τῶν ἐπὶ θανάτῳ δωρεῶν.)

„ Πείραι, ἐ γάρ τ' ἴδμεν ὅπως ἔςαι τάδε ἔργα·
„ Εἴκεν ἐμὲ μνηςῆρες ἀγήνορες ἐν μεγάροισι
„ Λάθρη κτείναντες, πατρῶϊα πάντα δάσωνται,
„ Αὐτὸν ἔχοντά σε βέλομ' ἐπαυρέμεν, ἤ τινα τῶνδε.
„ Εἰ δὲ κ' ἐγὼ τέτοισι φόνον καὶ κῆρα φυτεύσω,
„ Δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων.

## ΚΕΦΑΛ. ΙΒ'.

## Περὶ Κληρονομιῶν.

Τὸ τῆς φύσεως δικαίωμα ἀπαιτεῖ, τῶν ἀγαθῶν ὧν ἀπολείπεσιν οἱ τεκόντες, ἀπολαύειν τὰ τέκνα. Πρὸς γὰρ ἐκεῖνα ὁ πόθος ἅπας, καὶ „ἡ πᾶσα σπεδὴ φέρεται τῶν τεκόντων. Ἐπεὶ τὰ ἡμέτερα πάντα „τοῖς ἡμετέροις τέκνοις κατ' εὐχὴν ἑτοιμάζομεν, φησὶ Τρυ-„φόνιος (ἐν τῷ Ν. Βίβλ. περὶ τῆς τῶν ἀγαθ: ἐλευθερ.) Εἰς τίνας „γὰρ ἄν τις ἀναγκαιότερον εὔξαιτο περιεσιάζειν, γυναι-„κὸς, ἢ παιδὸς ἐκ ἐπιμεληθείς; λέγει Φάλαρις, ἐν Ἐπιςολ. ΝΔ'. πρὸς Ἐρύθειαν τὴν γαμετήν. Δεινὸν γὰρ, ἅ τις παρ' ἑαυτῷ κτήσαιτο, εἴπερ ὀθνείοις παραλιμπάνῃ, ὡς Πίνδαρος (ἐν Ὠδῇ Ι'. Ὀλυμ.) ἀποφαίνεται·

„ Ἐπεὶ πλῦτος ὁ λαχὼν ποιμένα ἐπακτὸν ἀλλότριον „
„ Θνάσκοντι ςυγερώτατος.

Ἀνθ' ὅτε γε Ὀδυσσεὺς πρὸς τοῖς ἄλλοις, οἷς ἐπεύχεται τοῖς ἐν Φαίαξιν ἐνδόξοις, (Ὀδ. Η'. ς. 149.) κἀκεῖνο προσέθετο: τὸ, ὅσα κέκτηνται, τοῖς γειναμένοις ἐξ αὐτῶν εἰς κλῆρον λιπεῖν.

„ . . . . . . . Καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος
„ Κτήματ' ἐνὶ μεγάροισι . . . . . . . . .

Καὶ τοίνυν ἡ τῶν πατρώων ἀγαθῶν διανέμησις, ἐτελεῖτο τοῖς τέκνοις, ἐκ τοῦ ἴσου βαλλομένων κλήρων, ὡς ἐπὶ τοῖς Κάστορος ὁρῶμεν, τοῖς Ὑλακίδου υἱέσιν. (Ὀδυ. Ξ. ς'. 208.)

„ . . . . . . Τοὶ δὲ ζωὴν ἐδάσαντο
„ Παῖδες ὑπέρθυμοι, καὶ ἐπὶ κλήρους ἐβάλοντο.

Τῷ δ' Ὀδυσσεῖ, ἑαυτὸν ἕνα ἐν αὐτοῖς ἀριθμοῦντι, βραχέα δέδοται, ἅτε ἐκ παλλακῆς γενομένῳ. Οἱ κλῆροι δὲ τοῖς παλαιοῖς τὰ πλεῖστα ἐκ ξύλου ὑπῆρχον· διὸ καὶ Ἡρωδιανὸς ὁ Γραμματικὸς τὸν κλῆρον παράγει παρὰ τὸ κᾶλον· ἐν δ' αὐτῷ ἴδιον σύμβολον, ἤτοι σύνθημα ἐνέγραφον, ὡς ἐστὶ δῆλον ἐκ τῆς Η'. Ἰλιάδος, ς. 175.) Ἔνθα τοὺς τῶν Ἑλλήνων ἀρίστους λαχεῖν ἔδει τὴν πρὸς τὸν Ἕκτορα μάχην:

„ . . . . . . . . κὴ κλῆρον ἐσημήναντο ἕκαστος·
„ Ἐν δ' ἔβαλον κυνέῃ Ἀγαμέμνονος Ἀτρείδαο. (Αὐτ. ς. 176.

Εἶτα τὴν κυνέην μικρὸν ἀναπάλλοντες, ἐξῆγον:

„ . . . . Πάλλεν δὲ Γερήνιος ἱππότα Νέστωρ (Αὐτ. ς. 181)

Ὅπερ οὖν καὶ ὑπὸ τῶν Ὀδυσσέως ἑταίρων ἐγένετο, τῶν τῇ Κίρκῃ προσελευσομένων: (Ὀδυσ. Κ'. ς. 206.) Καὶ οὕτω δὲ κὴ Οὐίργίλιος: conjectamque Aenea fortem accepit galea: * *

Ἐπὶ δὲ τούτῳ ἄλλως καὶ Κάλπη ἐν χρήσει ἐγίνετο.

Εἰ δ' ἄρα τέκνων ἀμοιροῦντες ἐτύγχανον, ἡ διαδοχὴ μετέπιπτεν ἐπὶ τοὺς προσωτέρω, ὡς δῆλον ἐκ τῆς Ἰλιάδ.) Ε'. ς. 158.) Ἔνθα Φαίνοψ,

ἀναιρεθέντοιν αὐτῷ τοῖν υἱέοιν,, ἐδόνα λέγεται ἐπιτεκέσθαι ὡς λιπέσθαι ἐπὶ κτεάτεσσι.

,, . . . . . . . . . Χήρωσαι δὲ διὰ κτῆσιν δατέοντο.
,,Ο῾ μὲν οὖν Εὐσάθιος ἱσορεῖ: καθεσᾶναι τι τάγμα ἐν ταῖς πό-
,,λεσι τὸ διοικοῦν τοὺς ἀκληρονομήτους ἤγουν τοὺς χηρεύον-
,,τας διαδόχων. Ἀλλ᾽ οὐ δοκεῖ τὰς τοιάσδε περιουσίας, ἐπὶ τοὺς τοιούτους διοικητὰς μεταπίπτειν,, καὶ μὴ ἐπὶ τοὺς ὁπωσοῦν τῷ γένει τῶν τελευτώντων προσήκοντας,, ὁπότε μάλιςα ἀναδασμοῦ ὧδε γίγνεται μνεία· καὶ τοίνυν ἄμεινον οἶμαι τὸ ῥηθὲν ὑπὸ Ἡσυχίου: ὅτι χηρω-
,,ςαί εἰσὶν οἱ μακρόθεν συγγενεῖς, οἱ μακρόθεν κατὰ γένος
,,προσήκοντες: καὶ καθὰ φησὶ Πολυδεύκης: οἱ τῷ ἐρήμῳ γένει
,,προσήκοντες: οἱ τῷ οἴκῳ δηλονότι τῷ χηρωθέντι τῶν ἰδίων κληρονόμων, διὰ τῆς ἐξ αἵματος κοινωνίας,, συναπτόμενοι. Οὕτω δὲ καὶ Ἡσίοδος ἐν τῇ Θεογονίᾳ (ς. 603.). Περὶ βίου λέγων ἀγάμου, ἐν ᾧ τις τὰ μὲν χρειώδη κεχορήγηται ἀποχρώντως, τοῦ δὲ γήρως ἐπιόντος ἀμοιρῶν ἐςὶν ὅθεν ἂν ἔχοι ἀντίληψίν τινα καὶ περίθαλψιν:

,,Ὅςκε γάμον φεύγων,, καὶ μέρμερα ἔργα γυναικῶν
,,Μὴ γῆμαι ἐθέλῃ,, ὀλοὸν δ᾽ ἐπὶ γῆρας ἵκηται
,,Χήτει γηροκόμοιο: ὁ δ᾽ οὐ βιότου ἐπιδευὴς
,,Ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
,,Χηρωςαί . . . . . . . . . . . . .

Τὰ δ᾽ ἔπη ταῦτα ὁ Σχολιαςὴς ἐκφράζων,, φησὶ: τοῦ οἴκου
,,χηρεύοντος,, καὶ ἐρήμου ὄντος τέκνων κληρονόμων τῆς
,,οὐσίας τῆς πατρικῆς, οἱ πόῤῥωθεν συγγενεῖς (οὐχὶ) δη-
,,μόσιοί τινες ἅρπαγες καὶ ἀλλότριοι τοῦ γένους, διαμερί-
,,ζονται τὴν τοιαύτην οὐσίαν. Καίτοι γε τυχὸν, καὶ Δικαςήρι᾽ ἄττα συνειςήκει ὑφ᾽ ὧν τὰ τοιαῦτα ἀγαθὰ τοῖς τῷ γένει πελάζουσι

διανέμοιτο. Ἄλλως γὰρ, οὐδὲ καινὸν ἦν, οὐδ' ἄηθες, τοῦ τὴν ἀδέσποτόν τε καὶ ἀκληρονόμητον περιουσίαν, ἐπὶ τὸ δημόσιον: ἀνατρέπειν· τουτέστιν εἰς τὸ ταμεῖον τοῦ Ἄρχοντος ἀνατίθεσθαι.

## ΚΕΦΑΛ. ΙΓ.

## Περὶ Γάμων.

Οἱ παρὰ τοῖς πάλαι Ἕλλησι γάμοι, μεταξὺ τῶν τυχόντων προσώπων συνίσταντο, πλὴν τῶν φυσάντων μεταξὺ καὶ τῶν φύντων· Τὴν γὰρ τοιάνδε συζυγίαν παρ' αὐτοῖς ἀθέμιτον κρίνεσθαι, κἂν μόνη ἡ Οἰδίπου τε καὶ Ἰοκάστης τραγικὴ ἱστορία ἐμφαίνει, ἧς ὁ Ποιητὴς ἅπτεται: (Ὀδυσ. Λ. ς. 270. κξ.) ἐν δὲ τοῖς ἄλλοις, βραχὺς, ἢ οὐδεὶς ἦν ὁ λόγος τῆς κοινωνίας τῆς ἐκ τοῦ αἵματος. Οὕτω γὰρ (ἐν προοιμίοις τοῦ Κ'. τῆς Ὀδυσσ: ς. 7.) τοὺς ἐξ τοῦ Αἰόλου υἱεῖς, ταῖς ἰσαρίθμοις τοῦ αὐτοῦ θυγατράσιν, εἰς γάμον εἴρηται συνεζεῦχθαι. Καὶ ἡ Τυρὼ δὲ, (Ὀδυσσ: Λ'. ς. 234.) Κρηθεῖ γεγάμηται τῷ Ὁμαίμονι. Καὶ Ἰφιδάμας (Ἰλ: Λ'. ς. 226.) τὴν Τιτθίδα ἠγάγετο, τὴν Κισσέως τοῦ πρὸς μητρὸς αὐτῷ Πάππου· καθάπερ οὖν καὶ Διομήδης, καὶ Ἀλκίνοος Ἀρήτην, τὴν ἐξ ἀδελφοῦ ἀνεψιὰν: (Ὀδυσσ: Η'. ς. 66.) παραπλησίως Δηίφοβος ἀκοίτην ἔσχεν Ἑλένην, τοῦ Κασιγνήτου προτελευτήσαντος. Ἕλενος δὲ Ἀνδρομάχην, τὴν πρόσθεν ἄλοχον Ἕκτορος.

Ἐν γάμοις τοῖς γε ὀρθῶς ἐκτελεσθησομένοις ἐπαινεῖται πρὸς Ὁμήρου ἡ Ἥβη. Οὕτω γὰρ Αἰόλου οἱ παῖδες λέγονται ἡβώοντες. Καὶ Κισσεὺς δὲ τῷ Ἰφιδάμαντι συνέζευξε τὴν θυγατέρα: (Ἰλ: Λ'. ς. 225.)

„ . . . . Ἐπεὶ ῥ' Ἥβης ἐρικυδέος ἵκετο μέτρον.

Διδάσκει δ' Εὐςάθιος, καίριον τὸν γάμον δηλȣ̃σθαι, „ὅτε δὴ „φίλτατος ἂν εἴη τῇ νύμφῃ ὁ γαμέτης, καὶ ἡδὺς ἐν τοῖς „ςρώμασιν· οὗπερ, κατὰ τὸν Ὅμηρον, χαριεςάτη ἡ ἥβη „καὶ ἡδεῖα· διόπερ ἡ Σαπφὼ ἄχαριν ἀπεκάλει τὴν παῖδα, τὴν μήπω εἰς γάμȣ συζυγίαν ἐν ὥρᾳ τυγχάνȣσαν. Ὁ δέ τοι Δάφνις τȣ̉ναντίον ὑπὸ Θεοκρίτȣ (ἐν Εἰδυλ: Η'.) χαρίεις εἴρηται. Οὕτω καὶ παρὰ Πινδάρῳ (Ὀλυμπ. Α'.) ὁ Πέλοψ, τȣ̃ πρώτȣ χνȣ̃ αὐτῷ ἐπανθȣ̃ντος, περὶ γάμου ἐσκέψατο:

„Πρὸς εὐάνθεμον δ' ὅτε φυὰν,
„Λάχναι νίν μέλαν γένειον ἔρεφον,
„Ἑτοῖμον ἀνεφρόντισεν γάμον.

Ὁμοίως (Πυθ: Θ'.) πολλοὶ μνηςῆρες Λίβυσσαν μεταιτȣ̃ντες τὴν παῖδα:

„. . . . . . . Χρυσοςεφάνοιο . . . Ἥβας
„Καρπὸν ἀνθήσαντ' ἀποδρέψαι ἔθελον.

Καὶ τȣ̃το δὲ παραφυλάττεσθαι δεῖν οἱ Ῥωμαίων διηγόρευον νόμοι, τȣ̃ μὴ πρὸ τῆς Ἥβης γαμικὰς συνίςασθαι συζυγίας. Ἡ δὲ προθεσμία τοῖς μὲν ἄῤῥεσιν ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ὥρισαι ἔτει, ταῖς δὲ θηλείαις ἐν τῷ δωδεκάτῳ: καί περ τόγε πλῆρες τῆς Ἥβης, ὑπὸ Μοδεςίνου (ἐν Βίβλ: Μ'. τῶν Διγέςων περὶ τῶν υἱοθεσιῶν) ἐπὶ ἔτȣς περιγέγραπται τοῦ ὀκτωκαιδεκάτȣ· ὅπερ σὺν καὶ παρ' Ἕλλησι δόξαι, Φιλόςρατος ἐκδιδάσκει: (ἐν Β'. Βιβλ. τῶν εἰς τὸν βίον Ἀπολλωνίȣ.) Οὕτω δέ τοι καὶ παρὰ Θεοκρίτῳ (ἐν Εἰδυλ: ΙΕ'.) ὀκτωκαι„δεκέτης, ἢ ἐννέα ἐπὶ δέχ' ὁ γαμβρὸς ἀναγορέυεται ἐνιαυτοὺς ἄγων.

Συνίςατο δὲ τὰ τῶν γάμων κατὰ βέλησιν τῶν γεννητόρων. Οὕτως Ἀχιλλεὺς παρῃτεῖτο τὴν Ἀγαμέμνονος θυγατέρα, ὅτι ὁ πατὴρ

Πηλεὺς εἰς γυναῖκα οἴκοι αὐτῷ ἐπάξεται ἄλλην (Ἰλ: Ι'. ς. 394.)

„ Πηλεὺς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.

Ἥ τε Βρισηῒς τὸν ἀναιρεθέντα αὐτῆς γαμέτην θρηνολογῦσα:- (Ἰλ: Γ'. ς. 291.) Φησίν:

„ Ἄνδρα μὲν, ᾧ ἔδοσάν με πατὴρ, καὶ πότνια μήτηρ.

Ἡ δὲ Ναυσικάα ἔφη (Ὀδυσ: Ζ'. ς. 287. 288.) ἐπινεμεσῶν ἐκείνῃ:

„ Ἥ τ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων,
„ Ἀνδράσι μίσγηται . . . . . . . . .

Ὁ δ' Ἀντίμαχος τέως Τηλεμάχῳ κελεύει ἐπιτρέψαι τῇ μητρὶ γαμηθῆναι:- (Ὀδυσσ: Β', ς. 114.)

„ Τῷ, ὅτεῳ τε πατὴρ κέλεται, καὶ ἁνδάνει αὐτῇ.

Καὶ ἡ Ἡρὼ δὲ παρὰ τῷ Μυσαίῳ:

„ Ἀμφαδὸν ὐ δυνάμεθα γάμοις ὁσίοισι πέλεσθαι.
„ Οὐ γὰρ ἐμοῖς τοκέεσσιν ἐπεύαδε . . . . .

Τὸ δ' αὐτὸ καὶ παρὰ τῷ Ξενοφῶντι, (ἐν Η'. τῆς Κυροπ:) ὁ „Κῦρος φησι: Τό, τε γένος ἐπαινῶ καὶ τὴν παῖδα, καὶ (τὰ) „δῶρα: βύλομαι δὲ σὺν τῇ τῦ πατρὸς γνώμῃ καὶ τῆς „μητρὸς ταῦτα σοι συναινέσαι. Ὁ δὲ Τερτυλλιανὸς πρὸς τὴν σύζυγον: nec in terris filii, fine confenfu patrum rite & „jure nubant. Οὐδ' ἐπὶ γῆς τὰ τέκνα, τῆς τῶν γονέων „ἄνευ συγκατανεύσεως, ὀρθῶς τε καὶ κατὰ δίκαιον γαμεί„τωσαν. Ἔνθεν τοι καὶ ὁ Αὐτοκρ: Ἰυςινιανὸς ἐν τοῖς περὶ τῶν γάμων inftitutis (Διαταγαῖς) διεθέσπισε: Rationem civilem et naturalem hoc fuadere in tantum, ut parentis juffus „praecedere debeat. Τόν τε πολιτικὸν λόγον, καὶ τὸν κατὰ

„φύσιν, τόδε πείθειν, ἐφ' ὅσον τὸ ὑπὸ τȣ̃ τεκόντος κελε-
„υόμενον δεῖ προηγεῖσθαι.

Ἀλλ' ὥσπερ ὑπὸ τȣ̃ μνηστεύοντος δῶρα ἐδίδοτο τῇ μνηστευομένῃ, οὕτως ἀμοιβαδὸν καὶ αὕτη δωτίνας ἀπεφέρετο παρὰ τῶν γονέων **προῖκα**. Τοιᾶδε λόγῳ ἡ Ἀνδρομάχη πολύδωρος εἴρηται, (Ἰλιάδ: Ζ'. ϛ. 394.) ὅτι πολλὴν τῷ Ἕκτορι εἰσηνέγκατο προῖκα. Ἀλλὰ καὶ Ἑκάβη εἴρηκε, πολλὰ τὸν γεννήτορα δεδωκέναι: (Ἰλ: Χ'. ϛ. 51.)

„ Πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομάκλυτος Ἄλτης.

Οὕτω καὶ Ἀλκίνοος ἐπιγαμβρεῦσαι οἱ αὐτῷ ἐφιμείρετο τὸν Ὀδυσσέα, καὶ οἶκον τȣ́τῳ ὑφίστατο δώσειν καὶ κτήσεις. (Ὀδ: Η'. ϛ. 314.)

„ . . . . . . Οἶκον δὲ ἐγὼ καὶ κτήματα δοίην.

Ὑπισχνεῖτο δὲ καὶ Ἀγαμέμνων Ἀχιλλεῖ τὸ θυγάτριον, δαψιλέστατα προικιεῖν (Ἰλ: Ι'. ϛ. 147.)

„ . . . . . . Ἐγὼ δ' ἐπιμείλια δώσω
„ Πολλὰ μάλ', ὅσσ' οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί·
„ Ἑπτὰ δέ οἱ δώσω εὖ ναιόμενα πτολίεθρα. κτ. κτ.

Ὁ μὲν οὖν Σχολιαστὴς **προῖκα** νοεῖ καὶ τάγε **μείλια** ἐκτίθησιν τὰ οἷς μειλίσσονται τοὺς ἄνδρας: ἀλλ' Ἡσύχιος τὸ **ἐπίπροικον** ἑρμηνεύει: οἱονεὶ προῖκα ἐπείσακτον, καὶ ἐν μοίρᾳ ἐπιθήκης τῆς προικὸς ἐπαύξησιν, παρὰ τὴν προῖκα τὴν ἐκτελεστικήν, (perfectitiam) ὡς Οὐλπιανὸς φράζει καὶ δοκεῖ τȣ̃το ἐναπαιτεῖν τὸ (ἐπὶ) τὸ ἐν συν-
„θέσει δύναμιν ἔχον προσεπαυξήσεως. Διὸ αἱ πόλεις αὗται εἶεν
„τῆς προικὸς ἐπίβλημα καὶ προσθήκη. Ἕλληνες καλȣ̃σι **παράφερνα**: Ἡ δὲ φωνὴ καὶ ἐπὶ τὸ Ῥωμαϊκὸν δικαίωμα μετηνέχθη. (ἐν Βιβλ: Θ'. §. 11. τῶν Διγέστ: περὶ τȣ̃ ἐν προικὶ δικαίȣ.) οὗ τηλαυγὲς παράδειγμα κεῖται παρὰ Λιβίῳ. (ἐν Βιβλ. Ιϛ'.) ἐν οἷς Σκι-

πίων Καρχηδόνα ἑλὼν, τὴν εὐγενείᾳ διαφέρουσαν παρθένον, τὴν Ἀλλουκίῳ τῷ ἄρχοντι προμνηστευθεῖσαν, οὕτως ἀπέδωκεν, ὡς καὶ τὰ λύτρα τὰ ὑπὸ τῶν τοκέων αὐτῆς ληφθέντα ἐπὶ τῇ προικὶ προσθέσθαι. Super dotem, (inquit) quam accepturus a socero es, haec tibi a me dotalia dona accedunt; aurumque tollere; ac sibi habere jussit. (Ἐπὶ τῇ προικὶ (ἔφη) ἣν „παρὰ τοῦ κηδεστοῦ λήψῃ, ταῦτα σοι πρὸς ἐμοῦ δῶρα „προικιαῖα προστέσθαι. Καί γε τὸν χρυσὸν ἆραι, καὶ ἑαυτῷ „ἔχειν ἐκέλευσε.)

Τὴν δὲ δὴ τοιάνδε προῖκα, τοῦ γάμου λυθέντος, τὰς γαμετὰς ἦν ἔθος ἀνακομίζεσθαι, ὡς δῆλον ἐξ ἐκείνου, ὃ πρός γε τοῖς ἄλλοις ἐδεδίει Τηλέμαχος· ὅτι τῆς μητρὸς ἀπολυθείσης, ἀναγκασθείη καὶ τὰ ἐπιδοθέντα αὐτῇ εἰς προῖκα Ἰκαρίῳ τῷ ταύτης γεννήτορι ἀποδοῦναι. (Ὀδ: Β΄. ς. 132.)

. . . . . . . Κακὸν δέ με πολλ᾽ ἀποτίνειν·

„Ἰκαρίῳ, αἴκ᾽ αὐτὸς ἑκὼν ἄπο μητέρα πέμψω.

Ὃ, καὶ τοῖς τῶν αὐτοκρατούντων νομοθετήμασι τηρεῖσθαι τεθέσπισται παρὰ Ῥωμαίοις· (ἐν τῷ Ε΄. Βιβλ: τοῦ Κώδικ: ἐν τίτλῳ: „Τοῦ γάμου ἤδη λυθέντος, ὅπως ἡ προὶξ ἀπαιτεῖται.

## ΚΕΦΑΛ: ΙΔ΄.

## Περὶ τῆς Τελετῆς τῶν Γάμων.

Τελετῇ τινὶ ἑορτάζων, τὴν Νύμφην ἦγεν ὁ Νυμφίος εἰς τὸν ἴδιον οἶκον. Οὕτως Αἴγισθος τὴν Κλυταιμνήστραν, (Ὀδ: Γ΄. ς. 272.)

„. . . Ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.

Καί τόγε τῇ Ναυσικάᾳ ῥηθὲν, (Ὀδυσ: Ζ΄. ς: 149.) ταὐτὸ δείκνυσιν.

„Ὅς κέ σ᾽ ἐέδνοισι βρίσας οἶκον δ᾽ ἀγάγηται.

Ἐνθεν τοι καὶ Ἡσίοδος ἐποίει ἐπὶ τῆς Ἡρακλέες ἀσπίδος, (ς. 273.)

„. . . . Τοὶ μὲν γὰρ Εὐσσώτρυ ἐπ᾽ ἀπήνης
„Ἤγοντ᾽ ἀνδρὶ γυναῖκα . . . . . . .

Ἐπ᾽ ἀπήνης καὶ γὰρ τὰ πλεῖστα εἰώθεσαν ἄγεσθαι, ὡς παρετήρησε καὶ Πολυδεύκης, (ἐν τῷ Γ᾽. Βιβλ: Κεφ: Γ᾽.)

Οἶκος δὲ τὰ πολλὰ νεόδμητος ἐπὶ τούτῳ ὑπὸ τοῦ Νυμφίου κατεσκευάζετο: (Ὀδυσ: Ο᾽. ς. 241.)

„Ἐνθάδ᾽ ἔγημε γυναῖκα, καὶ ὑψερεφὲς θέτο δῶμα.

Οὕτω καὶ (Ἰλιάδ: Β᾽. ς. 701.) περὶ τοῦ Πρωτεσιλάου εἴρηται, ὅτι ἐν τῷ πολέμῳ πεσόντος, ὑπολέλειπται ὁ δόμος ἡμιτελὴς, ὡς γάμῳ συζυγέντος ἀρτίῳ, ἐπεὶ κατὰ τὸν Σχολιαστήν: Ἔθος ἦν τοῖς „γήμασι θάλαμον οἰκοδομεῖσθαι.

Καὶ παρὰ τῷ Θεοκρίτῳ δὲ διεπυνθάνετο ἡ νεόνυμφος: (ἐν Εἰδυλ: Λ᾽.)

Τεύχεις μοι θάλαμον; τεύχεις καὶ δῶμα καὶ αὐλάς;

Προῆγον δ᾽ ἐξ ἔθους λαμπάδες καὶ δᾷδες ἀγομένης τῆς Νύμφης. (Ἰλ: Σ᾽. ς. 492.)

„Νύμφας δ᾽ ἐκθαλάμων δαΐδων ὑπολαμπομενάων
„Ἠγίνεον ἀνὰ ἄστυ . . . . . . .

Οὕτω καὶ Ἡσίοδος (ἐν τῇ Ἡρακλ: ἀσπίδ. ς. 275.)

„Τῆλε δ᾽ ἀπαιθομένων δαΐδων σέλας εἰλύφαζε
„Χερσὶν ἐνὶ δμώων . . . . . . . . .

Καὶ παρ᾽ Εὐριπίδῃ δ᾽ ὁμοίως ἡ μήτηρ ἀπολοφύρεται, ὅτι τῷ υἱῷ λαμπάδα γαμήλιον οὐκ ἀνῆψεν:

„Ἐγὼ δὲ οὔτι σοι πυρὸς ἀνῆψα φῶς
„Νόμιμον ἐν γάμοις, ὡς πρέπει μητρὶ μακαρίᾳ.

Ὡσαύτως καὶ Ἀγαύη παρὰ τῷ Νόννῳ (Διονυσ. Μϛʹ.)

„ Οὔπω τοῖς θαλάμοισιν ἐκῆφισα νυμφοκόμον πῦρ

Καὶ ᾆσμα δὲ προσῄδετο ὁ ὑμέναιος, καθὰ ἐν οἷς εἴρηται ὑπὸ Ὁμήρου τε καὶ Ἡσιόδου προστίθεται:

„ Πολὺς δ' Ὑμέναιος ὀρώρει. (ἔφασκε δὲ καὶ Ἀγαύη:)

„ Οὐ ζυγίων ἤκουσα τεῶν ὑμεναίων ἐρώτων.

Καὶ Πολυδεύκης δὲ ὀνομάζει: τὸ δὲ ᾆσμα τὸ γαμήλιον „ Ὑμὴν, καὶ Ὑμέναιος. Τὸ δ' ὄνομα σὺν τῷ πράγματι κἀπὶ Ῥωμαίους παρῆλθεν, οἷά περ καὶ ἄλλα πολλὰ τῶν γαμηλίων ἐθῶν· ὡς Τερέντιος ἔχει ἐν Ἀδελφοῖς λέγων:

Hymenaeum, turbas, lampadas, tibicines.

„ (Ὑμέναιον, θορύβους, λαμπάδας, αὐλῳδούς.)

Προσῇδον δὲ μάλιστα αἱ τῇ Νύμφῃ ἑταῖραι νεάνιδες, ὡς Πίνδαρος σημειοῖ: (Πύθ. Ὠδ: Γʹ.)

„ Οὐκ ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν;
„ Οὐδὲ παμφώνων ἰαχὰν
„ Ὑμεναίων' ἄλικες
„ Οἷα παρθένοι φιλέοισιν ἑταῖραι
„ Ἑσπερίαις ὑποκου-
„ ρίζεσθ' ἀοιδαῖς.

Οὗ παράδειγμα προδηλότατον πρόκειται ἐν τῷ ἐπιθαλαμίῳ Ἑλένης παρὰ τῷ Θεοκρίτῳ.

Καὶ ὄρχησις δὲ ὑπὸ συμφωνίᾳ μουσικῶν ὀργάνων συγκροτεῖσθαι εἰώθει, (Ἰλ: Σʹ. ϛ. 494.)

„ Κῦροι δ' ὀρχηστῆρες ἐδίνεον ἐν δ' ἄρα τοῖσιν,
„ Αὐλοὶ Φόρμιγγές τε βοὴν ἔχον . . . . .

Οὕτως ἐν τοῖς Μεγαπένθους γάμοις ( Ὀδυσ : Δ'. ς. 18.)

„ . . . . Δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
„ Μολπῆς ἐξάρχοντες, ἐδίνευον κατὰ μέσσον.

Καὶ Ὀδυσσεὺς δὲ ὁπότε οἴκοι παρ' ἑαυτῷ γάμου τελετὴν ἠθέλησεν ὑποκρίνασθαι, ἀοιδὸν ἐκέλευσε μεταπεμφθῆναι τὸν τοῦ Ποθουμένου ἐπιμελησόμενον: ( Ὀδυσ: Ψ'. ς. 145.)

„ Μολπῆς τε γλυκερῆς, καὶ ἀμύμονος ὀρχηθμοῖο.

Καὶ παρ' Ἡσιόδῳ δ' ὡσαύτως ἐν τῇ Ἡρακλ: Ἀσπίδι, (ς. 278 καὶ ς. 280.) περιγράφοντι τὰ τῶν γάμων:

„ Τοὶ μὲν ὑπαὶ λιγυρῶν συρίγγων ἵεσαν ἀοιδὴν,
„ Αἱ δ' ὑπὸ Φορμίγγων ἄναγον χορὸν ἱμερόεντα.

Ἐγίνετο δὲ τοιαῦτα, καὶ πανδαισίας μεγαλοπρεποῦς παρατιθεμένης: ἣν καὶ γάμον ὀνομάζειν Ὅμηρος χαίρει, ὡς ἢ οἱ Λατῖνοι Nup-
„tias. (Πολυδεύκ.) Ὅμηρος μέντοι, οὐ τὸ ἔργον μόνον, ἀλλὰ
„καὶ τὴν ἑστίασιν γάμον καλεῖ. ( Ὀδυσ. Α'. ς. 226.)

„ Εἰλαπίν' ἠὲ γάμος, ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστί.

Οὕτω Τηλέμαχος ἐς Σπάρτην κατελθὼν εὗρε Μενέλαον, (Ὀδ: Δ'. ς. 3. 4.)

„ . . . . Δαινῦντα γάμον πολλοῖσιν ἔτῃσιν
„ Υἱέος, ἠδὲ θυγατρὸς ἀμύμονος ᾧ ἐνὶ οἴκῳ.

Ἥτε Βρισηῒς θρηνοῦσα Πάτροκλον νέκυν, τὸν μετὰ τοῦ Ἀχιλλέως ὑμέναιον αὐτῇ, φησὶ, καθυποσχέσθαι: ( Ἰλ: Τ'. ς. 299.)

„ . . . . Δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσιν.

Ἐπὶ οὖν γάμων τελεσθησομένων ἔδει καὶ ἐσθῆτα ἀμείβειν, καὶ διὰ λετῆρος πρoκαθαρθῆναι· Οὕτω γὰρ καὶ Ὀδυσσεὺς κεκελεύκει: (Ὀδυσ: Ψ'. ς. 131.)

„ Πρῶτα μὲν ἄρ λούσασθε, καὶ ἀμφιέσασθε χιτῶνας·
„ Δμωὰς τ' ἐν μεγάροισιν ἀνώγετε εἱμαθ' ἑλέσθαι.

Ἔνθεν τοι καὶ Ἀθήνη καθυπέβαλλε τῇ Ναυσικάᾳ, (Ὀδ: Ζ'. ς. 27.)

„ Σοὶ δὲ γάμος σχεδόν ἐστίν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
„ Ἕννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν, οἵκε σ' ἄγωνται.

Τὸ δ' ἔθος τόδε τοῖς ἀνατολικωτέροις ἔθνεσιν εἶναι πάτριον ἡ Εὐαγγελικὴ ἱστορία διδάσκει σαφῶς, καθ' ἣν ἀπελαύνεσθαι τῆς ἑστιάσεως, ὁ μὴ χιτῶνα ἠμφιεσμένος τοῦ Νυμφῶνος ἄξιον. Τοιγαροῦν καὶ σύνηθες ἦν ὑπὸ τοῦ Νυμφίου τῇ Νύμφῃ τὰ Νυμφικὰ παρέχεσθαι ἄμφια, ὡς ἐκ τῆς ἐσθῆτος δῆλον, ἧς Ἑλένη Τηλεμάχῳ δίδωσιν εἰς τοῦτο τῆς χρήσεως: (Ὀδυσ: Ο'. ς' 126. κτ.)

„ Μνῆμ' Ἑλένης χειρῶν, πολυηράτου, ἐς γάμου ὥρην
„ Σῇ ἀλόχῳ φορέειν . . . . . . . . .

Τελευταῖον τοῦ τρυφεροῦ λέκτρου ἐν τῇ παστάδι ἑτοίμου ὄντος ὁ Νυμφίος ἔλυε τὴν ζώνην τῆς Νύμφης· ταύτῃ τοι Ποσειδῶν ἐν ᾧ τὴν Τυρῶ δάμνυσιν: (Ὀδυσ : Λ'. ς. 244.)

„ Λῦσε δὲ παρθενικὴν ζώνην, κατὰ δ' ὕπνον ἔχευε.

Καὶ τῷ ὕμνῳ τῷ εἰς τὴν Ἀφροδ. (ς. 165.) Ἀγχίσης:

„ Λῦσε δέ οἱ ζώνην, ἠδὲ εἵματα σιγαλόεντα.

Καὶ παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ : ΚΖ'.) ἡ παῖς πιεζουμένη ὑπὸ τοῦ Δάφνιδος ἀνέκραγε:

„ Φεῦ φεῦ ! καὶ τὴν μίτραν ἀπέσχισας· ἐς τί δ᾽ ἔλυσας;

Ο῾ δὲ Μόσχος ἐν Εὐρώπῃ τῇ ἀπαχθείσῃ (Εἰδυλ. Β᾽).

„ Οὐδ᾽ ἄρα παρθενικὴν μίτρην ἄχραντον ἐρύθαι.

Οὕτω δέ τοι κἀκείνη παρ᾽ Ο᾽ϋϊδίῳ (ἐν Ε᾽πις:)

Cui mea virginitas avibus libata finistris,
Castaque fallaci zona revincta manu.

„ (Τῷ μευ παρθενίη οἰωνοῖς σπεῖσο κακοῖσι,
„ Μίτρη δ᾽ ἁγνήπερ, χερσὶ λέλυτο δόλῳ.)

## ΚΕΦΑ´Λ. ΙΕ.

## Περὶ Γάμων Δευτέρων.

Ε᾽ς τοσοῦτον ἁγία τε ἦν, καὶ τηρεῖσθαι ὁσία τοῖς πάλαι ἡ τῆς συζυγείας εὐνῆς καθαρότης, ὥστε τὰς γυναῖκας οὐκ εὐσεβὲς εἶναι ὑφορᾶσθαι ἀνδρὶ ἑτέρῳ ἐν δευτέροις γάμοις προσομιλεῖν. Δεῖγμα δ᾽ ἐμφανέστατον τὸ ἐπὶ τῆς Πηνελόπης, ἥτις ὑπὸ πολλῶν ἐπειγομένη μνηστήρων, γενναίως ἀντέστη, τοῦ τε ὁμοζύγου αἰδουμένη τὸ λέκτρον καὶ τὸ τοῦ λαοῦ δύσφημον, ὡς αὐτὴ φησιν: (Ο᾽δυσ: Π΄. ϛ. 151.)

„ Εὐνήν τ᾽ αἰδομένη πόσιος, δήμοιό τε φῆμιν.

Τοῦτο δὲ κατ᾽ εὐχὴν ὑπῆρχε τοῖς γαμέταις, οἱ καὶ μετὰ τελευτὴν, ὡς ἐπείθοντο οἱ ἀρχαῖοι, ἀκεραίους ἐφίεντο τὰς ἀλόχους ἑαυτοῖς ἔχειν: καθάπερ Ι᾽ουστινιανὸς ἀπεφήνατο: Animam mariti defuncti fecundis nuptiis contristari. „ (Τὴν τοῦ τετελευτη,

„κότος ἀνδρὸς ψυχὴν ἐπὶ τοῖς δευτέροις γάμοις τῆς ἀλό-„χȣ ἐπανιᾶσθαι. §. Qua vero authen. de Nupt.) Κἀντεῦθεν τὰ παρὰ Οὐϊργιλίῳ ἐκεῖνα (Αἰνειάδ: Δ'. ϛ. 28.)

Ille meos primos, qui mefibi junxit, amores
Abſtulit; ille habeat ſecum, ſervetque ſepulchro.

„(Κεῖνος ἐμεῖο ἔρωτας ἕλεν, τῷ πρῶτα συνήφθην·
„Κεῖνος καί γ' ἐχέτω, τηρῶν αὐτὸς ἐνὶ τύμβῳ.)

Μάλιστα δὲ τόδ' ἐκράτει ἀπογόνων ὑπολειφθέντων, οἷς ἐπῆν ὑφορᾶσθαι μὴ πάνυ χαρίζεσθαι τὰς καὶ δευτέροις γάμοις προσομιλούσας. (Ὀδ: Ο'. ϛ. 20.)

„Οἶσθα γὰρ, οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
„Κείνȣ βȣ́λεται οἶκον ὀφέλλειν, ὅςκεν ὀπυίοι·
„Παίδων δὲ προτέρων, καὶ κȣριδίοιο φίλοιο
„Οὐκέτι μέμνηται τεθνηότος, ȣ̓δὲ μεταλλᾷ.

Ἀκρασίας δ' ἀεὶ καὶ λαγνείας ὑπόνοιαν παρεῖχον αἱ ἐπὶ γάμȣς δευτέρȣς ὁρμώμεναι: ὅθεν Οὐαλέριος Μάξιμος ἔφη: Multa matrimonia legitimae intemperantiae ſignum eſſe.

(Τȣ̀ς πολλȣ̀ς γάμȣς ἀκρασίας ἐννόμȣ εἶναι σημεῖον. Ὁ δὲ Κυντιλιανὸς (ἐν Ῥητορεύσει Ρϛ'.) Nubendi quandam eſſe impudicitiam; τὸ γήμασθαι ἀσέλγειαν, ἢ ἀναίδειάν τινα εἶναι.

Ἀλλὰ γὰρ τὸ τȣ̀ς δευτέρȣς τῶν γάμων ὑπὸ τȣ̃ Νόμȣ μηδαμῶς κεκωλῦσθαι, δῆλον ἐξ ἐκείνου, ὅτι οἱ τῆς Πηνελόπης πρὸς γένους ὄντες, ἢ κατὰ φιλίαν οἰκειȣ́μενοι, τὸν Ὀδυσσέα οἰόμενοι ἀπολέσθαι, ἀνδρὶ καὶ αὖθις ἐποτρύνȣσιν αὐτὴν συζευχθῆναι: (Ὀδυσ: Τ'. ϛ. 158.) Ἀλλ' ἐν τȣ́τῳ, Ἄχις φέρεται ἐν Ἕλλησι πρώτη ἡγήσασθαι, ἡ Περσέως υἱωνὴ, ἥτις Περιήτȣ υἱȣ̃ τȣ̃ Αἰόλȣ ἄλοχος κȣριδίη γενομένη, τελευτή-

σαντος ἀνδρὶ ἑτέρῳ εἰς γάμον συνῆπται τῷ Οἰβάλῳ, ὁπότε πρόσθεν ἅγιόν τε καὶ σύνηθες ταῖς θηλείαις ὑπῆρχε, τὸ θανόντος τȣ̃ πρώτȣ, εἰς κανωνίαν γάμȣ συνελθεῖν ἀνδρὶ ἑτέρῳ ἀπέχεσθαι: ὡς ἰδεῖν ἐςὶ παρὰ „Παυσανίᾳ (ἐν τοῖς Κορινθιακ:) ἱςορȣ̃ντι: Πρότερον δὲ κα. „θεςήκει ταῖς γυναιξὶν ἐπὶ ἀνδρὶ ἀποθανόντι χηρέυειν.

Α'λλ' ἐκεῖνο μοναδικόν πως ἀπαντᾷ, ὃ φησὶν Ὅμηρος, τὸν Ὀδυσσέα, πρὸς τὴν κατὰ Τροίας ἀπερχόμενον ἐκςρατείαν, τῇ ἀλόχῳ Πηνελόπῃ παρεγγυήσασθαι, ὡς ἀβέβαιον αὐτῷ ὄν, εἴτ' ἐπανακάμψει, εἴτε καὶ ἁλȣ̃ς ἐν Ἰλίῳ μενεῖ, τον μὲν οἶκον περισώζειν ἄχρι τῆς τοῦ υἱȣ̃ Ἥβης· ἡβήσαντος δὲ, αὐτὴν γαμηθῆναι ὅτῳ ἂν βȣ́λοιτο· (Ὀδυσ: Σ'. ς. 269.)

„Γήμασθ' ᾧ ἐθέλησθα, τεὸν κατὰ δῶμα λιπȣ̃σα.

Ὁ μὲν ȣ̃ν Οὐλπιανὸς ἀποκρίνεται: ἄχρις ȣ̃ βέβαιον ἐςὶ τὸν ἄνδρα βιȣ̃ν ἐπὶ τῆς ἁλώσεως, μηδαμῶς ἐξεῖναι ταῖς γυναιξὶν εἰς συζυγίαν ἑτέρȣ γάμȣ μεταβαίνειν, εἰ μὴ αὐταὶ ἐθέλοιεν τὴν αἰτίαν παραχεῖν τȣ̃ ἀποςασίȣ. Εἰ δ' ȣ̃ν τὸ πράγμα κεῖτ' ἐν ἀδήλῳ: Πότερον ὁ ἀνὴρ ζῶν ὑπὸ τῶν πολεμίων κατίχεται, ἢ ἔφθη θανὼν, Τότε δὴ, πενταετίας ἀπό γε τῆς ἁλώσεως παρελθȣ́σης, ἐξὸν εἶναι τῇ γυναικὶ ἐπὶ γάμον ἕτερον μεταβῆναι. (ἐν τῷ ς'. Βίβλ. τῶν Διγέςων, περὶ διαζυγίȣ καὶ ἀποςασίȣ) Ὁ δὲ Ἰȣςινιανὸς ἐν Νεαρᾷ ΡΙΗ'. Κεφαλ: ΙΑ'.) ἀπεφήνατο: Ὁποσονȣ̃ν ἂν εἴη μακροχρόνιος ἡ τȣ̃ ἀνδρὸς ἀπȣσία, μηδενὶ δύνασθαι τὴν ὁμόζυγα συζευχθῆναι ἑτέρῳ, εἰ μὴ βεβαίως μάθοι τετελευτηκέναι τὸν πρῶτον. Εἰς τόδε δ' ἀνήκει τὸ τȣ̃ Πετρωνίȣ ἐκεῖνο: Si abſente per aliquot annos marito potiri non liceat, „amare certe licebat? (Εἰ ἀπόντος δὶ ἐνιαυτῶν τινῶν „τȣ̃ γαμέτȣ, ȣ̓κ ἦν τῇ συζύγῳ ἐπαναλαβεῖν, ἐξῆν ἄρα „ἐρᾶν;) Διὰ δὴ τȣ̃το καὶ Πηνελόπη, καί τοι κελευσθεῖσα, ȣ̓χ εἵλετο ἀνδρὶ ἑτέρῳ ἑαυτὴν παραδȣ̃ναι· ȣ̓δ' ὑπὸ τῶν μνηςήρων μηχαναῖς παντοίαις ἐναγομένη, τὴν αὐτῇ κατ' εὐχὴν τοῦ προτέρȣ συζύγȣ ἐπάνοδον, ἠξίωσεν ἐν δευτέρῳ θέσθαι: διὸ καὶ ὑπὸ πάντων διὶ ἐπαίνου

ἄγεται τῶν συγγραφέων. Penelope poterat bis denos palva per annos — vivere, tam multis foemina digna frocis. ( Προπέρτιος Βιβλ : Α'. Ἐλεγεία ς'.)

„ ( Δὶς δέκα Πηνελόπη ἐν ἔτεσσιν δῶμα σαῶσαι
„ Πολλῶν μνηςήρων, ἀξία ἐσ' ἄλοχος. )

Ἀλλὰ γὰρ ἐ παραλειπτέον, ὃ Παυσανίας ( ἐν τοῖς Ἀρκαδικ:) „κοινῇ περιθρυλλέμενον παρὰ Μαντινεῦσι διέξεισι: τὴν Πηνελόπην δηλ: „ὑπὸ Ὀδυσσέως καταγνωσθεῖσαν, ὡς ἐπισπάςες εἰσάγε„σαν ἐς τὸν οἶκον, καὶ ἀποπεμφθεῖσαν ὑπ' αὐτῦ ὕςερον „ἐξωσθῆναι.

## ΚΕΦΑΛ. Ις'

## Περὶ Μοιχέας.

Δεινὸν ἄγαν, καὶ κολάσεως ἄξιον ἐνομίσθησαν ποιεῖν οἱ ἀλλοτρίαν εὐνὴν παραβιαζόμενοι. οὗπερ εἰς δεῖγμα προβάλλεται Αἴγισθος ὁ Κλυταιμνήςραν τὴν Ἀγαμέμνονος ἀκοίτην ἀπόντος, γάμῳ ἑαυτῷ συζεύξας ἀθέσμῳ, καὶ ἐπανιόντα ἔπειτα ἀνελὼν· ἀλλὰ καὶ ἕτος ἔκδικον εὕρατο τὴν δεξιὰν τῦ ἐκείνε υἱοῦ Ὀρέςου, ὃν, καὶ ὡς εὖ τὸ πρᾶγμα ἀπεργασάμενον, Ζεὺς ἐν βελῇ Θεῶν, καὶ Ἀθηνᾶ ( Ὀδυσ: Α'. ς. 30. καὶ 40. ) δι' ἐπαίνε ἔχον. Παραπλησίως καὶ Θυέςης ὁ τῦ αὐτῦ πατὴρ Εὐρώπην τὴν Ἀτρέως τῦ Κασιγνήτε γαμετὴν διαφθείρας, ἕτως ἐκεῖνον σφοδρῶς παρώξυνεν, ὥςε εἰς ἄμυναν καὶ τὰς ἰδίες αὐτῦ παῖδας ἐν ἑςιάσει εἰς ἔδεσμα αὐτῷ παραθέσθαι. Ἀλλὰ καὶ Φοῖνιξ, ὅτι τῇ μητρὸς ἐναγέσης τῇ παλλακίδι τῦ πατρὸς προσεμίγη, τῶν Ἐριννύων, ἃς ἐπαρώμενος καθ' ἑαυτῦ ἐπεκέκλετο, ἐκδίκων ἐπειράσατο. ( Ἰλ: Ι'. ς:

454.) Ἄλλο δεῖγμα λαμπρότατον ἁπάντων τὸ Πάριδος, ὃς Ἑλένην τὴν Μενελάου ἄκοιτην ἀπαγαγὼν ἀπὸ Σπάρτης, σύμπαν καθ' ἑαυτοῦ ἐπήγειρε τὸ Ἑλληνικὸν ἐπὶ Τροίας, ὑφ' ὧν, αὐτός τε δὴ καὶ οἱ αὐτοῦ τὴν πανωλεθρίαν ὑπέστησαν. Τῷ ὄντι δὲ καὶ Ἕκτωρ αὐτὸν ὁ ὁμαίμων, λιθολευστηθῆναι ὄντα ἀπεφήνατο ἄξιον ἐπὶ τῷ δεινῷ ἀνοσιουργήματι: (Ἰλ: Γ'. ς. 57.)

„Λάϊνον ἕσσο χιτῶνα, κακῶν ἕνεχ' ὅσσα ἔοργας.

Αὕτη δ' ἦν ἡ ἐπὶ μοιχείᾳ ποινὴ παρὰ τοῖς πρὸς ἥλιον ἀνίσχοντα οἰκοῦσιν ἔθνεσιν ἀρχαιοτάτη, ὡς δῆλον ἐκ τοῦ Θεοσδότου Νόμου: (Δευτερον: Κεφ: ΚΒ'. ἐδαφ: 20. καὶ Ἰωαν: Κεφ: Η'. ς.) καὶ παρ' οἱωδήποτε δὲ ἔθνει δίκην θανάτου σύνηθες ἦν ἐπιφέρεσθαι τοῖς μοιχεύουσιν. Ὃν δὴ καὶ ὁ γαμέτης ἐπ' αὐτοφώρῳ ἑλὼν, ἐπιβαλεῖν εἶχε τῷ ἀδικήσαντι· ὡς ἐκ τοῦ Δημοσθένους κατὰ Νεαίρας, καὶ ἐκ τῶν Διγέστων, πρὸς τὸν Ἰούλιον Νόμον τὸν περὶ Μοιχ:))

Ἄλλως τε δὲ καὶ χρήμασιν ἐνίοτε παρ' Ἕλλησιν ἡ τοῦ μεμοιχευκότος ποινὴ ἐξηγόραστο, ὅθεν τὰ καθ' Ὅμηρον προσειρημένα Μοιχάγρια, (Ὀδυσ: Θ'. ς. 332.) ἅπερ ἦν, κατὰ τὴν τοῦ Σχολιαστοῦ ἑρμηνείαν, τὰ ἀποτινόμενα ὑπὸ τοῦ ἐν μοιχείᾳ ἐπαγρευθέντος. Λόγος δ' ἐκεῖ τῷ Ποιητῇ περὶ τῆς λαθραίας συνευνήσεως Ἄρεώς τε καὶ Ἀφροδίτης. Ἐκεῖνον γὰρ φωραθέντα μετὰ τῆς γαμετῆς αὐτοῦ, ἐν δεσμοῖς ὁ Ἥφαιστος καταχεῖν ἐθέλει, ἐς ὃ τὸ χρέος αὐτῷ ἀποδώσει, ὑπὲρ οὗ Ποσειδῶν, ἐγγυητὴν ἑαυτὸν προβαλόμενος, ἀποτίνυσιν. Ἀπαιτεῖ δὲ ἅπαντα αὐτῷ ἀποδοθῆναι τὰ ἕδνα, ἃ ὑπὲρ τῆς παιδὸς τῷ πατρὶ ἐγγυάλιξε. Καὶ παρὰ Ῥωμαίοις δὲ, τούς τε γαμέτας εἰωθέναι ἀποκερδαίνειν τὰς προίκας τῶν μοιχευθεισῶν ἀλόχων· καὶ τοὐναντίον τὰς γαμετὰς τὰ πρὸ τῶν γάμων ἕδνα τῶν μεμοιχευκότων ὁμολέκτρων, πρόδηλον ἐκ τοῦ θεσπίσματος Θεοδοσίου τε καὶ Οὐαλεντιανοῦ (ἐν Βιβλ: Η'. τοῦ Κώδικ: τοῦ περὶ τῶν ἀποστασίων τῶν ἅμα γενομένων.) Μᾶλλον δὲ,

ἐδ' ἐφεῖτο τῷ γαμέτῃ κατέχειν τὴν ἐπ' αὐτοφώρῳ ἁλῶσαν μοιχευομένην· (Βιβλ. Β'. Κώδικ: πρὸς τὸν Ἰελ: Νόμ: περὶ τῶν Μοιχ:) ᾧ δὴ νόμῳ σύμφωνος καὶ ὁ Ἀττικὸς, ὁ παρὰ τῷ Δημοσθένει ἐν τῷ περὶ „Νεαίρας.) Ἐπειδὰν δὲ ἕλῃ τὸν μοιχὸν, μὴ ἐξέςω τῷ ἑλόντι „συνοικεῖν τῇ γυναικί. ἐὰν δὲ συνοικῇ„ ἄτιμος ἔςω.

# ΚΕΦΑΛ. ΙΖ'.

## Περὶ Παλλακῶν.

Παρὰ τὰς γαμετὰς τὰς νομίμους, ὑπῆρχον τοῖς πάλαι Ἕλλησι καὶ ἄλλαι γυναῖκες συνευναζόμεναι. Τοιάδε τῷ Ἀχιλλεῖ ἦν ἡ Βρισηΐς, ἣν ἑαυτῷ διατηρήσειν ἀποτείνεται. (Ἰλ Α'. ς. 31.)

„Ἱςὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν.

Ἐξ ἧ δὴ καὶ ἄλοχος αὐτὴ προσείρηται. (ἐν Ῥαψωδ: Ι'. ς. 399.) Παρὰ δ' αὐτῷ τῷ Ἀχιλλεῖ, τῆς Βρισηΐδος ἀπέσης παρακατέλεκτο ὁμοίως, καὶ ἡ Λεσβιὰς καλλιπάρηος Διομήδη (Αὐτ: ς. 661.) καθάπερεν καὶ παρὰ τῷ Πατρόκλῳ, ἡ εὔζωνος Ἶφις. (Αὐτ: ς. 663.) Ἀλλὰ καὶ τῷ Νέςορι, καὶ τῷ Φοίνικι ἴδιαι γυναῖκες ὑπῆρχον αἱ συγκοινωνᾶσαι αὐτοῖς τε λέχους. Αἱ δὲ ἦσαν, εἴτε ἐκ τῶν ἐν τῷ πολέμῳ αἰχμαλωτίδων, ἢ ἐωνημέναι τιμῆς, οἷαι αἱ Λεσβίδες ἐκεῖναι, αἱ ἐν ταῖς Ἀγαμέμνονος σκηναῖς εἶναι λεγόμεναι: (Ἰλ. Ι'. ς. 129. καὶ ς. 271.) Ὁμοίως δὲ ἡ Θεραπαινὶς, ἐξ ἧς Μενέλαος ἔσχε τὸν Μεγαπένθην, ἐκέτι Ἑλένης τίκτειν δεξιᾶς ἔσης (Ὀδυσ: Δ'. ς. 11.) Οὕτω δὲ καὶ ἡ ἐξ ἧς ἐπλάττετο Ὀδυσσεὺς γεγεννῆσθαι. (Ὀδυσ: Ξ'. ς. 202.)

„ . . . . . Ἐμὲ δ᾽ ὠνητὴ τέκε μήτηρ
„ Παλλακὶς . . . . . . .

Τȣτὶ δὲ τȣ́των τὸ ἔσχατον γένος, Παλλακίδες ἀπεκαλȣ͂ντο, (ἐξ Ἑβραίων ληφθέντος τȣ͂ ὀνόματος.) ἅς περ ἐπὶ ταῖς ἐννόμοις ἐπήγοντο γυναιξί. Καίτοι γε παρ᾽ Ἕλλησιν αἱ τοιαίδ᾽ ἑταῖραι ȣ̓ πάνυ ἡδέως ὑπῆρχον ἀποδεκταί, ὡς ἀπὸ τῆς μητρὸς τȣ͂ Φοίνικος γεγονὸς ὁρῶμεν, τῆς τὸν υἱὸν παραπεισαμένης τὴν συγγρὴν τȣ͂ πατρὸς παλλακίδα διαπορνεῦσαι (Ἰλ: Ι΄. ϛ. 450.) Διὸ καὶ τῇ Θεραπαινίδι Εὐρυκλείᾳ Ὀδυσσεὺς ȣ̓κ ἠθέλησε διευλαβȣ́μενος τὴν ἀκοίτην. (Οδυσ: Α΄. ϛ. 433.)

„ Εὐνῇ δ᾽ ȣ̓́ποτ᾽ ἔμικτο, χόλον δ᾽ ἀλέεινε γυναικός.

Διὰ γὰρ τȣ͂το καὶ Κλυταιμνήστρα περιοργὴς γενομένη τῷ Ἀγαμέμνονι, καὶ τῇ Κασσάνδρῃ χεῖρας μιαιφόνȣς ἐπέβαλεν, ὅτι ταύτην ἐκεῖνος κοινωνὸν τοῦ λέχους ἐποίησε. Καὶ ἡ Μήδεια δὲ τῷ Ἰάσωνι τὸν ὄλεθρον παρεσκεύασεν ὁμοίως ἀνελῶν αὐτῷ τὰ τέκνα, Κρέȣσαν ἐπ᾽ αὐτῇ ἐπαγομένῳ, ὡς παρ᾽ Ἀθηναίου (ἐκ Βιβλ: ΙΓ΄.) σεσημείωται. Παρά γεμὴν τοῖς βαρβάροις, ῥᾷον αἱ τοιαίδε παλλακίδες ἀνεκταὶ ἦσαν, ὡς ἔπεστιν ἰδεῖν ἐπὶ τῷ Πριάμῳ, ᾧ παρὰ τὴν Ἑκάβην, καὶ πλεῖσται προσῆσαν ἄλλαι ἀκοῖται νόμιμοι. Οὕτω γὰρ αὐτὸς, (Ἰλ. Ω΄. ϛ. 496. κξ:) περὶ ἑαυτȣ͂ διέξεισιν, Υἱȣ̀ς οἱ γεγονέναι πεντήκοντα, ὧν ἐννεακαίδεκα ἐκ μιᾶς τεχθέντων αὐτῷ νηδύος, οἱ λοιποὶ ἐκ γυναικῶν ἄλλων προῆλθοσαν· τȣ́των δ᾽ οἱ μὲν ὑπὸ Ὁμήρȣ προσείρηνται γνήσιοι, οἱ δὲ νόθοι: ὡς διαστελλόμενοι φέρονται: (Ἰλ. Λ΄. ϛ. 102.)

„ Υἷε δύω Πριάμοιο, νόθον καὶ γνήσιον, ἄμφω
„ Εἰν ἑνὶ δίφρῳ ἐόντας . . . . .

Νόθȣς δὲ τοὺς ἐκ παλλακίδος ὁ Σχολιαστὴς ὀνομάζει: καίτοιγε ἡ Πριάμȣ πολυγαμία, τοιάδε ἔοικεν εἶναι, ὡς αὐτȣ͂ γυναῖκας πολλὰς ἐσχηκότος, νομίμῳ γάμῳ αὐτῷ συνημμένας. Δυναστῶν γὰρ μεγάλων αἱ

θυγατέρες αὐτῷ συνέζευχθεν, ἔτι καὶ προῖκα προσενεγκάμεναι: οἷαπερ Λαοθόη, Ἄλτȣ τȣ͂ Λελέγων Ἄνακτος ἡ θυγάτηρ, ἐξ ἧς Λυκάων γεγέννητο: (Ἰλ: Χ'. ς. 46. κξ.) Ὅτι δὲ καὶ τοῖς Ἑλλήνων ἀρχαιοτάτης τοῦ ἔθιςο, δεῖγμ' ἂν εἴη Αἰγεὺς ὁ Θησέως πατὴρ, ὃς κατ' Ἀθήναιον, πρῶτον μὲν τὴν Ὁπλῆτος θυγατέρα ἠγάγετο, ἔπειτα δὲ μίαν ἐκ τῶν θυγατέρων Χαλκώδοντος· ὥσπερ ȣ͂ν ἐπιδȣ̀ς τοῖς φίλοις, πολλάς τε καὶ ἄλλας ὑπὲρ ἀριθμὸν ὤπυιεν. Ἐφεξῆς δὲ Αἴθρᾳ τῇ τȣ͂ Πιτθέως συνέζευκτο, καὶ τελευταῖον τῇ Μηδείᾳ. Ἀλλὰ καὶ Θησεὺς αὐτὸς πολλὰς ἔσχε γυναῖκας, τὰς μὲν ἐξ ἁρπαγῆς, τὰς δ' ἐξ ἔρωτος· τὰς δὲ, καὶ γάμοις ἐννόμοις αὐτῷ συναφθείσας, ὡς γράφει Ἴςρος ἐν Βιβλ: ΙΔ'. τῶν Ἀττικῶν. Δῆλον δ' ὅτι καὶ Ἡρακλῆς τὰ ὅμοια ἔδρασεν, ὅθεν ἡ τεκνογονία ἡ τȣ́τȣ ἡ πολυάριθμος.

Ἀλλ' εἰ καὶ ȣ̓χ' ὁμοταγεῖς παρὰ τοῖς ἀρχαίοις ἐνομίζοντο τοῖς γνησίοις υἱέσιν οἱ νόθοι, ἀπηκριβωμένως μέντοι ὑπὸ τῶν γεννησάντων ἀνετρέφοντο τοῖς γνησίοις ἐπίσης, ὡς ἀναφαίνεται ἐκ τȣ͂ περὶ τὸν Πήδαιον παραδείγματος τὸν νόθον ὄντα Ἀντήνορι (Ἰλ: Ε'. ς. 69.) καὶ ἐκ τȣ͂ περὶ Τεῦκρον τὸν Τελαμῶνος: (Ἰλ: Θ'. ς. 284.) Οὐχ' ὅπως δὲ, ἀλλὰ καὶ μοίρας μετεῖχον καὶ οἱ μὴ γνήσιοι, ἐκ τῆς πατρῴας περιουσίας, ὡς Ὀδυσσεὺς ἑαυτῷ ἔφη ἐπισυμβῆναι. (Ὀδυσ: Ξ'. ς. 64.) Ἀλλ' ὁ Μεγαπένθης, ὡς καὶ ὁ Νικόςρατος, τῆς ἐν Σπάρτῃ βασιλείας, ἣν εἶχε Μενέλαος, ὑπὸ Ὀρέςȣ ἀπεκλείσθησαν, ἅτε δὴ ἐκ δȣ́λης συλληφθέντες, ἥ φησὶ Παυσανίας (ἐν τοῖς Κορινθιακ:) Νεοπτόλεμος δὲ, ὃν Ἀχιλλεὺς ἐκ Δηϊδαμείας ὑπέκλεψε, τὴν πατρῴαν ἀρχὴν διεδέξατο, τυχὸν διὰ τὴν μητέρα, ὡς γέννημα ȣ͂σαν Λυκομήδους τȣ͂ Ἄνακτος.

## ΚΕΦΑΛ. ΙΗ΄.

# Περὶ τῆς ἀγωγῆς τῶν τέκνων.

Ἐξαίρετος παρὰ τοῖς παλαιοῖς Ἕλλησιν, ἡ περὶ τὴν τῶν ἰδίων τέκνων οἴκοι ἀγωγὴν ἐπιμέλεια, παρ' Ὁμήρῳ ἀπανταχȣ̃ καταφαίνεται. (Ἰλ: Π΄. ϛ. 191. 192.)

„ Τὸν δ' ὁ γέρων Φύλας, εὖ ἔτρεφεν, ἠδ' ἀτίταλλεν
„ Ἀμφαγαπαζόμενος, ὡσεὶ θ' ἑὸν υἱὸν ἐόντα.

* Καὶ ἀλλαχȣ̃ πȣ

„ Υἱέες ἐν μεγάροις ἡμὲν τράφεν, ἠδὲ γένοντο.

(Ἐν δὲ Ὀδυσ: Λ΄. ϛ. 67.)

„ . . . Καὶ πατρὸς ὁ σ' ἔτρεφε τυτθὸν ἐόντα.

Ἀλλ' ἡ τῆς μητρὸς κατ' ἐξοχὴν ἐπιμέλεια ἀξιέπαινος ἦν. (Ὀδυσ: Β΄. ϛ. 131.)

„ Ἥ μ' ἔτεχ', ἥ μ' ἔθρεψε . . . . . . . .

Καὶ Ὀδυσ: Λ΄. ϛ. 249.)

„ . . . . Σὺ δὲ τȣ̀ς κομέειν, ἀτιταλλέμεναί τε.

Ὣς Ποσειδῶν ἠγγύα Τυροῖ ἐγκύμονι ȣ̓́σι.

Παρ' Ἡσιόδῳ δ' ἐν Ἔργοις (ϛ. 129.) ὁ παῖς

„ . . . . . . . . Παρὰ μητέρι κεδνῇ
„ Ἐτρέφετ' ἀτάλλων . . . . . . . . .

Καὶ Ἡρακλῆς δ' ὁμοίως παρὰ τῇ μητρὶ ἀνατέθραπτο: νέον φυτὸν ὡς ἐν ἀλωᾷ: κατὰ Θεόκριτον, (ἐν Εἰδυλ: ΚΔ΄.) Ἐκ δὲ τῆς τοιᾶσδε σπȣδῆς ἡ γυνὴ παρὰ τῷ αὐτῷ (ἐν Εἰδυλ: ΚΖ΄.) προσηγόρευται: τοκέων τροφός. Ἐπλήρȣν δὲ τȣ̃το τὸ σφίσι κα-

θῆκον ἔργον αἱ μητέρες ὅτως ἐπιμελῶς, ὥςε καὶ τῷ ἰδίῳ αὐτῶν γάλακτι τὰ τέκνα σιτίζειν; ὃν δείγματα κἀν ταῖς περιφανεςέραις ἐμφαίνεται· οἷον ἐν τῇ Ἑκάβῃ τὸν μαζὸν προδεικνυέσῃ τῷ Ἕκτορι (Ἰλ: Χ΄. ς. 83.)

„ . . . . Εἴποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον.

Καὶ Πηνελόπη δὲ λέλεκται Τηλέμαχον γαλακτοτροφῆσαι: (Ὀδ: Λ΄. ς. 447.)

„ . . . . . . Παῖς δέ οἱ ἦν ἐπὶ μαζῷ
„ Νήπιος . . . . . . . . . . . . . .

Ὡσαύτως δὲ καὶ Ἀλκμήνη Ἡρακλῆν τε καὶ Ἴφικλον τὼ υἱέε, αὐτὴ καὶ λέειν καὶ θηλάζειν εἴρηται (παρὰ Θεοκρ: ἐν Εἰδυλ: ΚΔ΄.)

„ Ἀμφοτέρους λούσασα, καὶ ἐμπλήσασα γάλακτος.

Καὶ ἡ Ἀρισοδήμου δὲ τοῦ Σπαρτιατῶν βασιλέως ὁμευνέτις . διδύμους λούει καὶ σιτίζει, ὡς ἐγράφη παρ' Ἡροδότῳ (ἐν Ἐρατοῖ) διέξεισι δὲ Πλούταρχος τὸ αὐτὸ πεποιηκέναι καὶ τὴν Κάτωνος τοῦ μείζονος σύζυγον: „αὐτὴ γὰρ ἔτρεφεν ἰδίῳ γάλακτι· ἢ δαψιλὴς ἐςὶ περὶ τὴν σύςασιν τοῦ τοιοῦδ' ἔργου ὁ Χερρωνεὺς ἐν τῇ περὶ παίδων ἀγωγῆς αὐτοῦ πραγματείᾳ. Καθάπερουν καὶ Φαβωρῖνος παρὰ τῷ Γελλίῳ. (ἐν τῷ ΙΒ΄. Βιβλ. Κεφαλ. Α΄.) Ἀλλὰ γὰρ οὐκ ἂν ἔξαρνος γενοίμην τοῦ καὶ τιθηνέσας ἐπὶ τούτω τοὺς παλαιοὺς ἐνίοτε ἐπαγαγέσθαι, οἵαπερ ἡ Εὐρύκλεια ἐκείνη τῷ Ὀδυσσεῖ ὑπῆρξε, πρὸς ἣν αὐτὸς (Ὀδυσ: Τ. ς. 482.)

„ . . . . . . . Σὺ δέ μ' ἔτρεφες αὐτὴ
„ Τῷ σῷ ἐπὶ μαζῷ . . . . . . . . .

Οὕτω δὲ καὶ ἡ Ναυσικάας τιθήνη: (Ὀδ: Η΄. ς. 8. 12.) διὰ μνήμης φέρεται· καὶ ἡ Ἀςυάνακτος δὲ τοῦ παιδὸς Ἕκτορος: (Ἰλ: Ζ΄. ς. 389. καὶ 465.) Ἀλλὰ τοῦτ' εἶχε γίνεσθαι καὶ δι' ἔνδειαν τοῦ μητρώου γάλακτος, ὃ τὰ πολλὰ συμβαίνει. Ἀλλ' ὅπως οὖν καὶ γίγνοιτο, φανερὸν ἐςὶν,

ὅτι πολλὴν οἱ τοκεῖς τὴν ἐπιμέλειαν ἐπεδείκνυντο περὶ τὴν ἀνατροφὴν τῶν ἰδίων τέκνων, περὶ ἧς νόμους καὶ Ἀθηναῖοι καὶ Ῥωμαῖοι διεθέσπισαν. Ἔνθεν τοι καὶ γονεῦσιν ἐντρύφημα ἦν, ὁσάκις τούτων ἐπὶ τοῖς γόνασι τὰ παιδία ἤθιεν, ὡς δῆλον ἐκ τῆς Ἰλιάδος (Χ'. ς. 500.) ἔνθα Ἀνδρομάχη τοῦ Ἕκτορος ἀναιρεθέντος ἀπολοφύρεται ἐπὶ Ἀστυάνακτι:

„. . . . Ὃς πρὶν μὲν ἐπὶ γούνασιν οὗ πατρὸς
„ Μυελὸν οἶον ἔδεσκε, καὶ οἰῶν πίονα δημόν.

Οὕτω καὶ ἐπὶ γονάτων Αὐτολύκου τοῦ πάππου, Ὀδυσσεὺς ἀπετέθη: (Ὀδυσ. Τ'. ς. 401.)

„ Τὸν ῥά οἱ Εὐρύκλεια φίλοις ἐπὶ γούνασι θῆκε
„ Παυομένῳ δόρποιο . . . . . . . . . . . . . .

Διὰ τοῦτο καὶ Ἀμύντωρ, πολλὰ τῷ υἱεῖ ἐπαρώμενος, προσέθετο καὶ τὸ μηδέποτε ἐπικαθιεῖν υἱὸν ἐπὶ τοῖς αὐτοῦ γόνασιν. (Ἰλ: Ι'. ς. 455).

„ Μήποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν,
„ Ἐξ ἐμέθεν γεγαῶτα . . . . . . . . . . .

Κἀκεῖθι οὖν τὰ παιδία παίζειν ἔχαιρε παππάζοντα. (Ἰλ. Ε'. ς. 408.)

„ Οὐδέτι μιν παῖδες ποτὶ γούνασι παππάζουσι.

Πάππα δηλονότι συχνὰ ἐπαναφωνοῦντες. Ἦ δὴ φονῇ καὶ Ναυσικάα τῷ πατρὶ προσεφθέγγετο: (Ὀδυσ. Ζ'. ς. 57.)

Πάππα φίλ' οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην;

Ἐπὶ οἴκων τῶν ἐπιφανεστέρων, ἔτι καὶ ἄνδρες ἀγωγοὶ τῶν παίδων προσελαμβάνοντο, ὡς τὰ καλὰ τῶν ἐπιτηδευμάτων αὐτοὺς ἐκδιδάξοντες. τῷ γοῦν Πηλεῖ εἰς τόδε ὑπούργησε πρὸς τὴν ἀγωγὴν τοῦ Ἀχιλλέως ὁ Φοίνιξ. (Ἰλ: Ι'. ς. 484.) Ἔνθ' ὅδε διέξεισιν, ὅτι νήπιον ὄντα ἐπὶ τοῖς γόνασι τοῖς ἑαυτοῦ ἐπεκάθιζε· καὶ τόγε ὄψον ὅπερ ἔμελλε προσφέρεσθαι, αὐτῷ προέτεμνε, καὶ οἶνον ἐπενέχεεν. Οὕπερ, ὡς ἐν νηπιότητι ἀλεγεινοῦ

ἀπεμῶν, πολλάκις αὐτῷ ἐπὶ ςήθεσι κατέδευε τὸν χιτῶνα· ἐπὶ δὲ δὴ τέτοις, ὅτι ϗ αὐτὸν ἐξεπαίδευσε ϗ ἀγορεύειν, ϗ πολεμεῖν (αὐτ: ς. 445.)

„Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρα τε ἔργων.

Ὡ's ἂν αὐτὸν ἀναδείξειεν: Oratorem verborum, actoremque rerum: ὡς ὁ Κικέρων μετέφρασεν, ἐν τῷ Α'. Βιβλ. τῶν περὶ Ῥήτορος.

Ὁ δ' Ἀχιλλεὺς προσέτι, καὶ Χείρωνι τῷ Κενταύρῳ εἰς παιδείαν παρετέθη, κατ' Ὀρφέα (ἐν τοῖς Ἀργον:) καὶ Πίνδ: (ἐν Ὠ'δ. Α'.) ἐξ ὖ τὰς τέχνας, ᾄδειν τε, καὶ ἰατρέυειν, καὶ θηρέυειν, καὶ ἄλλας ἐξεπαιδέυθη. Καὶ γὖν, καὶ Παυσανίας (ἐν τοῖς Βοιωτικ:) ἱςορεῖ, ὡς Ἡσίοδος συγγεγραφὼς εἴη, περὶ τῶν τῦ Χείρωνος Διδασκα- „λιῶν, τῶν πρὸς Ἀχιλλέα· ἔνθα ἐν ἄλλοις πρόκειται: παραίνεσις „τε Χείρωνος, ἐπὶ διδασκαλίᾳ τῦ Ἀχιλλέως. Καὶ Πλύταρχος δὲ (εἰς Βίον Θησέ:) φησὶν αὐτῷ παρὰ τῦ πατρὸς ἐπιςαθῆναι καθηγητὰς, τὺς τὰς ἐλευθερίυς τέχνας, καὶ τὰς Ἡρωϊκὰς μαθήσεις αὐτὸν ἐκδιδάξοντας. Ἀλλὰ καὶ Ἡρακλῆν ὑπὸ Ἄτλαντος, τὴν τῶν φύσει ὄντων γνῶσιν ἐκπαιδευθῆναι. Παρά γε μὴν τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: ΚΔ'.) φέρεται, ὅτι Λῖνος μὲν αὐτὸν τὰ γράμματα ἐξεπαίδευσεν· Εὔρυτος δὲ τὴν τοξευτικὴν· τὴν δὲ Κιθαρῳδίαν ὁ Φιλαμμονίδης Εὔμολπος· πυγμὴν δὲ καὶ πάλην, Ἁρπάλυκος ὁ Φανωπαῖος· τὺς δὲ κατὰ τὴν ἁρματηλασίαν ἀγῶνας ὁ Ἀμφιτρύων· τὺς πολεμικὺς δὲ, ὁ Κάςωρ. Παραπλησίως δὲ καὶ Ἀλεξάνδρῳ τῷ Μακεδόνι πολλοὶ ὑπῆρξαν καθηγηταὶ καὶ Διδάσκαλοι, οἷς ἅπασιν ἐπετέτακτο Λεωνίδης, ὁ τῇ Ὀλυμπιάδι τῷ γένει προσήκων, ὁ ϗ διαιτητὴς αὐτῷ καὶ διευθύντωρ γενέσθαι λεγόμενος. Ἀλλ' ὁ Ῥωμαῖος Κάτων, αὐτὸς τὸν ἑαυτῦ υἱὸν ἐν ἁπάσαις τέχναις ἐνασκῆσαι προείλετο, ὐ μόνον ἀκοντίζειν, ὐδ' ὁπλομαχεῖν, ὐδ' „ἱππέυειν διδάσκων, ἀλλὰ ϗ τῇ χειρὶ πὺξ παίειν, ϗ καῦ- „μα δὲ καὶ ψῦχος ἀνέχεσθαι, καὶ τὰ δινώδη ϗ τραχύνοντα „τῦ ποταμῦ νηχόμενον ἀποβιάζεσθαι· ὡς διέξεισι Πλύταρχος.

## ΚΕΦΑ'Λ. ΙΘ'.

## Περὶ τῶν καθηκόντων τοῖς τέκνοις πρὸς τὺς γεννήτορας.

Μεγίστην τοῖς τοκεῦσι τιμὴν ἀποδεδόσθαι παρὰ τῶν τέκνων, ἐν ὑκ εὐαρίθμοις τόποις παρ' Ο'μήρῳ ἀρίδηλον ἵσαται. Προσκρύειν γὰρ ἐκείνοις διευλαβῦντο, ὑκ εὐσεβὲς εἶναι εἰκότως τιθέμενοι, καὶ τὰς Ε'ριννῦς ἐφίσαθαι ἀμυντείρας ὑπὲρ ἐκείνων πισεύοντες, αἵτινες, κατὰ τὸν Σχο-„λιαςὴν εἶναι λέγονται: καταχθόνιοι δαίμονες, τιμωρητικοὶ „τῶν πατρικῶν ἀσεβημάτων. Συνεῖδε δὴ τῦτο ὁ Φοίνιξ, (Ἰλ: Ι'. ϛ. 454.) καθ' οὗ, τῇ παλλακίδι τῦ τεκόντος προσμιγῆναι τολμήσαντος, ὁ πατὴρ:

„Πολλὰ κατηρᾶτο, ςυγερὰς δ' ἐπεκέκλετ' Ε'ριννῦς.

Τύτυ δὴ χάριν, καὶ Τηλέμαχος φυλάσσεται τῦ τὴν τεξαμένην ἐλᾶσαι διανοὐμενος: (Ὀδυσ: Β'. ϛ. 135. κξ.)

„. . . . . Αἴκ' αὐτὸς ἑκὼν ἀπὸ μητέρα πέμψω,<br>
„Ε'κ δὴ τῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων<br>
„Δώσει· ἐπεὶ μήτηρ ςυγερὰς ἀρήσετ' Ε'ριννῦς<br>
„Οἴκυ ἀπερχομένη . . . . . . . . . . .

Τιμολέων δὲ, παρὰ Πλυτάρχῳ, ἐν ἀσιτίᾳ ἕτοιμος ἦν ἀποκαρ-„τερῆσαι, ὁρῶν τὴν μητέρα, φωνάς τε δεινὰς καὶ κατάρας ἐπ' „αὐτὸν ἀρᾶσθαι φρικώδεις. Οὐδ' ἄλλοτι δραςικώτερον ἑαυτῇ Ο'υετερία ἡγήσατο, δι' ὗ Μάρκιον ἂν τὸν υἱὸν κινήσειεν, ἢ τὸν φόβον τῆς μητρῴας κατάρας αὐτῷ ἐμβαλῦσα: (παρὰ τῷ Α'λικαρνασ: Διονυσ: ἐν Βιβλ: Η'.) Βαρεῖαν ἀρὰν, καὶ δεινὰς Ε'ριννύας „ἀντ' ἐμῆς καταλιπῦσα σοὶ τιμωρύς. Πολὺς ἐςιν ὁ Πλάτων

περὶ τέτε διεξιὼν: (ἐν τῷ ΙΑʹ. Βιβλ: τῶν Νόμων.) Ἔνθα διὰ τῶν παραδειγμάτων, Οἰδίποδός τε, καὶ Ἀμύντορος, καὶ Θησέως, καὶ „ἄλλων ἀποδείκνυσιν: ὑπηκόες ἄν ἐι γονεῦσι πρὸς τέκνα Θεὲς· „εἴτε τέτων ἐξυβριζόντων καταρωμένοις, εἴτ᾽ ἀνάπαλιν „καὶ ὑπερευχομένοις: διάτοι τὸτο καὶ τιμὴν, τοῖς γονεῦσιν ἀπονεμητέαν εἶναι ἡγεῖται, τὴν ἐγγὺς μετὰ τὴν πρὸς Θεὲς ἀξιοχρέων, ὃ καὶ Πυθαγόρας ἐντέταλκε.

„ Πρῶτα Θεὲς τίμα, μετέπειτα σεῖο γονῆας.

Πρὸ πάντων τοίνυν τοῖς παλαιοῖς Ἕλλησιν ἐπιμελὲς ἦν ἀφοσιὲν τὰ θρεπτήρια, ἅπερ Ὅμηρος ὀνομάζει: τὰ τῆς διαθρέψεως γέρα, ἃ τοῖς ἐνεγκαμένοις καὶ ἐκθρέψασιν ὀφείλεται. ἀποδίδοσθαι. Ὡς ἐπειδὰν περὶ τὲ Σιμοεισίε καὶ τοῦ Ἱπποθόε, ἀώρῳ προαρπαγέντων θανάτῳ φησίν: (Ἰλ: Δʹ. ϛ. 477. καὶ Ἰλ: Ρʹ. ϛ. 301.)

„ . . . . . Οὐδὲ τοκεῦσι
„ Θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰών.

Καὶ Ἡσίοδος δὲ ὡσαύτως (ἐν Ἔργοις ϛ. 185.) τὰς τὲ ἐχάτε χρόνου ἀνοσιεργίας περιγράφων λέγει, μηδεμίαν αἰδῶ γεγηρακόσι τοῖς γονεῦσιν ἀποδοθήσεσθαι, μηδ᾽ ἐξ ἀμοιβῆς ὑπὸ τῶν υἱέων τέτες διατραφήσεσθαι.

„ . . . . . . . . Οὐδὲ μὲν οἵγε
„ Γηράντεσσι τοκεῦσιν ἀπο θρεπτήρια δοῖεν.

Τὲς δὲ τοιέτες, ἐν τῷ τελευταίῳ πυρὶ κατεμπρηθησομένες προαγορέυει ἡ Σίβυλλα:

„ . . . . . . . . . Ὅσοι δὲ γονεῖς ἐπὶ γῆρᾳ
„ Κάλλιπον, ἐδὲ τίσαντες ὅλως, ἐ θρέπτρα γονεῦσιν
„ Ἀντιπαραχόντες. . . . . . . . . . . .

Συνίςησι δὲ σπȣδῇ τὸ πρᾶγμα Ἀριςοτέλης (Ἠθικ: Θ΄. Κεφ: „ϛ΄.) Δόξειε δ᾽ ἂν τροφῆς μὲν γονεῦσι μάλιςα ἐπαρκεῖν, ὡς „ὀφείλοντας καὶ τοῖς τȣ͂ εἶναι (αἰτίοις) κάλλιον ἢ ἑαυτοῖς, „ἐς τοιαῦτ᾽ ἐπαρκεῖν. Καὶ αὐτοὶ δ᾽ οἱ νόμοι παρ᾽ Ἀθηναίοις ἐθέσπισαν (ὡς Αἰσχίνης ἀναφέρει ἐν τῷ εἰς Τίμαρχον) οἵπερ, τὸ κατὰ τὴν Οὐλπιανȣ͂ ἀπόκρισιν ἐςὶν ὅμοιον (L. si quis a liberis D. de agno„scendis lib. :). Ἀλλ᾽ ὁ τῶν Αἰγυπτίων νόμος ἦν διαφέρων: παρ᾽ οἷς, „ἣ διέξεισιν Ἡρόδοτος (ἐν τῇ Ευτέρπῃ:) τρέφειν τȣ̀ς τοκέας, τοῖ„σι μὲν παισὶν, ȣ̓δεμία ἀνάγκη μὴ βȣλομένοισι· τῇσι δὲ „θυγατράσι πᾶσα ἀνάγκη, καὶ μὴ βȣλομένῃσι.

Ἦν δὲ δι᾽ ἐπαίνȣ ἀγόμενον, καὶ τὸ τὴν ὕβριν ἀμύνασθαι τὴν τῷ πατρὶ ἐπενεχθεῖσαν: Τηλέμαχος ȣ͂ν λέγων περὶ Ὀρέςȣ ἀμυνȣμένȣ τῷ γεννήτορι, ὑπὸ Αἰγίσθȣ ἀναιρεθέντι (Ὀδυσ. Γ΄. ϛ. 203.)

„Καὶ λίην κεῖνος μὲν ἐτίσατο, καὶ οἱ Ἀχαιοὶ
„Οἴσȣσι κλέος εὐρὺ, καὶ ἐσσομένοισιν ἀοιδὴν.

Δι᾽ αἰτίαν δὲ τὴν αὐτὴν ἀνεῖλε καὶ τὴν μητέρα· ἐφ᾽ ᾧ καὶ ἀφέσεως ἔτυχεν ἐν Ἀρείῳ πάγῳ, Παλλάδος ψήφῳ, ὡς παρὰ Δημοσθένει, ἐν Ἀριςοκρ: φαίνεται.

Ἀλλὰ καὶ ἀνάπαλιν τὸ ἀδίκημα τῶν γονέων ἐκδεδίκηται ἐν τοῖς υἱέσιν, ὡς ἐποίησεν Ἀγαμέμνων ἐπὶ τοῖς τȣ͂ Ἀντιμάχȣ, τȣ͂ τὴν Μενελάȣ τε καὶ Ὀδυσσέως ἀναίρεσιν προδοτικῶς ἐπιτυρευσαμένȣ (Ἰλ: Λ΄. ϛ. 142.)

„Νῦν μὲν δὴ τȣ͂ πατρὸς ἀεικέα τίσετε λώβην.

Πολλὰ τοιάδε ἱςορȣ́μενα φέρεται, καὶ ἰδίως ἐπὶ ἐγκλημάτων, ἀτετόλμηται κατὰ τῶν δυναςείαν περιβεβλημένων· ἀλλ᾽ ἔοικέ τινα ἀδικίαν τῇ τοιαύτῃ ἐκδικήσει ὑπεῖναι· ἣ γὰρ ὀρθῶς ὁ Κικέρων:: Acerbum est parentum sce„lera filiorum poenis lui, ut ad liberos, qui nihil metue„runt, poena perveniat. (πικρὸν ἦπȣ τὰς τῶν γονέων „κακȣργίας ταῖς τῶν υἱῶν κολάσεσιν ἀποτίννυσθαι, ὡς

„ἐπὶ τὰ τέκνα τὰ μηδαμῶς ἐνεχόμενα τὴν ποινὴν ἐφικνεῖσθαι.) Εἰ μὲν συνεξήμαρτον, καὶ συγκολαζέσθωσαν,„ ὁ Φίλων φησίν. Ἀμέλει καὶ γὰρ unusquisqre ex suo admiſſo ſorti ſubjicitur, nec alieni criminis ſucceſſor conſtituitur: (uti retulit Calliſtratus L. crimen D. de poenis.„ (ἕκα- „ςος τῷ λάχει τῆς ἰδίας αὐτῦ ὑπόκειται πράξεως, ὐδὲ „διάδοχος καθίςαται ἀλλοτρίυ ἐγκλήματος.

## ΚΕΦΑΛ. Κ'.

## Περὶ Δυλέας.

Δῦλοι ὡς τὰ πολλὰ ὑπῆρχον τοῖς Ἕλλησιν οἱ ἐν τῷ πολέμῳ Ζωγρίαι, οὔσπερ οἱ νικῶντες ζῶυς διετήρυν· διὸ καὶ δμῶες προσείρηνται, παρὰ τὸ δμηθῆναι. „Ὧ γάρ τις ἥττηται, τύτῳ καὶ δεδύλωται: ἡ Πέτρος φησὶν ὁ Ἀπόςολος, (ἐν ἐπιςολ. Β'. Κεφαλ. Β'.) τοιῦτοι οἱ τῦ Ὀδυσσέως δμῶες, περὶ ὧν ὁ Τηλέμαχος (Ὀδυσ. Α'. ς'. 398.)

„Καὶ δμώων ὕς μοι λῄσατο δῖος Ὀδυσσεύς.

Οὕτω καὶ αἱ Λεσβίδες, ἃς Ἀγαμέμνων ἐν ταῖς σκηναῖς αὐτῦ διετήρει, θεράπαιναι ἐτύγχανον δορυάλωτοι. (Ἰλ: ς. 129.) καθὰ καὶ Βρισηῒς ἡ τῦ Ἀχιλλέως. Τῦτο δὲ καὶ περὶ τῆς αὐτῦ γαμετῆς δεδιὼς ἦν Ἕκτωρ, μήτις, αὐτῦ θανόντος, ταύτην ἀπαγάγηται (Ἰλ: Ζ'. ς. 455.)

„ . . . . . Ἐλεύθερον ἦμαρ ἀπύρας.

„Ὥς ἐν ἀνάγκῃ γενέσθαι πρὸς ἄλλης ἱςὸν ὑφαίνειν,

„Καί κεν ὕδωρ φορέειν Μεσσηΐδος, ἢ Ὑπερείης.

Τῷ δ' ὄντι δεδουλομένην ἑαυτὴν λέγει αὐτὴ παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ: Γ'. ς. 326.)

Stirpis Achillieae fastus, juvenemque superbum
Servitio enixae tulimus.........

„.......... (Φύτλης Ἀχιλῆος ἀλαζονίην τε
„ Ἀΐζηῦ τ' ἔτλημεν ὕβριν πειθήνιοι).......

„Οὕτω καὶ Ἡρόδοτος (ἐν Θαλίᾳ) ἱστορεῖ: Ἄτοσσαν, Δαρεῖον „τὸν γαμέτην, ἐπὶ τοῦ κατὰ τῆς Ἑλλάδος πολέμου παρορ-„μᾷν, ἐφιεμένην Λακαίνας αὐτῇ γενέσθαι θεραπαίνας, καὶ „Ἀργείας, καὶ Ἀττικὰς καὶ Κορινθίας. Καὶ ἐν τῇ Ἐρατοῖ δὲ, τῆς Πυθίας ὄλεθρον Μιλησίοις ἐπαπειλούσης:

„ Σαὶ δ' ἄλοχοι πολλοῖσι πόδας νίψουσι κομήταις.

Τοὺς ἁλόντας δὲ πολλάκις εἰώθεσαν εἰς δουλείαν πιπράσκειν, ὃ πολλαῖς Ἀχιλλεὺς φησὶ ῥέξαι: (Ἰλ: Φ. ς. 102.)

„...... Καὶ πολλοὺς ζωοὺς ἕλον, ἠδ' ἐπέρασσα.

Καὶ τοιαῦτα δὲ καὶ Πρίαμος περὶ τῶν αὐτοῦ υἱῶν ἀγορεύει, οἷα περὶ Λυκάωνος, ἐκ τῆς ἀλωῆς τῆς τοῦ πατρὸς ἀπαρθέντα Ἀχιλλεὺς ἀπημπώλησεν: (Ἰλ: Φ'. ς. 77. κξ.) Καὶ περὶ τῶν ἄλλων δὲ ἀπολοφύρεται Ἑκάβη: (Ἰλ. Ω'. ς'. 752.)

„ Ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς, πόδας ὠκὺς Ἀχιλλεὺς
„ Πέρνασχ' ὅντιν' ἕλεσκε.......

Τὰ δ' αὐτὰ καὶ ὅλαι πόλεις ἔπαχον ὑποδουλούμεναι, ἤτοι ἐξανδραποδιζόμεναι, ὡς φαίνεται καθ' Ἕλληνας. Οὕτως Ἀχαιοὶ κρατήσαντες Μυκήνας ἐξηνδραπόδισαν, (παρὰ Διοδώρ: Σικελ. Βιβλ. ΙΑ') Ἀλέξανδρος δὲ Θήβας (παρὰ τῷ Ἀῤῥιαν: Βιβλ. Α'.) Μέμμιος δὲ Κόρινθον, (παρὰ Πλουτάρχῳ, καὶ ἀλλ:)

Οὐχ᾽ ὅπως δὲ οἱ ἀπὸ μάχης ἐνδίκȣ ἑαλωκότες ὑπὸ τῶν πολεμίων διεπιπράσκοντο, ἀλλὰ καὶ ὑπὸ κλοπέων, καὶ ληϊστήρων, καὶ ἄλλων τῶν ὁπώσποτε περιγενέσθαι κατισχυόντων. Οὕτως ὑπὸ τῶν Ταφίων λῃστῶν, ἡ γυνὴ ἐκείνη διαπέπραται σὺν Εὐμαίῳ. (Ὀδυσ. Ο΄. ϛ. 425. κξ.) ὃς δὴ καὶ αὐτὸς ὑπὸ τῶν Φοινίκων διὰ ὠνῆς παρεδόθη Λαέρτῃ, τῷ ἑοῖσι κτεάτεσσι πριαμένῳ. Καὶ Ὀδυσσεὺς δὲ, ὅμοιόν τι αὐτῷ οἱ παρεσκευακέναι φησὶ Φοίνικά τινα κακȣ̃ργον, σὺν ᾧ εἰς Λιβύαν ἔπλει, καὶ Θεσπρωτȣ̀ς, ὅτε Ἀκάστῳ τῷ βασιλεῖ ἐπέμπετο: (Ὀδυσ: Ξ΄. ϛ. 340.)

„ Αὐτίκα δȣ́λιον ἦμαρ ἐμοὶ περιμηχανόωντο.

Τέως δέ τοι καὶ Λαομέδων ἐπαπειλεῖ Ἀπόλλωνί τε καὶ Ποσειδῶνι (Ἰλ. Φ΄. ϛ. 452. κξ.)

„ Δήσειν καὶ περάαν νήσων ἔπι τηλεδαπάων.

Μετριώτερα οἱ Ῥωμαῖοι: παρ᾽ αὐτοῖς γὰρ, οἱ ἀπὸ τῶν πολεμίων ἐπὶ μάχης δικαίας λαφυραγωγȣ́μενοι, ȣ̓χ οἱ ὑπὸ κλεπτῶν καὶ λῃστῶν ἁλισκόμενοι, δȣ̃λοι καθίσαντο: Ὡς Οὐλπιανὸς ἀποκρίνεται (L. ΚΔ΄. D. de captiv. et poſtlim.)

Ὅσα δὲ περὶ δȣ́λων ἀνήκει τῶν ἐκτὸς πολέμȣ, ἢ λῃστείας πιπρασκομένων, τοῖς τοιȣ́τοις ἀνέκαθεν μηδόλως τȣ̀ς Ἕλληνας χρῆσθαι, „ἱστορεῖ Τίμαιος ὁ Ταυρομενίτης, παρ᾽ Ἀθηναίῳ: Οὐκ ἦν φασὶ πάτριον τοῖς Ἕλλησιν ὑπὸ ἀργυρωνήτων τὸ παλαιὸν διακονεῖσθαι. Πρῶτοι Ἑλλήνων ἀπομνημονεύονται Χῖοι, δȣ́λȣς βαρβάρȣς ἐπὶ ῥητοῖς χρήμασιν ἐμπορεύσασθαι, οὓς διὰ τȣ̃το καὶ τὴν Θεῶν μῆνιν καθ᾽ ἑαυτῶν ἐπισπάσασθαι: ἐπεὶ καὶ ὑπ᾽ αὐτῶν τῶν δȣ́λων κατεταπεινώθησαν, τῇ δεσποτικῇ καταδυναστεύσει προσοχθισάντων.

Ἐν τοῖς τοιȣ́τοις διαφερόντως ὑπῆρχον οἱ Κᾶρες, ἀνθ᾽ ὅτȣ καὶ διὰ τῆς παροιμίας, ὡς δȣλοπρεπεῖς ἐπεσημαίνοντο: εἰς ὃ καὶ οἱ Ἑρμηνευταὶ, τὸ Ὁμηρικὸν ἐκεῖνο: ἐν Καρὸς αἴσῃ: ἀνάγȣσιν. (Ἰλ: Ι΄. ϛ. 378.) Συχνȣ̀ δὲ ἤδη ἐξ ἀρχαίων χρόνων, εἰς τȣ̃το συνετέλȣν τῆς χρήσεως, οἵτε Ποντικοὶ, καὶ οἱ Λυδοὶ, καὶ οἱ Φρύγες, καὶ οἱ παραπλήσιοι, οἷς

ὐκ ἦν δυχερὲς τὺς οἰκείυς τοῖς ἀλλοτρίοις ἀπεμπωλεῖν, ὡς διέξεισι Φιλόςρατος, (ἐν τῷ Η'. Βιβλ. τῶν εἰς τὸν βίον Ἀπολλων.)

Μεγάλη δέ τις ἦν ἡ πρὸς τὺς δέλυς τῶν δεσποτῶν κυριότης· Ὅθεν καὶ ἄνακτες ὑπ' ἐκείνων προσηγορεύοντο, ὡς δῆλον ἴςησιν ὁ Τηλέμαχος: (Ὀδυσ: Α'. ς. 397.) λέγων:

„ Αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο,
„ Καὶ δμώων, ὕς μοι ληΐσσατο δῖος Ὀδυσσεύς.

Φαίνεται δὲ καὶ Ἀνδρομάχη περὶ τῷ υἱεῖ δεδοικυῖα, μὴ γένηται; (Ἰλ: Ω'. ς. 734.)

„ Ἀεθλεύων πρὸ ἄνακτος ἀμειλίχυ . . . .

Ὅτι γὰρ δὴ ἡ τοιάδε κυριότης παρεξετείνετο ἄχρι ζωῆς καὶ θανάτυ, δῆλον ἐξ ὧν Ὀδυσσεὺς ὑβρισθεὶς ὑπὸ Μελανθῦς, ἠπείλησε τῷ Δεσπότῃ ἀναγγελεῖν Τηλεμάχῳ. (Ὀδυσ: Σ'. ς. 338.)

„ Ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ' ἀγορεύεις
„ Κεῖσ' ἐλθὼν, ἵνα σ' αὖθι διαμελεϊςὶ τάμησιν.

Ὅπερ ἔπειτα καὶ γεγονέναι λέγεται ἀμφὶ Μελάνθιον, ἀνὰ πρόθυρόν τε καὶ αὐλὴν ἀχθέντα: (Ὀδ: Χ'. ς. 474. κξ.)

„ Τῦ ἀπὸ μὲν ῥῖνάς τε καὶ ὕατα, νηλέϊ χαλκῷ
„ Τάμνον· μήδεά τ' ἐξέρυσαν, κυσὶν ὠμὰ δάσασθαι.
„ Χεῖρας τ' ἠδὲ πόδας κόπτον, κεκοτηότι θυμῷ.

Ὅτι δ' ἄρα τοῖς δέλοις ἰδιαίτερον ἀπέκειτο ἡ τοιάδε διὰ τῦ ἀκρωτηριασμῦ Ποινὴ, δῆλον ἐξ ὧν Λαομέδων τοῖν Θεοῖν δυλείαν ἐναπειλήσας, ἔφη, κολοβώσειν τὰ ὦτα (Ἰλ: Φ'. ς. 455.)

„ Στεῦτο δ' ὅγ' ἀμφοτέρων ἀποκοψέμεν ὕατα χαλκῷ.

Εἰς τόδ' ἀνήκει, ὅτι καὶ αἱ δȣλίδες αἱ ἰσχυρογνώμονες καὶ συνεσιȣργοὶ πείσματι ἀπεκρεμάννυντο ὑψόθεν, καὶ τὸν διὰ βρόχȣ ὑφίσαντο θάνατον, ὃν μὴ καθαρὸν εἶπε Τηλέμαχος: (Ὀδ: Χ'. ς. 462.) „Ἔνθα παρασημειοῖ Εὐστάθιος λέγων: καθαρὸς θάνατος ὁ διὰ „ξίφȣς, μιαρὸς δὲ, ὁ ἀγχονιαῖος. Informe lethum προσείρηκεν Οὐΐργίλιος.

Ἔστι δ' ὅτε οἱ δȣ̃λοι τῆς τῶν Δεσποτῶν κυριότητος ἀπελευθερȣ̃ντο. τȣ̃θ' ὅπερ Ὀδυσσεὺς τῷ βȣκόλῳ καθυπισχνεῖτο, καὶ τῷ Συβώτῃ, ἐπειδὰν αὐτῶν συμπραττομένων, τȣ̀ς μνηστῆρας δαμάσειεν. (Ὀδ'. Φ'. ς. 216.)

„ Ἄξομαι ἀμφοτέροις ἀλόχȣς, καὶ κτήματ' ὀπάσσω,
„ Οἰκία τ' ἐγγὺς ἐμεῖο τετυγμένα· καί μοι ἔπειτα
„ Τηλεμάχου ἑτάρῳ τε, κασιγνήτω τε ἔσεσθον.

Καὶ Πλȣ́ταρχος (Ἑλληνικῶν προβλημ: ΙΔ'.) ἱστορεῖ: ὅτι Τηλέμαχος Εὔμαιόν τε, καὶ τȣ̀ς ἀμφ' αὐτὸν, ἀπελευθέρȣς ποιήσας ἐγκατέλεξε τοῖς πολίταις, ὅθεν τὸ Κολιαδῶν γένος, καὶ τὸ Βȣκολιαδῶν ἐν Ἰθάκῃ διέμεινε κλειζόμενα.

Ἀλλὰ παρὰ τοὺς τοιȣ́σδε δȣ́λȣς, ὑπῆρχον παρὰ Γραικοῖς, καὶ οἱ ἐλεύθεροι μὲν ὄντες, ἐπὶ μισθῷ δὲ διακονεῖν αἱρȣ́μενοι· οἳ παρ' Ὁμήρῳ θῆτες καλȣ̃νται, ὡς οἱ Τηλεμάχῳ ἐκδημήσαντι παρηκολȣθηκότες: (Ὀδυσ: Δ'. ς. 644.) Θῆτες τε δμῶες τε.

Οὕτω καὶ Ὀδ. Σ'. ς. 356.)

„ Ξεῖν', ἦ ἄρ κ' ἐθέλεις θητευέμεν, εἴ σ' ἀνελοίμην,
„ Ἀγρȣ̃ ἐπ' ἐσχατιῆς (μισθὸς δέ τοι ἄρκιος ἔσται.)

Καὶ Ἀχιλλεὺς δ' ἂν προέλοιτο: (Ὀδυσ. Λ'. ς. 488.)

„ Βελόιμην κ᾽ ἐπάρερος ἐὼν θητευέμεν ἄλλῳ.
„ Ἀνδρὶ παρ᾽ ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
„ Ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

Οὕτως ἐθήτευσαν Λαομέδοντι Ἀπόλλων τε καὶ Ποσειδῶν: Ὁ μὲν βεκολῶν, ὁ δὲ τὰ τείχη ἐποικοδομῶν. Ὅθεν καὶ θητεῖαι Θεῶν παρ᾽ ἀνθρώποις, ἐπὶ τῆς καθ᾽ Ἕλληνας θεολογίας καταλέγονται, ὑπὸ Διονυσίε τε Ἁλικαρνασσέως (ἐν Βιβλ. Β΄. τῆς ἀρχαιολογ.) ὡσαύτως δὲ καὶ Ἡρόδοτος (ἐν τῇ Οὐρανίᾳ διέξεισι: Τρεῖς ὁμαίμονας, ἀπὸ Τιμένες καταγομένες: Γαβανόν τε καὶ Εὐρόπεν, καὶ Περδίκκαν, ἐξ Ἄργες εἰς Μακεδονίαν ἀποδρᾶναι· ἔνθα ἐθήτευον ἐπὶ μισθῷ παρὰ τῷ Βασιλεῖ. Καὶ τέτες, ἀρχὴν μὲν ἱπποφορβεῖν· εἶτα βεκολεῖν· τρίτον δὲ τὰ ἐλάσσω πώεα βόσκειν.

# ΟΜΗΡΙΚΩΝ ΑΡΧΑΙΟΤΗΤΩΝ

## ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

### ΚΕΦΑΛ. Α'.

### Περὶ ἐδωδῆς τῶν πάλαι Ἑλλήνων.

Ἐπὶ τοῦ ἀνωτέρω βιβλίου τὰ δημοτελέστερα διελθοῦσι, περὶ τῶν ἰδιαιτέρων ἐχομένως διαληπτέον: ἐν οἷς πρῶτον, τὸ περὶ σιτήσεώς τε καὶ ἀμφιάσεως. Ἡ μὲν οὖν σίτησις ὑπὸ Ἀριστοτέλους (ἐν τῷ Γ'. Βίβλ. τῶν Ἠθικ: Κεφ. Ι'.) εἰς ὑγράν τε καὶ στερεὰν διανέμεται: εἰς βρῶσιν δηλονότι καὶ πόσιν: ὡς καὶ ὑπὸ Ὁμήρου συνεχῶς (Ἰλ: Α'. ϛ. 469. καὶ Ω'. ϛ. 628. καὶ Ὀδυσ: Α'. ϛ. 150. Καὶ ἐν Ὕμν: τῷ εἰς τὸν Ἀπόλλ: ϛ. 313.) ἐπαναλαμβάνεται, τὸ,

„Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο:

Ἐν μὲν οὖν τῇ βρώσει τὰ πρῶτα φέρει ὁ ἄρτος, ὁ καθ' Ὅμηρον σῖτος: οὕτως, ὥστε καὶ ἀντὶ παντὸς ἐδέσματος ἐκλαμβάνεσθαι, καθάπερ οὖν καὶ παρ' Ἑβραίοις לחם Συνίστατο δὲ ἐκ πυροῦ, ἢ κριθῆς· τὰ γὰρ δύο ταῦτα εἴδη τοῦ σίτου παρ' Ὁμήρῳ συνήθως ἐν χρήσει τί„θεται· Καὶ οὕτω δὴ καὶ Ἡρόδοτος (ἐν Εὐτέρπῃ) ἀπὸ πυρέων καὶ „κριθέων οἱ ἄλλοι ζώουσιν· Αἰγυπτίων δὲ, τῷ ποιευμένῳ „ἀπὸ τούτων τὴν ζωὴν, ὄνειδος μέγιστον ἐστὶν· ἀλλ' ἀπὸ ὀλυ„ρέων ποιεῦνται σιτία, καὶ ζέας μετεξέτεροι καλέουσιν. Εἰώθεσαν δὲ τοὺς ἄρτους φέρειν ἐν Κάνησιν· ἃ δὴ Κανᾶ τε καὶ Κάνεα Ὁμήρῳ καλεῖται. (Ὀδυσ: Α'. ϛ. 147.)

„ Σῖτον δὲ δμωαὶ παρενήνεον ἐν κανέοισιν.

Οὕτω καὶ παρὰ Θεοκρίτῳ ἐν τῷ μικρῷ Ἡρακλεῖ:

„ . . . . . Ἐν κανέῳ μέγας ἄρτος

„ Δωρικός . . . . . . . . . . . .

Ὡσαύτως καὶ Οὐϊργίλιος, (Αἰνειάδ: Α'. ϛ: 705.)

. . . . . . . Cereremque canistris

Expediunt . . . . . . . . .

„ . . . . . . (Κανέοισι δὲ σῖτον

„ Νώμων) . . . . . . . . . . . . .

Δονάτος ἑρμηνεύων: „ Mos enim fertur apud veteres fuisse, ut panis non argenteis vasculis inferretur, sed „ canistris; hoc est specubus factis ex vimine (Ἔθος γὰρ „ εἶναι τοῖς παλαιοῖς λέγεται, οὐκ ἐν ἀργυρέοις σκεύεσι τὸν „ ἄρτον εἰσφέρεσθαι, ἀλλ' ἐν κανέοις· ἤτοι ἐν κυψελίσιν οἰ„ συΐναις.)

Ἑξῆς δὲ προσήγετο τὰ κρέα· ταῦτα δὲ ἦν τὸ πλέον βόεια, προβάτεια, αἴγεια, ὕεια· Τὰ τοιαῦτα καὶ γὰρ ἐπὶ τῶν Ἡρωϊκῶν χρόνων, ἐν χρήσει μόνον ὑπῆρχε· καὶ αὐτὰ δὲ ὀπτά. (Ἀθην: ἐν βιβλ: „ Α'.) Παρετίθεντο δὲ οἱ μεν ἄρτοι σὺν τοῖς κανοῖς, τὰ δὲ „ δεῖπνα, κρέα μόνον ἦν ὀπτά· ζωμὸν δὲ οὐκ ἐποίει Ὅμηρος „ θύων βοῦς, οὐδ' ἧψε κρέα, οὐδ' ἐγκέφαλον· ὤπτα δὲ τὰς „ κοιλίας. Οὕτω σφόδρα ἦν ἀρχαῖος, Ἀντιφάνης φησίν· ἔνθεντοι Σέρβϊος, ἐν τῇ Α'. τῶν Αἰνειάδων: Heroicis temporibus non „ vescebantur carne elixa „ Ἐπὶ τοῖς Ἡρωϊκοῖς χρόνοις· „ οὐκ ἐσιτοῦντο κρέατι ἑφθῷ. ὅθεν φησὶ καὶ Οὐάρωνα γεγραφέναι, τοῖς Ῥωμαίοις κατ' ἀρχὰς ἐν χρήσει γενέσθαι τὰ κρέα ὀπτά· δεύτερον ἑφθά· τρίτον ζωμώδη. Ἀλλὰ γὰρ καὶ τῶν ἑφθῶν ἔτι κρεάτων χρῆσίν τινα γενέσθαι ἐν τοῖς πάλαι χρόνοις, ἐξ Ὁμήρου (Ἰλ: Φ'.

ϛ. 362.) παρασημειοῦται αὐτὸς Ἀθήναιος φάσκων: „Ὅτι δὲ καὶ „ἑφθοῖς ἐχρῶντο κρέασιν, ἐμφανίζει (Ὅμηρος δηλ:) ἐν „οἷς λέγει:

„Ὡς δὲ λέβης ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ πολλῷ
„Κνίσσῃ μελδόμενος ἁπαλοτρεφέος σιάλοιο.

Καὶ εἰς τόδε δὴ φέρει ὁ κατὰ τοῦ Ὀδυσσέως ἐκσφενδονισθεὶς βόειος „ποῦς: πόδα γὰρ βόειον οὐδεὶς ὀπτᾷ.

Ἦν δὲ εἰς Θοίνην αὐτοῖς ἐπιτήδεια τῶν ζώων τὰ τῇ ἡλικίᾳ προήκοντα· καὶ διὰ τοῦτο, φησὶν Ἀθήναιος, παρ᾽ Ὁμήρῳ τοὺς ἰδίους υἱοὺς ἐπεγκαλῶν Πρίαμος κακίζει, ὅτι ὑπῆρχον (Ἰλ: Ω΄. ϛ. 262.)

„Ἀρνῶν, ἠδ᾽ ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.

Πρὸς γὰρ συντήρησιν τῶν ἐπιγεννηθησομένων τόδε ᾠκονομεῖτο· διὸ καὶ παρ᾽ Ἀθηναίοις ἀπηγόρευτο, (καθὰ Φιλόχορος γράφει,) ἄκαρ- „τον ἄρνα ἐσθίειν: Ἀπέκτου ἀρνὸς μηδένα γεύεσθαι, ἐπιλει- „πούσης ποτὲ τῆς τῶν ζώων τούτων γενέσεως. Σύμφωνος δὲ τῷ νόμῳ, καὶ ὁ ὑπὸ Οὐάλεντος ἐν τῷ Ἀνατολικῷ κράτει διαθεσπισθείς: „μήτις μόσχου κρέασι σιτείσθω: τῆς ἐκ τῆς γεωργίας ὠφε- „λείας προμηθουμένου, ὡς φησὶν Ἱερώνυμος: (ἐν Βιβλ. Β΄. τῶν κατὰ Ἰαβιανοῦ)

Ἀλλὰ καὶ ἐκ τῶν ἀγριωτέρων θηρίων τοὺς Ἥρως ἐνίοτε σεσιτῆσθαι πρόδηλον, ἐκ τῆς περὶ τὰ κυνηγέσια συνεχοῦς αὐτῶν σπουδῆς· οὕτως (Ὀδυσ: Ι΄. ϛ. 155.) τοῖς περὶ τὸν Ὀδυσσέα, αἱ Νύμφαι ὦρσαν

„Αἶγας ὀρεσκώους, ἵνα δειπνήσειαν ἑταῖροι.

Καὶ ἐλάφους δὲ ἤσθιον, καὶ ἕτερα τοιαῦτα ζῶα. (Ὀδυσ: Κ΄. ϛ. 180. κξ.) Καὶ πτηνὰ δ᾽ ἐφίλουν εἰς Θοίνην ἀγρεύειν, ἢ πάρεστιν εἰκάζειν ἐκ τῆς Πελείας τῆς ἀπὸ τοῦ ἱστοῦ λεπτῇ μηρίνθῳ πρὸς ἐπίδειξιν εὐτοξίας (Ἰλ: Ψ΄. ϛ. 853.) ἀπηρτημένης. Τὸ δ᾽ αὐτὸ καὶ περὶ τῆς τῶν ἰχθύων ἄγρας ὑποληπτέον, ἐξ ὧν, περὶ τῶν Ὀδυσσέως ἑταίρων (Ὀδ: Μ΄. ϛ. 330.) λέγεται, ὅτι.

„ . . . . Ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ
„ Ἰχθῦς, ὄρνιθάς τε, φίλας ὅτι χεῖρας ἵκοιτο,
„ Γναμπτοῖς ἀγκίςροισι . . . . . . . . .

Ὃ δὴ ἐκ πολλοῦ εἰθίσθαι αὐτοὺς ἐργάζεσθαι ὑπείληφεν Ἀθήναιος. Ἀλλὰ Πλούταρχος ἐν τοῖς αὐτοῦ συμποσιακοῖς προβλήμασιν οἴεται, οὐκ ἄλλως, ἢ ὑπὸ λιμοῦ κατεπείγοντος, πρὸς αἰτίαν ἐκείνους ἐπιςραφῆναι: ἐπεὶ τῆς ἰχθυοφαγίας κατ᾽ ἐκεῖνο τοῦ χρόνου οἱ ἄνθρωποι ἐτύγχανον ἀπεχόμενοι, ὡς ἐπὶ λιχνείαν συντελούσης. Οὐδαμοῦ γὰρ τῷ ὄντι συνορῶμεν, ἰχθῦς ἐπὶ τῶν Ἡρωϊκῶν παρατεθειμένους, καί τοι παρὰ τὸν Ἑλλήσποντον παρεμβαλόντας, ὃν ἰχθυόεντα Ὅμηρος ἀποκαλεῖ: ὃ δὴ καὶ Πλάτων παρατετήρηκε. (Βιβλ. Γ΄. τῶν περὶ πολιτ:) ἐπὶ ςρα„τιᾶς ἐν ταῖς τῶν Ἡρώων ἑςιάσεσιν, οὔτε ἰχθῦσιν αὐτοὺς „ἑςιᾷ· καὶ ταῦτα ἐπὶ θαλάττῃ ἐν Ἑλλησπόντῳ ὄντας· „οὔτε ἑφθοῖς κρέασιν, ἀλλὰ μόνον ὀπτοῖς.

Τὴν τοῦ γάλακτος χρῆσιν Ὅμηρος ἰδίᾳ συνήθη παρέςησε τοῖς ἱππομολγοῖς, οὓς καὶ γαλακτοφάγους τούτου γε ἕνεκα ὀνομάζει· (Ἰλ. Ν΄. ς. 6.) Καὶ τόν γε Πολύφημον μετὰ τὰ ἀνδρόμεα, ἃ κατεδήδοκε κρέα, ἐπιπίνοντα ἐποίησεν ἄκρητον γάλα (Ὀδυσ. Ι΄. ς. 297.) Ὅμοια γράφει καὶ Θεόκριτος (ἐν Εἰδυλ. ΙΑ΄.) ὡσαύτως δὲ καὶ ἡ Κίρκη παρέθηκε τοῖς περὶ τὸν Ὀδυσσέα, (Ὀδ. Κ΄. 234.)

„ . . . Τυρόν τε, καὶ ἄλφιτα, καὶ μέλι χλωρὸν· ἅτινα καὶ „ οἴνῳ πραμνείῳ ἐκύκα . . . . . . . Ὃν δήπου τρόπον, καὶ ὁ Νέςορος κυκεὼν συνετέθη· περὶ οὗ (Ἰλ. Λ΄. ς. 638.) Καὶ ὀπωρῶν δὲ, καὶ λαχάνων γενέσθαι τοῖς Ἥρωσι χρῆσιν, εὔδηλον, ἐξ ὧν ὁ Νέςωρ ἐκέλευσε παρατεθῆναι. (Ἰλ. Λ΄. ς. 229.)

„ Χάλκειον κάνεον· ἐπὶ δὲ κρόμυον ποτῷ ὄψον·
„ Ἠδὲ μέλι χλωρὸν . . . . . . . . . .

Καὶ Ὀδυσσεὺς δ' ἔφασκεν ὁμοίως δοθῆναι οἱ παρὰ Λαέρτε τῆ πατρὸς, παιδὶ ὄντι (Ὀδυσ. Ω΄. ϛ. 339.) „Ὄγχνας τε καὶ μηλέας. Διὸ καὶ τῷ Ἀλκινόε ὀρχάτῳ τὰ πεφυτυμένα ἐπαινεῖται. (Ὀδ. Η΄. ϛ. 115.)

„ Ὄγχναι, καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι,
„ Συκαί τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι.

Καὶ τῷ Ταντάλῳ δ' εἰν Ἀΐδε, (Ὀδ: Λ΄. ϛ. 588.) Παρῆν θεάσασθαι τὰ παραπλήσια, ἐξ ὧν Ἀθήναιος (ἐν Βίβλ. Α΄.) πρὸ τῶν Τρωϊκῶν ἔτι χρόνων τὴν τῶν ὀπωρῶν χρῆσιν γενέσθαι εἰσβάλλει. Ἡ δέ τοι χρῆσις τῶν μήλων ἐξόχως πολλή τις ἦν, ἐν αἷς τραπέζαις δευτέρας κα„λῦσιν. Ὅθεν καὶ Σερβῖος: Δισσὰς (φησὶν) εἶχον τραπέζας τὴν μὲν „κρεῶν, τὴν δὲ μήλων: Duas habebant menſas; unam carnis, alteram pomorum. Ἀλλ' ἔκυν αὐτὰς Ὅμηρος τοῖς Ἥρωσι παρατίθησι: καί τοι γε, ἐξ ἀρχαιοτάτων χρόνων, τὸ κατ' αὐτὰς ἔθος ἐπικρατῆσαι Ἀθήναιος διατείνεται (ἐν Βιβλ. ΙΔ΄.)

Τελευταῖον καὶ ἡ τῶν ἁλῶν χρῆσις, ἐφ' οἱασῦν σιτήσεως μεγάλη τις ἦν· διὸ καὶ τὸ ἅλας Ὅμηρος ἐκθειάζων, θεῖον ἀποκαλεῖ (Ἰλ. Ι΄. ϛ. 214.) Καὶ ὁ Πλάτων δ' ἐν τῷ Τιμαίῳ θεοφιλὲς· παρεσημειώσατο δὲ τῦτο καὶ Πλύταρχος (συμποσ. προβλ. Βιβλ. Ε΄. Κεφ. Θ΄.) καὶ τὸ ἔθος τῆς χρήσεως „διὰ πλειόνων ἐπαινῶν, προστίθησι: Κινδυνεύυσι γὰρ οἱ ἅλες τῶν „ἄλλων ὄψων, ὄψον εἶναι καὶ ἥδυσμα· ὐδέ γε ἧττον εἶναι „τῇ ὠφελείᾳ, φωτός τε, καὶ ὕδατος, καὶ γῆς. Διὸ καὶ τοῖς παλαιοτάτοις Ἕλλησιν ἀεὶ τὸ ἅλας συνεμέμικτο τῇ τραπέζῃ, ὃ καὶ ἐκ τῆς παροιμίας δῆλον: τῆς, ἅλα καὶ τράπεζαν μὴ παραβαίνειν ἐγκελευύσης. Ἐκ δὲ δὴ τύτυ, καὶ τὺς πιεζομένυς ἐνδείᾳ εἴρηται: ἅλα λείχειν· ἤτοι (ὡς ὁ Πέρσιος φησὶ .... Digito terebrare ſalinum, Δακτύλῳ τρυπᾶν τὸ ἁλοδοχεῖον. Ἀλλ' ἔςι ση-

μειώσεως ἄξιον τὸ Ὁμήρῳ ῥηθέν: (Ὀδυσ. Λ. ς. 122.)
„ . . . . . . Οὐδέ θ᾽ ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν: οὓς ὁ Παυσανίας εἶναι βούλεται τοὺς Ἠπειρώτας: τοὺς ὡς ἀπαιδεύτους κατ᾽ ἐκεῖνο τοῦ χρόνου, καὶ εὔχεσθαι ἀγνοοῦντας ἐπίσης, καὶ χρῆσθαι ἅλατι.

## ΚΕΦΑΛ. Β΄.

## Περὶ τῆς πόσεως.

Ποτὸν τὸ πάντων πρώτιστον ἐστὶ τὸ ὕδωρ, ὃ κοινὸν ἅπασι τῆς ζωῆς μετέχουσιν ἡ φύσις ἐπήρκεσεν. Ἐν μὲν οὖν (Ἰλιάδ. Β΄. ς. 825.) οἱ Τρῶες „εἴρηνται: πίνειν ὕδωρ μέλαν Αἰσήποιο. Καὶ Πίνδαρος περὶ τῶν „Θηβῶν τῆς πατρίου αὐτῷ γῆς ἣν ᾄδων: (Ὀλυμπ. ς΄.) τᾶς ἐρατει-„νὸν ὕδωρ πίομαι· ὃς κἀν τῇ Α΄. τῶν ᾠδῶν τὸ ὕδωρ ἐξύμνει, ἁπάντων λέγων εἶναι τὸ ἄριστον.

Προσελήφθη ἐξ ἐπινοίας ἀνθρωπίνης ὁ οἶνος, οὗπερ ἡ χρῆσις πλείστη ἐγένετο καθ᾽ Ὅμηρον· ἀεὶ τῷ σίτῳ συζευγνῦντα τὸν οἶνον, τό γὰρ „μένος ἐστὶ καὶ ἀλκή, φησὶν Ὀδυσσεύς, τὸ ἐξ ἀμφοῖν ἐπάναγκες ὂν τῷ βίῳ ἐπισυνιστῶν: (Ἰλ: Ι΄. ς. 702. καὶ Τ΄. ς. 161.) Οὐ μόνοι δ᾽ οἱ ἄνδρες, ἀλλ᾽ ἔτι καὶ αἱ θήλειαι, καὶ νεάνιδες οὖσαι, οἴνῳ ἐχρῶντο, ὡς δῆλον ἐκ τῆς Ναυσικάας, καὶ τῶν σὺν αὐτῇ παιδισκῶν (Ὀδυσ. Ζ΄. ς. 77.) Οὐ κατ᾽ ἔθος δηλονότι τόδε τὸ τῶν Ῥωμαίων, καὶ ἐθνῶν ἄλλων, παρ᾽ οἷς οὐκ ἦν θέμις γυναιξὶν οἴνου γεύεσθαι· ὡς Ἀθήναιος μαρτυρεῖ (ἐν Βιβλ. Ι΄.) ὁ καὶ τὰς Ἑλληνίδας μέθης καταμεμφόμενος. Τὸ δ᾽ ἔτι μᾶλλον, ὅτι καὶ τοῖς νηπίοις Ἕλληνες προπίνειν εἰώθεσαν, ὡς τῷ Ἀχιλλεῖ ὁ Φοίνιξ.

(Γλ' Ι'. ϛ. 485.) ὅπερ ἦν ἀπαρέσκον τῷ Πλάτωνι (ἐν τῷ Β'. τῶν Νομ.) „ διαγορεύοντι: Παῖδας μέχρις ἐτῶν ὀκτὼ καὶ δέκα, οἴνου τὸ „ παράπαν μὴ γεύεσθαι, μετὰ δὲ, γεύεσθαι μὲν, μὴ μεθύσ- „ κεσθαι δέ.

Ἐν ἀσκῷ αἰγείῳ ἔχειν τὸν οἶνον τὰ πολλὰ ἦν ἔθος τοῖς Ἕλλησιν. Γλ. (Γ'. ϛ. 247. καὶ Ὀδ. Ζ'. ϛ. 78.) Ὃ καθ' ἡμᾶς ἔν τε Ἱσπανίᾳ καὶ ἐν ἄλλαις ἐκείνῃ ἀρχιτέρμοσι χώραις κρατεῖ. Ἄλλως τε γὰρ, καὶ Πίθοι παλαιοῦ οἴνου πλήρεις ἐν τῷ Ὀδυσσέως ταμείῳ ἐτηροῦντο: Ὀδυσ. Β'. ϛ. 340.)

„ Ἐν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο
„ Ἕστασαν, ἄκρητον, θεῖον ποτόν.

Τοιοῦτος ἦν ὁ οἶνος τοῦ Νέστορος, ὁ ἑνδεκέτης ἐκεῖνος (Ὀδυσσ: Γ'. ϛ. 391.)

„ Τοῖς δ' ὁ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρα κέρασσεν
„ Οἴνου ἡδυπότοιο, τὸν ἑνδεκάτῳ ἐνιαυτῷ
„ Ὤϊξε ταμίη, καὶ ἀπὸ κρήδεμνον ἔλυσε.

Πολλοῦ γὰρ Ἕλλησιν ἐτιμᾶτο τοῦ οἴνου ἡ παλαιότης, ὡς ἐκ τοῦ „ Πινδάρου δῆλον ὑμνοῦντος: παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων „ νεωτέρων. Καὶ Ἀθήναιος δὲ (ἐν Βιβλ. Α'.) τὸν παλαιὸν οἶνον οὐχ ὅπως πρὸς ἡδονὴν, ἀλλὰ καὶ πρὸς ὑγίειαν οὐδὲν ἧσσον συντελεῖν ἀποφαίνεται· ἐξαιρέτως δ' ὁ μέλας οἶνος φημίζεται παρ' Ὁμήρῳ, ἁπανταχοῦ τὸν αἴθοπα οἶνον ἐπιλέγοντι. Δυναμικώτερος γάρ ἐστι, „ καὶ μένων ἐν ταῖς ἕξεσι τῶν πινόντων, πλεῖστον χρόνον, φησὶν Ἀθήναιος. Τοιοῦτος δὴ ὁ Μαρώνειος οἶνος, ὃν Ὅμηρος ὑπὲρ „ τοὺς ἄλλους ἐξαίρει: (Ὀδυσ: Ι'. ϛ. 205. — 209.) Ἡδὺν, ἀκη- „ ράσιον, θεῖον ποτὸν „ ἐγκομιάζων· οὗτινος ἓν δέπας, μέτροις εἴκοσιν ἀνεκεράννυτο ὕδατος. Τούτου δὴ τοῦ οἴνου καὶ Πλίνιος μέμνηται,

τιμιώτατον καὶ ἐπ' αὐτȣ̃ γεγονέναι φάσκων. (Βιβλ. ΙΔ'. Κεφ. Δ'.) Α'λλὰ καὶ τὸν Πράμνιον οἶνον ὁ Ποιητὴς ἐπαινεῖ: (Ι'λ. Λ'. ϛ. 638. καὶ Ο'δυσ. Κ'. ϛ. 235.) ὃν ὁ ῥηθεὶς Συγγραφεὺς, ἐν Σμύρνῃ φύεσθαι καθιςορεῖ, ἐγγὺς τȣ̃ εἰδωλείȣ τῆς μητρὸς τῶν Θεῶν, ὥςε καὶ καθ' ȣ̃ς αὐτὸς Χρόνȣς ἐβίȣ, τὸν οἶνον διὰ τιμῆς φέρεσθαι.

Εἰώθεσαν ȣ̃ν τὸν οἶνον, τὰ πλεῖςα ὕδατι ἐνακεραννύειν ἐν τῷ κρατῆρι, ὡς ἰδεῖν ἐςὶν: (Ο'δυσ. Α'. ϛ. 110.)

„ Οἱ μὲν ἄρ' οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ.

Ε'ξ ȣ̃ καὶ τὰ τοιαῦτα σκεύη ȣ̃τως ὠνόμασαι ἀπὸ τῆς γινομένης κράσεως, ἣν δὴ παραγωγὴν τȣ̃ ὀνόματος Ο'μηρος μὲν συχνάκις αὐτὸς „ ἀναφέρει, Α'θήναιος δὲ (ἐν τῷ Ε'. Βιβλ.) ἐπιβεβαιοῖ. Οἱ δὲ κρα„ τῆρες αὐτοῖς, ὥσπερ ἔχει καὶ τȣ̃νομα, κεκραμένοι πα„ ρέςησαν· ȣ̃ς δὴ κρατῆρας ἐπειδὴ τῷ οἴνῳ ἐπέςεφον, ἐπιςεφέας οἴνοιο, ὁ Ποιητὴς ὀνομάζει. (Ι'λ. Θ'. ϛ. 232. καὶ Ο'δ. Α'. 149. καὶ ἀλλαχȣ̃ πολλ:)

„ Κȣ̃ροι δὲ κρητῆρας ἐπεςέψαντο ποτοῖο.

Οὕτω καὶ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ. Γ'. ϛ. 525.) Α'γχίσης·

. . . . . . . . . . . . Magnum cratera corona
Induït, implevitque mero . . . . . . . . . . . . .

„ Εὐρὺν δ' Α'γχίσης γενέτης κρητῆρα ςέψε
Πλῆσέ τε οἴνȣ. . . . . . . . . . . . . . .

Α'μέλει τοι ȣ̃τω μέχρι τȣ̃ χείλȣς τὸν κρατῆρα ἐπλήρȣν, ὡς οἷον ἐςέφθαι δοκεῖν τὸ σκεῦος, καθάπερ Α'θήναιος (ἐν Βιβλ. Α'.) διερμη„ νεύει. Ε'πιςέφονται δὲ ποτοῖο οἱ κρατῆρες, ἤτοι ὑπερχει„ λεῖς οἱ κρατῆρες ποιȣ̃νται, ὥςε διὰ τȣ̃ ποτȣ̃ ἐπιςεφα„ νȣ̃σθαι· οἷς προςίθησιν, ὅτι καὶ ἐπ' αἰσίῳ τινὶ συναντήματι, ἢ μετά γε τὸ ἀπαισίȣς ἐπιαυμβὰν, οἱ Ἥρωες τίδ' ἐποίȣν.

„ Καὶ ταῦτα ἔπρασσον πρὸς οἰωνȣ̃ τιθέμενοι.

Α'πὸ τῶν κρατήρων εἰς τὰ ποτήρια ὁ οἶνος ἐνεχεῖτο. Ο'δυσ. Ι'. ϛ. 9.)

„ . . . . Μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
„ Οἰνοχόος φορέῃσι, καὶ ἐγχέῃ δεπάεσσιν.

Ἦν δὲ τὰ ποτήρια ποικίλα καὶ ὕλῃ, καὶ χήματι, περὶ ὧν Ἀθήναιος (ἐν τῷ ΙΑ'. Βιβλ:) ἀκριβῶς πραγματεύεται. Φησὶ δὲ καὶ τοὺς παλαιοὺς ἐν κέρασι πεπωκέναι βοείοις. Ὅθεν καὶ ὁ Βάκχος κερατοφυὴς ἐξεικόνισται· καὶ ὁ Κρατὴρ ὑπὸ πολλῶν, οὕτως εἰρῆσθαι νομίζεται, οἷον Κερατὴρ· τούτου δὲ δείγματα παρὰ τοῖς ἀρχαιοτάτοις τῶν Συγγραφέων φέρεται πλεῖστα. Μετὰ δέ, καὶ χρυσοῦν, καὶ ἀργυροῦν, ἐπὶ τῇ τοιᾷδε χρήσει παρεσκευάσθαι δέπας, ὡς παρ' Ὁμήρῳ πολλαχοῦ φαίνεται ἐν ταῖς τῶν Ἡρώων ἑστιάσεσιν. Ὀψιαίτερον δ' οὖν ἀν' Ἑλλάδα εἰσενεχθῆναι Ἀναξιμένης φησὶν ὁ Λαμψακηνὸς (ἐν ταῖς πρώταις ἐξιστορήσεσιν.) Ἔνθα Ἐρίφυλος διέξεισιν, Ὁρμίσκον χρύσεον ἐπιθρυλληθῆναι, ὅτι πολλὴ τὸ τηνικαῦτα ἦν ἡ τοῦ χρυσοῦ ἀπορία παρ' Ἕλλησιν, ὅτε καὶ ἀργυροῦν κύπελλον, κατ' ἐκεῖνο τοῦ χρόνου, οἷόν τι καινὸν καὶ ἀήθες, οὐκ ἄνευ θαύματος ἑωρᾶτο. Ἀλλ' ἐξ οὗπερ οἱ Βοιωτοὶ τοὺς Δελφοὺς κατεπέσχον, ἅπαντα τὰ τοιαῦτα ἐν ἀφθονίᾳ μετεξεγένετο, καὶ γὰρ οἱ πρότερον νομιζόμενοι πλουσιώτατοι ἐν δέπασι χαλκείοις ἐτύγχανον πίνοντες, ἐν χαλκοθήκαις, ὡς ἀπεκάλουν, ἀποταμιευομένοις. Εἰώθουν δὲ τὰ ἴδια κύπελλα, ποικίλοις ἐμβλήμασιν ἐπισημαίνειν καὶ περικοσμεῖν· οὗ δεῖγμα ἐν τῷ τοῦ Νέστορος κισσυβίῳ ἐκείνῳ πρόκειται. (Ἰλ: Λ'. ς 632.) Οὕτως Ἡρόδοτος ὁ Ἡρακλεώτης γράφει, χρυσῆν φιάλην τῷ Ἀτρεῖ ὑπάρξαι, ἧς ἐν τῷ μέσῳ γέγραπτο εἰκόνιον ἀμνοῦ. Γνωστὸν δὲ κἀκεῖνο τὸ Δάφνιδος τοῦ αἰπόλου Κισσύβιον, τὸ πολλοῖς εἴκοσι παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: Α'.) κατηγλαϊσμένον· καὶ μὴν καὶ τὸ ἀργύρεον ποτήριον, τὸ ὑπὸ Ἀνακρέοντος περιγραφόμενον.

Τὰ μὲν οὖν τῶν Ἡρώων ποτήρια εὐρυχανδέστερα ἦν, ὡς τὸ τοῦ Νέστορος, ὃ μόλις πού ἄν τις, καὶ νεώτερος ἄν, ἐβάστασε. Κἀκεῖνο δέ, ὃ

τρὶς ἀπαφύσσας ὁ θηριώδης Κύκλωψ παρέσησεν. Ὁσάκις δ᾽ ἐν προπόσεσιν ἐνεχόλαζον, ποτήρια μείζονα, καὶ ταῦτα ζωρότερα ἐζητοῦντο. Οὕτως Ἀχιλλεὺς τοὺς διαπρεσβεύοντας ὑποδεξάμενος, (Ἰλ: Ι. ς. 202.)

„Μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱὲ καθίςα,

„Ζωρότερον δὲ κέραιρε· δέπας δ᾽ ἔντυνον ἑκάςῳ.

Ὅπερ οὖν οἱ ὕςερον Ἕλληνες ἐκάλουν: τὴν μείζονα αἰτεῖν: „(δηλ: κύλικα) Ἄλεξις δὲ, κυάθους προπίνων εἴκοσιν, ἴσον „ἴσῳ, πάλιν τὴν μείζω ἤτει. Ἔνθα καὶ τὸ Κικέρωνος ἀνήκει ἐκεῖνο, in Verrem: fit fermo inter eos et invitatio, ut Graeco more biberetur; pofcunt majoribus poculis. „Γίγνεται δ᾽ ἐν αὐτοῖς λόγος, καὶ πρόσκλησις, τοῦ κατὰ „Γραικοὺς πιεῖν, ἀπαιτοῦσι δ᾽ ἐν δεπάεσι μείζοσιν. Ἐχρῶντο δὲ προσέτι Ἕλληνες καὶ ἀκράτῳ, μηδὲν τὸ παράπαν ὕδατος ἐπιμιγνῦν- „τες. Σώφιλος παρ᾽ Ἀθηναίῳ (ἐν Βιβλ: Ι.) συνεχὴς ἄκρατος „ἐδίδοτο, ἴσον ἴσῳ, πάλιν τὴν μείζον᾽ ἤτησεν. Οὐδ᾽ ἐλλείπουσιν οἱ τὸ ζωρότερον ἐκεῖνο τὸ Ἀχίλλειον, διερμηνεύοντες ἄκρατον: ὡς καὶ αὐτὸς ἐκδιδάσκει ὁ συγγραφεύς. Ἧπου δ᾽ ὅτι, ἐν τοῖς παλαιοῖς Ἥρωσιν ἐκείνοις, ἐγένοντο οἱ ἀφειδέςερον περὶ τὸν οἶνον ἀπαχολούμενοι, ἐςὶ παρ᾽ Ὁμήρῳ πλειςαχοῦ πάρεςιν ἰδεῖν, καί τοι τόγε μεθύσκεσθαι οἱ αὐτοὶ εἶχον εἰς ὄνειδος.

## ΚΕΦΑΛ. Γ΄.

## Περὶ καιροῦ σιτήσεως.

Πολλαπλοῦς ἦν καὶ ποικίλος ὁ τῆς τροφῆς λόγος τοῖς παλαιοῖς παρ᾽ Ὁμήρῳ Ἥρωσι· πλεῖν γὰρ ἢ ἅπαξ τῆς ἡμέρας σιτεῖσθαι εἰώθεσαν. Ὁ μὲν Ὅμηρος Ἀρίςου μνημονεύει, καὶ δείπνου, καὶ δόρπου, δι᾽ ὧν

τοσάσδε διασημαίνει σιτήσεις: τὴν μὲν πρωΐας, τὴν δὲ μεσημβρίας, „τὴν δὲ ἑσπέρας, γινομένας. Καὶ ἄριςον μὲν ἐςὶ τὸ ὑπὸ τὴν ἕω „λαμβανόμενον· δεῖπνον δὲ τὸ μεσημβρινὸν, ὃ ἡμεῖς φαμὲν „ἄριςον· δόρπον δὲ τὸ ἑσπερινὸν, φησὶν Ἀθήναιος (Βιβλ. Α΄.) „Οὕτω δὲ διατεταχέναι ἔοικε καὶ Αἰσχύλος, ἐν οἷς εἶπε: Σῖτον δ' εἰ-„δέναι διώρισα· Ἄριςα, Δεῖπνα, Δόρπα θ' αἱρεῖσθαι τρίτα. Ἐγένοντο δὴ καὶ οἱ τέταρτον ἔτι προστιθέμενοι, τὸ λαμβανόμενον μετὰ μεσημβρίαν, ὅπερ ἑσπέρισμα Φιλήμων ὠνόμασε: merendam δὲ αἱ Λατῖνοι καλοῦσι, τῷ Ὁμηρικῷ ἐκείνῳ: (Ὀδ: Ρ΄. ς. 599.) προσερειδόμενοι:

„ . . . . . . Σὺ δ' ἔρχεο δειελιήσας.

Ἀλλ' ὀρθότερον Ἀθήναιος (ἐν Βιβλ. Ε΄.) Οὐ νοοῦντες (λέγων) „ὅτι λέγει, τὸν δειλινὸν διατρέψας χρόνον: ὥςε εἶναι τὸν νοῦν τοῦ ἔπους, οὐκοῦν ὡς ἂν προδειπνήσῃς τὸ δειλινὸν σιτισθεὶς, ἀλλ' ὡς ἂν ἄχρι πρὸς δύσιν ἡλίου, ἡμῖν συνδιατρίψῃς.

Ὁ αὐτὸς δ' οὖν Συγγραφεὺς παρατηρῶν ἐςὶ, μηδένα παρ' Ὁμήρῳ „φαίνεσθαι τὸν τῆς αὐτῆς ἡμέρας, τρὶς ἐπισιτησάμενον: Ὅμως δὲ „οὐδεὶς δείξει παρὰ τῷ Ποιητῇ τρὶς τινὰ λαμβάνοντα „τροφάς. Ἐν καιροῖς μόνον ἄλλοις ὑπ' ἄλλων παρίςαται τόδε γενέσθαι, Ἐν δὲ πολέμῳ τὰ πολλὰ δεῖπνον ἦν μόνον καὶ δόρπον. τὸ μὲν, πρωϊαίτερον πρὸ τῆς μάχης· τὸ δὲ νυκτὸς ἐπικαταλαβούσης, ὡς πανημερίων ἐν ὅπλοις τῶν πολεμιςῶν ὄντων. Οὕτως (Ἰλ: Β΄. ς. 381. καὶ 385.) Ἀγαμέμνων τοὺς Ἀχαιοὺς εἰς πόλεμον ἐποτρύνων:

„ Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα,
„ Ὥς κε πανημέριοι ςυγερῷ κρινώμεθ' Ἄρηϊ.

Τῆς νυκτὸς δ᾽ ἐπελθέσης τὰ τῆς συμβολῆς κατεπαύετο. Παραπλησίως δὲ καὶ Ἕκτωρ τὲς ἰδίες κελεύει ἀπὸ τῆς μάχης σιτήσασθαι: (Ἰλ: Θ΄. ϛ. 502.)

„ Ἀλλ᾽ ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,
„ Δόρπα τ᾽ ἐφοπλισόμεσθ᾽. . . . . . . .

Ἀλλὰ γὰρ λιτή τις ἦν, καὶ σμικρὰ παρ᾽ Ἕλλησι πάλαι ἡ ἐφ᾽ ἡμέρας σίτησις, ἐπ᾽ ἄρτῳ ἐν ἀκράτῳ ἐμβαπτομένῳ τῶν πλειόνων ἐπαρ„κεμένων, ὡς ἐςὶ παρὰ Πλετάρχῳ μαθεῖν (Συμποσιακ: Η΄.) φασὶ „γὰρ ἐκείνες, ἐργατικὲς ἅμα καὶ σώφρονας ὄντας, ἕωθεν „ἐσθίειν (ἄρτον) ἐν ἀκράτῳ, καὶ μηθὲν ἄλλο· διὰ τῦτο μὲν „ἀκρατισμὸν καλεῖν, διὰ τὸ ἄκρατον. Ἕτεροι δὲ ἐλαίαις, καὶ μέλιτι, καὶ τοῖς τοιέτοις ἀπεχρῶντο εἰς ἄριςον, ᾗ Γαληνὸς μαρτυρεῖ (ἐν Βίβλ. ϛ΄.) περὶ τῦ τὴν ὑγίειαν ἐνδιασώζειν, ὡς ἐντεῦθεν καὶ τὴν συνήθη παροιμίαν παρ᾽ Ἕλλησι προενεχθῆναι: Δεῖπνον ἀφελὲς, ἄριςον ἄπυρον. Ὡσαύτως δὲ καὶ τὲς Ῥωμαίες διαβιῦν διδάσκει Πλίνιος (ἐν Βιβλ. Γ΄. τῶν ἐπιςολ:) Poſt cibum, quem interdiu levem et faci„lem, veterum more ſumebat; (Μετά γε τὴν τροφὴν, „ἣν ἐφ᾽ ἡμέρας κέφην τε καὶ ῥαδίαν, κατὰ τὸ τῶν ἀρχαίων „ἔθος, ἐλάμβανε.) Καὶ ὁ Κικέρων (ἐν τῷ Ε΄. τῶν Τεσκελ:) „Non placet bis indie ſaturum fieri (ἐκ ἀγαπητὸν δὶς „τῆς ἡμέρας ἐπικορέννυσθαι.) Ὁ δὲ Πλέταρχος (ἐν τῷ Η΄. τῶν Συμποσιακ:) ἐπιβεβαιοῖ τὲς πάλαι Ῥωμαίες καθ᾽ ἑαυτὲς ἀριςᾷν, δειπνῆν δὲ δαψιλῶς, δαιτυμόνας συμπαραλαβόντας. Καθ᾽ „ἑαυτὲς γὰρ ἠρίςων ἐπιεικῶς οἱ πάλαι Ῥωμαῖοι, συνδει„πνῦντες τοῖς φίλοις. Ὅθεν καὶ Coena Λατινιςὶ (Κοινὴ) εἴρηται, ἡ κατὰ τὸ δεῖπνον σίτησις, διὰ τὴν κοινωνίαν τῶν συνεςιωμένων, ὡς Ἰσίδωρος (ἐν Βιβλ: Κ΄. Κεφαλ: Β΄.) ἑρμηνεύει. Καὶ τὸν

αὐτὸν δὲ τρόπον καὶ τοὺς παλαιοὺς τῶν Ἑλλήνων, τὸ ἑσπέρας μάλιστα συμποσιάζειν, ἐξ αὐτοῦ Ὁμήρου κατάδηλον· οὗ χάριν καὶ Δεῖπνα ὕστερον τὰ συμπόσια εἴρηται, οἷον εἰπεῖν διαπεπονημένα.

## ΚΕΦΑΛ: Δ.

## Περὶ Συμποσίων.

Ἐπὶ τοῖς συμποσίοις οἱ πάλαι Ἕλληνες, τῆς εὐημερίας μέρος ἐτίθεντο, οὐχὶ τὸ ἐλάχιστον, ὅπερ Ὅμηρος ἐμφαίνει μυριαχοῦ, ἰδίᾳ δὲ ἐν τῇ Ι. Ῥαψῳδίᾳ τῆς Ὀδυσσείας· ἔνθα Ὀδυσσεὺς παρὰ τοῖς Φαίαξιν εὐωχούμενος, οὐδέν τι κάλλιον φησὶν, οὐδ' ἥδιον αὐτῷ δοκεῖν, ἢ ἐπὶ δαιτὸς οἴνου τε καὶ ἐδεσμάτων πληθούσης συνεστιᾶσθαι. (Λ'υτ: ς. 5. καὶ 11.)

„ Οὐ γὰρ ἔγωγέ τε φημὶ τέλος χαριέστερον εἶναι —
„ Τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

Τρία δὲ γένη συμποσίων, τοῖς παλαιοῖς ὄντα συνήθη, ὑπὸ Ὁμήρου προτίθεται: (Ὀδυσ: Α'. ς. 225.) ἔνθαπερ Ἀθήνη εἰς τὸν Ὀδυσσέως οἶκον παραγενομένη, ἐν οἱ Μνηστῆρες εὐωχούμενοι ἐπικατεῖχον, ἐκπυνθάνεται,

„ Τίς δαίς; τίς δὲ ὅμιλος ὅδ' ἔπλετο; τίπτε δέ σε χρεώ;
„ Εἰλαπίνη, ἠὲ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν.

Τοῦτο δὴ, ὅπερ ἐπανείληπται καὶ Ὀδυσ: Λ'. ς. 414.) Ἔνθ' Ἀγαμέμνων διέξεισιν ἀποκτανθῆναι οἱ τοὺς ἑταίρους, ὡς σύας ἀργιόδοντας:

„ Οἵ ῥά τ' ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο,
„ Ἢ γάμῳ, ἢ ἐράνῳ, ἢ εἰλαπίνῃ τεθαλυίῃ.

Καὶ ἔρανος μὲν, κατὰ τὸν Σχολιαςὴν λέγεται, τὸ ἐκ συμβολῆς δεῖπνον: Coena, quae fiebat a fymbolarum collatoribus (ὡς Πλαῦτος Λατινιςὶ παραφράζει) ὅτε τῶν συμποσιαςῶν ἕκαςος κατ' ἄνδρα, συνεβάλλοντο ἐπὶ τῇ ἑςιάσει. Οὕτω γὰρ „Ἀθήναιος (ἐν Βιβλ: Η.) Ἔρανοι εἰσὶ, φησὶν, αἱ ἀπὸ τῶν „συμβαλλομένων εἰσαγωγαὶ, ἀπὸ τȣ̃ συνεραν, καὶ συμφέ„ρειν ἕκαςον. Ἦν δέ τι λιτὸν καὶ μέτριον, τὸ τοιόνδε γένος τȣ̃ „συμποσίȣ, ὡς ἐκ τȣ̃ ὑπ' Ἀθήνȣς ῥηθέντος συμβαλεῖν ἔπεςιν, ἥτις ἐκ τῆς παρασκευῆς τε καὶ δαψιλείας τῆς ἐπὶ τῇ τῶν μνηςήρων πανδαισίᾳ, εἰκάζειν εἶχε ταύτην μὴ εἶναι ἔρανον. Καὶ Ἀριςοτέλης δὲ (ἐν Δ'. Βιβλ: τῶν Ἠθικ: Κεφ. ς'.) ἀνδρὸς προτιθεὶς παράδειγμα, „ἧττον μεγαλοπρεπȣ̃ς, φησίν: Οἷον ἐρανιςὰς γαμικῶς ἑςιῶν, ἤτοι, ὡς ἐκ συνεισφορᾶς τῶν συνευωχȣμένων τὴν γαμικὴν πανδαισίαν ἐπιτελῶν· τοιγαρȣ̃ν τὰ λοιπὰ δύο γένη, πολυτελέςερα ἦν καὶ δαπανηρότερα, ἑνὸς καὶ μόνȣ ἐπαναλίσκοντος. Ταῦτα δ' ἐτελεῖτο, ἤτοι ἐπὶ γάμȣ, ἢ διά τι ἕτερον. Κἀκεῖνο μὲν ὁ Ποιητὴς ἀποκαλεῖ γάμον, τȣ̃το δὲ εἰλαπίνην. Εἰς ὅπερ ἀνακτέον, καὶ ὃ ἐλέγετο τάφος, ὥσπερ εἴρηται.

Ἑςιάσεων τὸ πάλαι διαφερόντως ἐπίσημος ἦν, ἧς ἡ ἀφορμὴ ἦν „ὡς ἐκ τῆς θρησκείας, καθὰ διδάσκει Ἀθήναιος (ἐν Βιβλ. Ε'.) Πᾶσα δὲ „συμποσίȣ συναγωγὴ παρὰ τοῖς ἀρχαίοις, τὴν αἰτίαν „εἰς Θεὸν ἀνέφερε· καὶ ςεφάνοις ἐχρῶντο τοῖς οἰκείοις τῶν „Θεῶν, καὶ ὕμνοις, καὶ ᾠδαῖς. Διὸ ȣ̓δὲν παρ' Ὁμήρῳ, ἐν ᾧ Θεοῖς ἱερὰ ȣ̓ τελεῖται. Εἴτι δὲ σφαγιάζεται, ἀεί τι μέρος τηρεῖται, τῶν τȣ̃ Ζώȣ, τοῖς Θεοῖς ἐπιθυμιατέον· ἐξ οὗ καὶ ἱερεῖον τὸ θῦμα εἴρηται, καὶ τὸ τȣ̀ς θύοντας ἱερεύειν: οἷάπερ συνήθως Ὅμηρός τε, καὶ τῶν συγγραφόντων οἱ λοιποὶ φράζȣσιν. Ὅλως δὲ, καὶ ἐπὶ παντὸς ἄλλȣ βρώματος παρατηρȣ̃ντα τὸν Ὅμηρον συνορῶμεν, τὸ τοῖς Θεοῖς πρὸ „πάντων προσάγεσθαι: τȣτέςι κατ' Ἀθήναιον (Βιβλ. Δ'.) τὰς τῶν „βρωμάτων ἀπαρχὰς νέμειν Θεοῖς, Οὕτω καὶ Ὀδυσσεὺς ἐποίησεν, ἐγααθειρχθεὶς συνάμα τοῖς ἑταίροις ἐν τῷ σπηλαίῳ τȣ̃ Κύκλωπος. (Ὀδυσ. Ι'. ς. 231.)

„ Ἔνθα δὲ πῦρ κείαντες ἐθύσαμεν· ἠδὲ ϗ αὐτοὶ
„ Τυρῶν αἰνύμενοι φάγομεν. . . . . . . . . . . . . .

Παρετηρεῖτο δὲ αὐτὸ τȣ̃το ϗ ἐπὶ τῆς πόσεως, ἣ ȣ̓κ ἐχρῶντο, πρὶν ἢ Θεοῖς λείβωσι. Ταυτὸ δὲ συνιδεῖν πάρεςι κἀν τῷ Πλάτωνος συμποσίῳ. Ἔνθα οἱ συμποσιαςαὶ, σπονδαῖς τε ϗ τιμαῖς δημοτελέσι τȣ̀ς Θεȣ̀ς ἐσεβάζοντο. Τȣ̓ναντίον μὲν τοιγε ὑπὸ τῶν ἀμφ᾽ Ἐπίκȣρον, ȣ̓δὲ σπονδαὶ, ȣ̓δ᾽ ἀπαρχαί τινες προσήγοντο τοῖς Θεοῖς. ἀλλ᾽ ὃ περὶ τῆς ἀσέμνȣ γυναικὸς „ἔφη Σιμωνίδης, ὅτι ἄθυτα ἱερὰ πολλάκις κατεσθίει: τῶν „θεῶν ἠμέλȣν· ἐν δὲ τῇ ἱερᾷ τελετῇ τοιάνδε τάξιν ἐτήρȣν, ὡς ἀπὸ τῆς Ἑςίας ἄρχεσθαι, καθάπερ Ὅμηρος μαρτυρεῖ ἐν τοῖς ὕμνοις, τῷ εἰς τὴν Ἑςίαν, ϗ τῷ εἰς τὸν Ἑρμῆν δὲ (ς. 4.)

„ . . . . . . . . . . . . Οὐ γὰρ ἄτερ σȣ̃
„ Εἰλαπίναι θνητοῖσιν, ἵν᾽ ȣ̓ πρώτῃ πυμάτῃ τε
„ Ἑςίῃ ἀρχόμενος σπένδει μελιηδέα οἶνον.

Πρὸς ὃ ϗ τὸ Ἀριςοφάνȣς τείνει, τὸ ἐν τοῖς Κηφῆσιν:

„ . . . . . . . . . . . . ἀλλ᾽ ἵνα
„ Ἀφ᾽ Ἑςίας ἀρχόμενος ἐπιτρέψω τινά.

Τὸ δ᾽ αἴτιον τῆς τοιᾶσδε τελετȣργίας ἐκτίθησιν Ἀριςόκριτος: (ἐν τῷ Β΄. Βιβλ.:) Ὅτι δὴ Ζεὺς τȣ̀ς Τιτᾶνας τροπώσας, ϗ τὴν βασιλείαν ἐν εἰρήνῃ ἀναλαβὼν, τῇ Ἑςίᾳ ἐπέτρεψεν αἰτεῖν, ὅ, τι θέλοι· ἡ δὲ τὴν παρθενίαν ἑαυτῇ ἐξῃτήσατο, ϗ τὰς ἀπαρχὰς τῶν θύεσθαι μελ- „λόντων ἀπαξαπάντων· Καὶ μετὰ ταῦτα (φησὶν) ȣ̃τω νενόμιςαι „ἐν τοῖς ἱεροῖς, τὰς ἀπαρχὰς ἁπάντων τῶν θυομένων „πρώτῃ δȣ̃ναι Ἑςίᾳ.

Τὸ τοίνυν ἐπιτελεῖν συμπόσιον, ἐξόχως ἄνδρες εἰώθεσαν οἱ ἐν ἀρχαῖς καθεςῶτες: ϗ τȣ̃το Νέςωρ πρὸς Ἀγαμέμνονος, ἐξ ἔθȣς τε ϗ κατὰ τὸ δίκαιον ἀξιοῖ γενέσθαι· (Ἰλ: Ι΄. ς. 69.)

„ Ἀτρείδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατος ἐσσί:
„ Δαίνυ δαῖτα γέρȣσιν· ἔοικέ τοι, ȣ̉́τι ἀεικές.

Οὕτως Ἀλκίνοος ὁ τῶν Φαιάκων Ἄναξ, (Ὀδ: Η΄. ϛ. 136. κξ) τὴν ἑςίασιν τοῖς ἀρίςοις παρασκευάζει. Καὶ Τηλέμαχος δὲ (Ὀδ: Λ΄. ϛ. 184.)

„ . . . . . . . . . . . . . Δαῖτας ἐΐσας
„ Δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν.

Ἐν τιμῇ δ' ἐτίθετο ἡ πρόκλησις αὕτη μεγίςη, ὡς δῆλον, ἐκ τȣ̃ ὡς γέρας τῷ κατασκοπήσασθαι πεμφθέντι ἐκείνῳ ἐπαγγελλέσθαι: (Ἰλ: Κ΄. ϛ. 217.) ὅτι

„ Αἰεὶ δ' ἐν δαίτησι καὶ εἰλαπίνῃσι παρέςαι.

Ὁ μὲν ȣ̃ν τῶν δαιτυμόνων ἀριθμὸς ȣ̉χ ὥριςο· ἀλλ' Εὐςάθιος μέντοι παρέδωκε τὰ τῶν παλαιῶν συμπόσια, μὴ ἐκ πλειόνων ἢ δέκα συνεςηκέναι, δι' ὅπερ Ἀγαμέμνων εἰρήκει, τῶν Ἑλλήνων τὸ πλῆθος, πολλῷ τȣ̃ τῶν Τρώων ὑπερέχειν δεῖξαι βȣλόμενος: (Ἰλ: Β΄. ϛ. 126.) ὡς εἶπερ ἄρα τῶν πολεμίων ἐν μέρει ἀριθμηθέντων:

„ Ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοὶ,
„ Τρώων δ' ἄνδρα ἕκαςον ἑλοίμεθα οἰνοχοεύειν,
„ Πολλαί τε δεκάδες δευοίατο οἰνοχόοιο.

Τȣτὶ δὲ καὶ ὑπὸ τῶν Πυθαγορείων παρατετηρῆσθαι διέξεισιν Ἰάμβλιχος.

## ΚΕΦΑΛ. Ε.

## Περὶ τῶν ἐν τοῖς συμποσίοις διατυπώσεων.

Ευωχȣ̃νται παρ' Ομήρῳ καθήμενοι, φησὶν Αθήναιος (ἐν Βιβλ. Α΄.) Οὕτω καὶ γὰρ (Ιλιάδ. Κ΄. ς. 578.) Οδυσσεύς τε καὶ Διομήδης, δείπνῳ ἐφιζανέτην. Καὶ Αχιλλεὺς, παραγενομένȣ Πριάμȣ, ἐπὶ τραπέζης καθήμενος ἐκ θρόνȣ ὦρτο. ἐπὶ γὰρ τȣ́τῳ ἕτοιμοι ἕδραι παρῆσαι, ἃς θρόνȣς τε καὶ κλισμȣ̀ς, ὁ Ποιητὴς ὀνομάζει. (Οδυσ. Γ΄. ς. 389.)

„ Εξείης ἕζοντο κατὰ κλισμȣ́ς τε θρόνȣς τε.

Κατὰ δὲ Αθήναιον (ἐν βιβλ. Θ.΄) θρόνος ἐςὶν ἐλευθέριος „καθέδρα σὺν ὑποποδίῳ, ἣν Ομηρος θρῆνυν ἀποκαλεῖ, ὡς ἰδεῖν ἐςὶν, (Ιλ: Ξ΄. ς. 240.) ἔνθα Ηρα καθυπισχνεῖται τῷ ὕπνῳ:

„Δῶρα δέ τοι δώσω, καλὸν θρόνον ἄφθιτον αἰεὶ
„ Χρύσεον· Ηφαιςος δέ κ' ἐμὸς παῖς ἀμφιγυήεις
„ Τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει,
„ Τῷ κεν ἐπισχοίης λιπαρȣ̀ς πόδας εἰλαπινάζων.

Καὶ Οδυσ: δὲ Κ΄. ς. 514. καὶ 366.) τὸν Οδυσσέα ἡ Κίρκη.

Εἷσεν ἐ εἰσαγαγȣ̃σα ἐπὶ θρόνȣ ἀργυροήλȣ,
Καλȣ̃, δαιδαλέȣ, ὑπὸ δὲ θρῆνυν ποσὶν ἦεν.

Οὕτω καὶ Τηλέμαχος (Α΄. Οδυσ: ς. 130.) ἀφικομένην Αθήνην.

„ . . . . Ες θρόνον εἷσεν ἄγων, ὑπὸ λῖτα πετάσσας
„ Καλὸν, δαιδάλεον, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
„ Παρ δ' αὐτὸς κλισμὸν θέτο ποικίλον . . . . ἑαυτῷ.

Ὅς περιττοτέρος κεκόσμηται ἀνακλίσει πρὸς ὃν ἀνακλίνομεν, φησὶν Ἀθήναιος. Τῷ δ' Ὀδυσσεῖ εὐτελὴς μάλα δίφρος 'πετέθη, σὺν μικρᾷ τραπέζῃ. Οὕτω γάρ τοι (Ὀδ: Υ. ϛ. 257. κξ.)

„Τηλέμαχός γ' Ὀδυσῆα καθίδρυε, κέρδεα νωμῶν,
„Ἐντὸς εὐςαθέος μεγάρε παρὰ λάϊνον ὀδὸν,
„Δίφρον ἀεικέλιον παραθεὶς, ὀλίγην τε τράπεζαν.

Ὁ δὲ Μακεδὼν Ἀλέξανδρος, τετρακοσίες ποτὲ ἑςιῶν ἡγεμόνας, „ἐκάθισεν ἐπὶ δίφρων ἀργυρῶν, καὶ κλιντήρων, ἀλεργοῖς „περιςρώσας ἱματίοις· ὡς ἀπομνημονεύσας φαίνεται Δῆρις. Πρώτη ἦν καὶ ἀρχαιοτάτη αὕτη ἡ τε καθέζεσθαι τάξις, καὶ ἐκ μαρτυρίας τοῦ Φίλωνος· ὃς ἐν τῷ περὶ τε Ἰωσὴφ βιβλίῳ τοιαῦτα γράφει: „Ἑξῆς δὲ προςάξαντες, κατὰ τὰς ἡλικίας καθί„ζεσθαι, μήπω τῶν ἀνθρώπων ἐν τοῖς συμποτι„καῖς συνεσίαις κατακλήσει χρωμένων. Καὶ τὲς πρόπαλαι δὲ Ῥωμαίες, καθῆσθαι μὲν, μὴ ἀνακεῖσθαι δὲ σιτιζομένες, μαρτυρεῖ Σερέϊος ἐν τῇ Η΄. τῶν Αἰνειάδων. Καὶ Ἰσίδωρος, ἐν τῷ Κ΄. Βιβλ. Κεφαλ. ΚΒ΄.

Περὶ δὲ τῆς ἐν τῇ τε κεῖσθαι τάξει διαφορᾶς, ἀσφαλῆ ἐκ ἔςιν, ἐδὲ βεβαίαν λαβεῖν παρ' Ὁμήρῳ ἔνδειξιν· εἰμὴ ὅτι, (Ἰλ: Ι΄. ϛ. 218.) ἡνίκα τὲς πρὸς αὐτὸν διαπρεσβεύοντας Ἀχιλλεὺς εἱςία,

„Αὐτὸς γ' ἀντίον ἷζεν Ὀδυσσῆος Θείοιο.

Καὶ τε Πριάμε ἐν τῇ σκηνῇ αὐτῷ προσελθόντος, (Ἰλ: Ω΄. ϛ. 473.)

„. . . . Ἕταροι γ' ἀπάνευθε καθείατο. . . . . . .

Ἄλλως γε μὴν εἰκὸς ἦπε, καὶ τιμήν τινα, μεταξὺ τῶν συνεδρευόντων Ἡρώων ἀποδοθῆναι, ἣν ὁ Ποιητὴς ἀποκαλεῖ ἕδρην (Ἰλ: Θ΄. ϛ. 162.) διεκρίνοντο γὰρ οἱ τιμώμενοι:

„ Ἕδρῃ τε, κρέασιν τε, ἰδὲ πλείοις δεπάεσσι.

Προεδρίαν ἡρμήνευσεν Εὐςάθιος. Ὁ δὲ Πλϐταρχος (ἐν τῷ Α΄. τῶν συμποσιακ: Κεφ: Γ΄.) Παρὰ μὲν Ἕλλησι τιμιώτατον εἶναι φησὶ τόπον τὸν πρῶτον· παρὰ δὲ Πέρσαις τὸν μέσον· ἀλλὰ παρ᾽ Ἰνδοῖς μηδὲν τοιϐτον παρατηρεῖσθαι γράφει Φιλόςρατος, ἑκάςϐ ᾗπερ ἔτυχεν ἀνακλινομένϐ.

Καθημένων τοίνυν τῶν δαιτυμόνων, θεραπαινὶς ὕδωρ ἐκ προχόϐ ὑπὲρ λέβητος ἐπέχεεν εἰς χειρῶν ἀπόνιψιν, ὡς ἐγένετο τῇ Ἀθηνᾷ (Ὀδυσ. Α΄. ς. 136.)

„ Χέρνιβα δ᾽ ἀμφίπολος προχόῳ ἐπέχευε φέρϐσα

„ Καλῇ, χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,

„ Νίψασθαι . . . . . . . . . . .

Ὥσπερ καὶ (Ὀδυσ: Δ΄. ς. 52.) τῷ Τηλεμάχῳ συμβέβηκε, παραπλησίως δὲ καὶ παρὰ Οὐϊργιλίῳ. (αἰνειάδ: Α΄. ς. 705.)

. . . . . . Dant famuli manibus lymphas;

„ Δμῶες χέρνιβα χεῦον. . . . . . . . .

Καὶ Πλαῦτος δὲ (Perſa)

Date aquam manibus, apponite menſam.

„ χείρεσσ᾽ ὕδωρ δὴ δότε, καὶ πάρθεσθε δὲ δαῖτα.)

Καὶ Κικέρων ἐν τῷ Β΄. τῶν περὶ Ῥήτορος: Illud egregium Sextic: manus lava et coena. Ἐξαίρετον τὸ τϐ Σεξτίϐ: „(χεῖρας νῖψον, καὶ δείπνει.)

Ἔπειτα δὲ τράπεζα παρετίθετο ἑκάςῳ τῶν δαιτυμόνων, καθάπερ ἐπὶ τοῖς εἰρημένοις χωρίοις συνῆπται:

„ . . . Παρὰ δὲ ξεςὴν ἐτάνυσσε τράπεζαν.

Πρεμήκη δὲ γενέσθαι τὴν τράπεζαν δῆλον, ὃ καὶ τῷ Ευςαθίῳ ἔδο-
„ξεν: Ἐμφαίνει μήπω κυκλοτερεῖς εἶναι τὰς τρα-
„πέζας, ἀλλὰ τετανυμένας εἰς μήκωσιν. Ἀλλὰ
τὸ κατ᾽ ἀρχὰς κυκλοτερεῖς τὰς τραπέζας κατεσκευάσθαι, τὸ σχῆμα
τὸ τοῦ παντὸς ὑπομιμουμένας, διατείνεται Μυρλεανὸς παρὰ τῷ Ἀθη-
„ναίῳ. (ἐν Βιβλ: ΙΑ΄.) φάσκων: Διὸ τὴν τράπεζαν κυκ-
„λοτερῆ κατεσκευάσαντο, πειθόμενοι τὸν κόσμον
„εἶναι κυκλοτερῆ. Ξύλιναι δ᾽ αἱ τράπεζαι ὑπῆρχον, ὡς εἶναι
εὐμετακόμιστοι· καὶ πρὸς τὸ λειότατον ἐξειργασμέναι: ὅθεν καὶ τρά-
πεζα εἴρηται ξεςὴ εὔξοος. Οὐ μόνον δὲ ἀξίνης, καὶ τῶν παραπλη-
σίων τεκτονικῶν ὀργάνων, ἀποξεόμεναί τε καὶ λειαινόμεναι ὑπῆρχον αἱ
τράπεζαι, ἀλλὰ καὶ σπόγγοις ὕδατι ἐμβρόχοις παρατριβόμεναι συνε-
χῶς καὶ ἀποκαθαριζόμεναι: (Ὀδυσ: Α΄. ς 111)

„Οἱ δ᾽ αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
„Νίζον, καὶ προτίθεντο, ἰδὲ κρέα πολλὰ δατεῦντο.

Τοῦτο δὲ τοὺς ἀμφιπόλους κελεύει δρᾶν ἡ Εὐρύκλεια προευτρεπίζουσα
τὸ δῶμα ἐπὶ τῇ τῶν μνηςήρων ἐλεύσει (Ὀδ: Υ΄. ς. 149. κξ.)

„Ἀγρεῖθ᾽, αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι
„Ῥάσσατέ τ᾽· ἐν δὲ θρόνοισ᾽ εὐποιήτοισι τάπητας
„Βάλλετε πορφυρέους· αἱ δὲ σπόγγοισι τραπέζας
„Πάσας ἀμφιμάσασθε . . . . . . . . . .

Οὕτως Ἀῤῥιανὸς (ἐν Ἐπικτήτ: Βιβλ. Ζ΄. Κεφαλ. ΚΣ΄.)
„Ἆρον τὰς τραπέζας σπόγγισον. Καὶ Μαρτιάλιος:
Haec tibi ſorte datur tergendi ſpongia menſas.
„Κεκλήρωταί σοι σπόγγοισι τραπέζας ῥύπτειν.)

Ἦν δ' ἄρα τόδ' ἀντὶ τῦ ἐπιτραπεζίυ ἐθονίυ, οὗ τοῖς παλαιοῖς Ἕλλησιν ἔτις ἐτύγχανε χρῆσις.

Ἑκάςῳ τῶν δαιτυμόνων ἰδίᾳ, μερὶς ἐκ τῦ κρέατος διενέμετο ἴση. Καὶ τῶν κρεῶν δὲ μοῖραι ἐνέμοντο, φησὶν Ἀθήναιος· ὅθεν δαῖτας Ὅμηρος ὀνομάζει εἴσας. (Ὀδυσ: Λ'. ς. 184.) ἀπὸ τῆς ἰσότητος, ὡς αὐτὸς ἡγεῖται, ὅπερῦν κ̀ ἀπὸ τῦ δατεῖσθαι (ἤτοι διαμερίζεσθαι (ἐν Βιβλ: Α'.) ὁ αὐτὸς εἰρῆσθαι εἰσέβαλεν, Ἔργον δ' ὁ δαιτρὸς εἶχε τόδε (Ὀδ: Α'. ς. 141. κ̀ Δ'. ς. 57. κ̀ Ρ'. ς. 331.) Ἀλλὰ γὰρ καὶ Δαιτυμὼν ὑπὸ Ὁμήρυ εἰρῆσθαι, ὡς φησὶ Πλύταρχος ἐν τοῖς Συμποσιακοῖς, ὁ διανέμων τὰ κρέα. (Ὀδυσ: Ο'. ς. 140.)

„ Πὰρ δὲ Βοηθοΐδης κρέα δαίετο, καὶ νέμε μοίρας.

Καὶ Ὀδυσ: δὲ Υ'. ς. 280.)

„ Μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα
„ Πὰρ δ' ἄρ' Ὀδυσσῆϊ μοίραν θέσαν, οἳ πονέοντο
„ Ἴσην, ὡς αὐτοί περ ἐλάγχανον. . . . .

Ἀλλὰ καὶ αὐτὸς δ' Ἀχιλλεὺς τὰ κρέα διεμέριζεν. (Ἰλ: Ω'. ς. 626.)

„ . . . . . . . . Ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.

Καὶ Εὔμαιος δὲ, (Ὀδυσ: Ξ'. ς. 434.)

„ Καὶ τὰ μὲν ἔπταχα πάντα διεμοιρᾶτο δαΐζων.

Καὶ μοίραν, μίαν μὲν Νύμφαις, ἑτέραν δὲ Μύσαις ἱέρωσε, τὰς δὲ λοιπὰς τοῖς ἐυωχυμένοις διένειμεν: ἀλλὰ τῷ Ὀδυσσεῖ τὸν ὕειον νῶτον παρέχεν. (Ὀδ: Ξ'. ς. 437.)

„Νώτοισιν δ' Ὀδυσῆα διηνεκέεσσι γέραιρεν
„Ἀργιόδοντος ὑός. . . . . . . . .

Παραπλησίας δὲ τιμῆς, ὑπὸ Ἀγαμέμνονος τῷ Αἴαντι μετεδόθη, ἐκ τῆς μάχης ἐπανιόντι· (Ἰλ: Η΄. ς. 321.)

„Νώτοισιν δ' Αἴαντα διηνεκέεσσι γέραιρεν
„Ἥρως Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων.

Ὡσαύτως καὶ παρὰ Οὐϊργιλίῳ: (Αἰνειάδ: Η΄. ς. 183.)

Vefcitur Aeneas fimul et Trojana juventus
Perpetui tergo bovis. . . . . . . . . . . . .

„(Δῖος δ' Αἰνείας, καὶ Τρώϊος ἄρ νεολαία
„Νῶτα βόεια πάσοντο ἄδην) . . . . . . :

Ὅμοιον δέ τι καὶ παρὰ Γάλλοις παρατετηρῆσθαι, ὑπὸ Διοδώρου τοῦ Σικελιώτου (ἐν Βιβλ. Ε΄.) γέγραπται· ἀλλὰ καὶ ἐπεχαρίζετό τις, ἐξ ἧς εἰλήχει μερίδος, ὅτῳ ἂν ἐθελήσειεν, ἢ φησὶν Ἀθήναιος· (Βιβλ. Α΄.) „Ἐδωροῦντο δὲ καὶ ἀπὸ τῆς αὐτῶν μοίρας, οἷς „ἐβούλοντο. Οὕτως Ὀδυσσεὺς δίδωσι τῷ ἀοιδῷ Δημοδόκῳ, μέρος ἀποτμήξας ἀπὸ τοῦ νώτου τοῦ παρατεθέντος αὐτῷ (Ὀδυσ: Θ΄. ς. 475. κἑξ.)

Τὸν δ' οἶνον ἑκάστοις τῶν συνευωχουμένων ἐνέχεον παριστάμενοι παῖδες. (Ἰλ: Α΄. ς 476. καὶ Ι΄. ς. 175. καὶ Ὀδυσ: Γ΄. ς. 340. καὶ Φ΄. ς. 272.)

„Κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο.
„Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.

Οἱ δὲ παῖδες ἐτύγχανον τῶν εὖ γεγονότων, ὡς Ἀθήναιος ἐπισημειοῖ· (ἐν Βιβλ: Ε΄.) „Δοῦλος οὐδεὶς ἦν ὁ διακονήσων, „ἀλλ' οἱ νέοι τῶν ἐλευθέρων ᾠνοχόουν. Οἷος περ ὁ

τῦ Μενελάυ υἱὸς, καί τοι γε καὶ νυμφίος ὢν, κατ' αὐτὴν τὴν τῶν γάμων ἡμέραν: (Ὀδυσ. Δ'.) Διένεμον δὲ καὶ τὰ ποτήρια ἐκ τῦ ἴσυ· οὕτως ἀλλ' ὖν ὥστε τοῖς ἐν ὑπεροχῇ καθεστῶσι, τιμῆς χάριν, μείζονά τε καὶ πληρέστερα ἐπο„ρέγεσθαι: ὡς ὁ αὐτὸς Συγγραφεὺς παρετήρησεν, ἐξ ὧν οἱ κῦροι δια„κονῦμενοι, τοῖς μὲν ἐντιμοτάτοις ἀεὶ πλῆρες παρεῖχον τὸ „ποτήριον, τοῖς δ' ἄλλοις ἐξ ἴσυ διένεμον. Τοιῷ δε λόγῳ χρώμενος Ἀγαμέμνων ἐποτρύνει ἐπὶ τὴν μάχην Ἰδομενέα: τῶν γὰρ ἄλλων Ἀχαιῶν τὸ μέτρον πινόντων (δαιτρὸν πίνωσιν) αὐτῷ πλεῖον τὸ δέπας αἰεὶ ἕστηκεν· (Ἰλ: Δ'. ς. 263.) Οὕτω καὶ Διομήδης παρορμᾶται πρὸς τὸν πόλεμον: (Ἰλ. Θ'. ς. 162.)

„Ἕδρῃ τε, κρέασίν τε, ἰδὲ πλείοις δαπάεσσιν.

Ὅπερ ὖν καὶ περὶ Γλαύκυ καὶ Σαρπηδόνος, ὁμοίως ῥηθὲν ἐπαναίληπται. (Ἰλ: Μ'. ς. 310. κξ.)

Προσέτι δὲ καὶ εἰς τὸ πίνειν ἀλλήλυς προσεκαλῦντο, τῇ δεξιᾷ χειρὶ τὸ δέπας προτείνοντες: ὃ δειδέχεσθαι λέγει Ὅμηρος: ὄυτω γάρ τοι κατ' αὐτὸν καὶ οἱ Θεοὶ: (Ἰλ: Δ'. ς. 4)

„ . . . . . . . . Χρυσέοις δεπάεσσι
„ Δειδέχατ' ἀλλήλυς . . . . . . . .

„Τῦτο δ' ἐστὶν: ἐδεξιῦντο προπίνοντες ἑαυτοῖς ταῖς δε„ξιαῖς, ἥ φησὶν Ἀθήναιος ἐν Βιβλ. Ε'. Ὁμοίως δὲ καὶ Ὀδυσεὺς (Ἰλ: Ι'. ς. 224.)

„Πλησάμενος δ' οἴνοιο δέπας, δείδεκτ' Ἀχιλῆα.

ἤτοι ἐδεξιῦτο: ὅ ἐστὶ, προέπινεν αὐτῷ, τῇ δεξιᾷ διδῦς τὸ ποτήριον. Ἀθήναιος δ' ἐκτίθησι τὸ πρᾶγμα ἐν τῷ ΙΔ'. τῶν αὐτῦ „βιβλίων, σαφέστερον. Πληρῦντες γὰρ προέπινον ἀλλήλοις „μετὰ προσαγορεύσεως: ὃ καὶ ἐκδιδάσκει τῷ Ἀλεξάνδρῳ ὑπο„δείγματι: ὃς αἰτήσας ποτὲ ποτήριον δίχυν, καὶ πιὼν, πρῦ-

„πιε τῷ Πρωτέᾳ· ἔνθεντοι ϰ̀ προπίνοντες, βραχύ τι ἀπογευσάμενοι, ἀμειβαδὶν ἀλλήλοις τὸ δέπας ἐπώρεγον. Πρὸς ὃ δὴ φέρει τὸ τȣ̃ Πλαύτȣ ἐκεῖνο : (ἐν τῷ Κȣκȣλίωνι) τȣτέςιν ἐν τῷ Δράματι αὐτȣ̃, ὃ Πλαῦτος ȣ̓́τως ἐπέγραψε: Τρὼξ, ἢ Κὶς, ἢ Θρὶξ, Propino mi-„liti magnum poculum, ille ebibit:„ Προπίνω τῷ ςρατιώτῃ μέγα κύπελλον· ὁ δ' ἐξέπιεν. Καὶ Γȣβενάλιος δὲ ἔφη (ἐν Σατύρῃ Ε'. ς. 127.)

Quando propinat
Varro tibi, sumitque tuis contacta labellis
Pocula. . . . . . . . . . . . . . . . . . . . .

„ . . . . . . ( Εὖ σοι προπίνει
„ Οὐάῤῥων, καὶ ψαυςὰ τεοῖσι χειλαρίοισι
„ Δειδέχεται δέπα . . . . . . . .

Τὰ δ' ἄλλα αἱ τοιάδε πρόποσις ἐγίγνετο τὸ πλεῖςον δεξιόθεν καταρχομένη· ὅπερ ἐπιδέξια εἶπον· (Πολυδεύκ: Βιβλ: Β'.) Παρὰ „Εὐπόλιδι προπόσεως χῆμα, καλεῖται ἐπιδέξια· ὅταν δὲ „πίνωσι τὴν ἐπιδέξια· Δεῖγμα δὲ τȣ́τȣ, ἢ ἴχνος μᾶλλον εἰπεῖν, πρόκειται, „(Ἰλ: Α'. ς. 597.) Ἔνθα τοῖς Θεοῖς συνευωχȣμένοις, Ἥφαιςος . . .

„ Θεοῖσιν ἐνδέξια πᾶσιν
„Ὠινοχόει . . . . Οὕτως ȣ̓̃ν Κριτίας ἐν ἐπιγράμματι, τῷ εἰς Ἀνακρέοντα:
„ Παῖς διαπομπεύσῃ προπόσεις τ' ἐς δεξιὸν ὦμον.

Ἐν δὲ τῷ συνευωχεῖσθαι ποικίλαι μεταξὺ περὶ διαφόρων ἐνδιεσπείροντο διαλέξεις· καὶ περὶ πραγμάτων ἐνίοτε σπȣδῆς ἐχομένων· Οἷον: (Ἰλ: Ι'. ς. 223. κξ.) ἔνθα βȣλὴ προȣτέθη περὶ τȣ̃ πολέμȣ. Τόδ' ἔθος ἰδίᾳ Πέρσαις διαφέρειν Ἡρόδοτος γράφει, ὡς διέξεισιν Ἀθήναιος

ἐν Βιβλ: Δʹ. Καὶ Ἀμμιανὸς δὲ ὁ Μαρκελλῖνος (ἐν Βιβλ: ΙΗʹ.) Inter epulas de apparatu bellorum et ſeriis rebus, apud Perſas, Grajorum more veterum, conſultari tradit. „Ἐν ἑστιάσεσι, περὶ πολέμων παρασκευῆς, καὶ ἄλλων σπε„δῆς δεομένων παρὰ Πέρσαις, κατ' ἔθος τῶν πάλαι „Ἑλλήνων, βελὴν συγκροτεῖσθαι καθιστορεῖ. Προσεχώρεν δ' ὖν καὶ ἑτερ' ἄττ' ἀθυρμάτια: οἷον κύβοι τε, καὶ ᾄσματα, καὶ ὄρχησις, καὶ τάγε τοιαῦτα, τὰ εἰς τέρψιν τε καὶ ψυχαγωγίαν φέροντα· περὶ ὧν ἐν ἰδίῳ τόπῳ.

Ἀποχρώντως δ' οἱ δαιτυμόνες εὐωχηθέντες, ἀπολύεσθαι ἠξίεν αἰ„τέμενοι. Ἀθήναιος (ἐν Βιβλ. Εʹ.) Διδάσκει δ' ἡμᾶς Ὅμηρος, ὅτι „δεῖ καὶ τὲς κεκλημένες ἐφ' ἑστίασιν παρακαλεῖν ἀπανίστα„σθαι τὲς κεκληκότας. Οὕτως ἡ Τηλεμάχῳ συνοδοιπορῦσα Ἀθήνη αἰτεῖται παρὰ τῦ Νέστορος ἄδειαν τοῦ τῆς τραπέζης ἀπαναστῆναι (Ὀδυσ. Γʹ. ϛ. 332. κξ.)

„Ἀλλ' ἄγε, τάμνετε μὲν γλώσσας, κεράασθε δὲ οἶνον,
„Ὄφρα Ποσειδάωνι, καὶ ἄλλοις ἀθανάτοισι
„Σπείσαντες, κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.

Βέλεται γὰρ τὰς γλώσσας ἀποτμηθῆναι, καὶ τοῖς Θεοῖς ἐπιθυμιαθῆναι: ὅπερ κατ' ἔθος ἐγίγνετο ὑπὸ τῶν ἐπὶ Ῥητορείᾳ σπεδαίως ἐχόντων, ληφθέντος τῦ τύπε παρὰ τῶν Ἀττικῶν, ὡς ὁ Σχολιαστὴς παραδίδωσιν. Ἔνθεντοι καὶ εἰκότως τετὶ διαπραττόμενον ὧδε παρίσταται ὑπὸ Νέστορος τῦ ἐν Ἕλλησιν εὐφραδεστάτε. Ἀλλ' αἱ σπονδαὶ διηνεκῶς ὑπὸ τῶν ἀπανισταμένων συμποσιαστῶν ἐτελῦντο, καὶ μάλιστα τῷ Ἑρμῇ, ὥσπερ οἱ Φαίακες: (Ὀδυσ: Ηʹ. ϛ. 138.)

Ὧι πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτε.

„Μνείαν δὲ τῦ τοιέτε ποιεῖται Ἀθήναιος (ἐν Βιβλ. Αʹ) Ἔσπεν„δον δὲ ἀπὸ τῶν δείπνων ἀναλύοντες, καὶ τὰς σπονδὰς

„ἐποιοῦντο Ἑρμῇ, καὶ, οὐχ ὡς ὕστερον, Διὶ τελείῳ· δοκεῖ γὰρ „Ἑρμῆς ὕπνου προστάτης εἶναι·

Εἰώθεσαν δὲ οἱ συνευωχέμενοι τῆς νυκτὸς προσεγγυζούσης ἀπα-„ναχωρεῖν. (Ἀθήν. ἐν Βιβλ. Ε΄.) Οἱ δειπνήσαντες ἀπελύοντο „φωτὸς ὄντος. Ὅπερ ἐφ' ἑορτασίμου μάλιστα ἡμέρας χώραν ἔχειν ἡ Παλλὰς ἐκδιδάσκει: (Ὀδ. Γ΄. ς. 335.)

„Ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον, οὐδὲ ἔοικε
„Δηθὰ Θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.

Ἀλλ' ἔτι καὶ κατὰ θεσμόν τινα ἐπιβεβαιοῖ Ἀθήναιος ἔν τινι τῶν „θυσιῶν τοῦτο διηγορεῦσθαι: Καὶ νῦν δὴ νόμος ἐκ θυσιῶν τινων, „πρὸ ἡλίου δύνοντος ἀπιέναι. Τὸ δ' αὐτὸ καὶ περὶ Δομιτιανοῦ Σου-ετόνιος γράφει. Convivabatur frequenter, ac large, pene „raptim; certe non ultra solis occasum. (Εὐωχεῖτο συχ-„νάκις καὶ δαψιλῶς, μονονουχὶ ἁρπαλέως, ἀλλ' ἤπου οὐκουν ἐπέ-„κεινα δύσεως ἡλίου.) Ἀλλὰ γὰρ ἐνίοτε, καὶ τῆς νυκτὸς ἐπὶ πολὺ μέρος προήγετο τὰ τῆς ἑστιάσεως· ὡς παρὰ Φαίαξιν: (Ὀδυσ: Η΄. ς. 100. κξ) Ἔνθα Ἀλκινόου ἑστιῶντος

„Χρύσειοι δ' ἄρα κοῦροι εὐδμήτων ἐπὶ βωμῶν
„Ἕστασαν, αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες,
„Φαίνοντες νύκτας κατὰ δώματα δαιτυμόνεσσι

καθάπερ ἐκλατινίσας φράζει Λουκρήτιος.

Si non aurea sunt juvenum simulacra per aedes
Lampadas igniferas manibus retinentia dextris
Lumina nocturnis epulis ut suppeditetur.

Παραπλησίως (Ὀδυσ. Σ΄. ς. 303. κξ.) τῶν μνηστήρων εὐωχουμέ-νων, αἱ θεραπαινίδες,

„ . . . . . . Λαμπτῆρας τρεῖς ἕστασαν ἐν μεγάροισιν
„ Ὄφρα φαείνοιεν. . . . . . . . . . . . . . .
„ Καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον
„ Δμωαὶ Ὀδυσσῆος ταλασίφρονος. . . . . . . . .

Καὶ παρὰ τῷ Οὐϊργιλίῳ δὲ (Αἰνειάδ. Α'. ς. 730.) Ἐν τῇ παρὰ τῆς Διδοῦς ἑστιάσει:

. . . . . Dependent lychni laquearibus aureis
Incensi, et noctem flammis funalia vincunt.

„ (Λύχνοι τε κρεμάννυντο ὕπερθ' ὀρόφων ἀπὸ χρυσῶν·
„ Οἵ δέ τε λαμπτῆρες πυρσεύμασι νύχθ' ὑπερεῖχον.)

Τῶν δαιτυμόνων δ' ἀπανισταμένων, αἱ τράπεζαι ἀπήργοντο: (Ἀθην: Βιβλ. Α'.). Ἀναχωρησάντων δὲ, αἱ δμωαὶ, ἀπὸ μὲν σῖτον πάλιν ᾖρον, καὶ τράπεζαν, καὶ δέπας. Διὸ περὶ τοῦ Ἀχιλλέως εἰσέτι ἐσθίοντος εἴρηται: (Ἰλ: Ω'. ς. 475,)

„ . . . . . . νέον δ' ἀπέληγεν ἐδωδῆς
„ Ἔσθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα.

Καὶ ὁ Πλαῦτος δὲ (ἐν τῷ truculento)

. . . . . . . . . Cedo soleas mihi
Properate; auferte mensam

„ . . . . . . Ὄρεξον τὰς ἐμβάδας μοι,
„ Σπεύδετε: ἄρατε τὴν τράπεζαν.

Καὶ Οὐϊργίλ: (Αἰνειάδ: Α'. ς. 220.)

Postquam exempta fames epulis, mensaeque remotae

„(Ἐπεὶ δὲ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο: τράπεζαί τε ἀπῆρθεν:) Εἴ τινα λοιπὰ τῶν ἐδεσμάτων, ὑπὸ τῆς ταμιέχε ἀμφιπόλε ἀπεταμιεύετο, ἵν' εἴτις νέον ξένος προσέλθοι, ἑτοίμως ἔχῃ τὶ δῶ, ᾗ σεσημείωκε καὶ Ἀθήναιος: ὃ, ὕτως ὁσίως παρὰ τοῖς Ῥωμαίοις παρετηρεῖτο, ὡς μηδέποτε κεκενωμένην αὐτοὺς „τὴν τράπεζαν αἴρειν: Αἰνιττόμενοι (γὰρ διὰ τέτε ἦσαν) „τὸ δεῖν τῦ παρόντος εἰς τὸ μέλλον ἀπολιπεῖν, καὶ τῆς „αὔριον ἐν τῇ σήμερον μνημονεύειν.

## ΚΕΦΑΛ. ϛ.

## Περὶ Ἐσθῆτος.

Ἀπὸ τῆς σιτήσεως ἐπὶ τὴν ἀμφίασιν μεταβῶμεν. Ἡ δὲ, ἤτοι ἐκτενεςέρα τε ἦν καὶ πλατυτέρα εἰς ἐπικάλυψιν τῦ ὅλε σώματος, ἢ βραχυτέρα τε καὶ ἐλάσσων, εἰς σκέπην τινῶν μερῶν συντελῦσα. Ἐν γοῦν τῷ προτέρῳ εἴδει χώραν ἔχει ὁ χιτὼν, καὶ ἡ χλαῖνα.

Χιτὼν μὲν ἦν, ἡ τὸ σῶμα περιβάλλυσα ἀμέσως ἐσθὴς: τὸ „προσεχῶς κεχυμένον τῇ σαρκὶ ἱμάτιον. Ὅθεν αὐτὸ καὶ Ἀθήναιος (ἐν Βιβλ. ΙΓ.) ἐχέσαρκον εἶπεν: ἔνθα περὶ τῆς Φρύ„νης λέγων: ἐχέσαρκον γὰρ, ἔφη, χιτώνιον ἠμπείχετο. Τοιόνδε δ' εἶναι δῆλον, ἐξ ὧν Ὀδυσσεὺς (Ὀδ. Τ. ϛ. 232.) Χιτωνοφορῶν, ἤδετο ὡς κρομμύε.

„Τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα
„Οἷόντε κρομύοιο λοπὸν κατὰ ἰσχαλέοιο.

„ Χιτῶνα ἐσώτερον: tunicam interiorem, εἶπεν Οὐαλέριος Μάξιμος: ὁ δὲ Οὐίδιος ἁπλῶς tunicam (χιτῶνα· ἐν τῷ Γ΄. τῶν περὶ Ἐρωτ.)

Pugnabat tunica ſe tamen illa tegi

( „ Ἡ δὲ χιτῶνι πάλαιεν ἑαυτὴν μέντοι κρύπτειν.)

Καὶ: Illic nec tunicam tibi fit poſuiſſe pudori.

„ Οὐδὲ χιτῶνα ἐκεῖ ἔξω αἰδὼς ἀποθέσθαι

Ἀμέλειτοι, διὰ τὸ τὸν χιτῶνα τὰ αἰδοῖα τοῦ σώματος συγκαλύπτειν: ὡς ὑποδηλοῦται κἀν τῷ Ἰλ. Β΄. ϛ. 262. Ἔνθ᾽ Ὀδυσσευς ἐπαπειλεῖ τῷ Θερσίτῃ, ἀφαιρήσειν

„ Χλαῖναν τ᾽ ἠδὲ χιτῶνα, τά τ᾽ αἰδῶ ἀμφικαλύπτει.

Εἰς τοῦτο δ᾽ ἀνήκει καὶ τὸ ὑπὸ τοῦ Ἡροδότου (ἐν Κλειοῖ) ῥηθὲν „ Ἅμα δὲ κιθῶνι ἐκδυομένῳ, ἐκδύεσθαι καὶ τὴν αἰδῶ τὴν γυ„ ναῖκα.

Προσεπετίθετο δὴ τῷ χιτῶνι ἡ Χλαῖνα, ἥτις ἦν Λατίνοις ἡ Laena (Λαῖνα) εἰ δεῖ πιστεῦσαι τῷ Γώβᾳ, παρὰ Πλουτάρχῳ. „ Καὶ γάρ, ἃς ἐφόρουν οἱ Βασιλεῖς Λαίνας, Γώβας χλαίνας „ φησὶν εἶναι· ὃ καὶ Σερβίῳ δοκεῖ „ (ἐν τῷ Δ΄. τῆς Αἰνειάδος: ϛ. 463.) Ἦν δ᾽ ἡ χλαῖνα ἐσθὴς παχυτέρα, εἰς ἀπαλλαγὴν ψύχους ἰδι„ αίτερον συντελοῦσα. Χιτῶνος παχύτερον περίβλημα, φησὶν „ Εὐστάθιος. Ὅθεν Ὅμηρος, Χλαίνας ἀνεμοσκεπέας (Ἰλ. Π΄. ϛ. 224.) καὶ ἀλεξανέμους (Ὀδυσ: Ξ΄. ϛ. 529.) ὀνομάζει ὃ σαφὲς ἐστὶν (αὐτ. ϛ. 487.) ἐξ ὧν πρὸς τοὺς Συβώτην Ὀδυσσεὺς πεποίηται ποτνιώμενος.

„Οὐκέτι ζωοῖσι μετέσσομαι. Ἀλλά με χεῖμα
„δάμναται· ὃ γὰρ ἔχω Χλαῖναν· παρά μ' ἤπαφε δαίμων
„οἰ οχίτων ἔμεναι.

Ἔνθεντοι διπλῆν πολλάκις ὁ Ποιητὴς τὴν χλαῖναν ἀποκαλεῖ: ὡς (Ἰλ: Κ'. ς. 133.)

„ Ἀμφὶ δ' ἄρα χλαῖναν περονήσατο φοινικόεσσαν
„ Διπλῆν· ἐκταδίην· ὄλη δ' ἐπενήνοθε λάχνη.

Καὶ Ὀδυσ: Τ'. ς. 225.)

„ Χλαῖναν πορφυρέην ὄλην ἔχε δῖος Ὀδυσσεὺς,
„ Διπλῆν· αὐτὰρ οἱ περόνη χρυσοῖο τέτυκτο

Καί τοι γε καὶ ἁπλοΐδας χλαίνας: (Ἰλ Ω'. ς. 230.) καὶ Ὀδυσ: Ω'. ς. 275.) ἴσμεν φέρεσθαι, τὰς ἁπλῶς ἐκ μίτου ἐξυφασμένας. Ὅθεν Πολυδεύκης (ἐν Βιβλ: Ζ'. Κεφ: ΙΓ.)
„Εἰσὶ δὲ χλαῖναι, αἱ μὲν ἁπλοΐδες, αἱ δὲ διπλαῖ. Πολλάκις δ' οὖν καὶ τὴν Χλαῖναν ἀποθέμενοι, τὸν ἐσώτερον χιτῶνα ἔφερον μόνον, ὥσπερ Ὀδυσσεὺς ἐντενῶν τὸ τόξον: (Ὀδυσ: Φ'. ς. 118.)

„ . . . Ἀπ' ὤμοιϊν χλαῖναν θέτο φοινικόεσσαν.

Καὶ οἱ Πηνελόπης μνηστῆρες εἰσιόντες τὸ δῶμα: (Ὀδυσ: Ρ. ς. 179.)

„ Χλαίνας μὲν κατέθεντο κατὰ κλισμοὺς τε θρόνους τε.

Ἦν δ' ἀντὶ χλαίνης καὶ τὸ φάρος: ὅπερ ὁ μὲν Σχολιαστὴς Ἱμάτιον ἑρμηνεύει· οἱ δὲ Λατῖνοι Μεταφρασταὶ, Pallium (Πάλλιον) καλοῦσιν. Οὕτως Ἀγαμέμνων ἐξεγερθεὶς πρωΐας τῆς κλίνης, καὶ τὸν μαλακώτερον ἐνδὺς χιτῶνα: (Ἰλιάδ: Β'. ς. 43.)

„ . . . . . Πέρι δ' ἂυ μέγα βάλλετο φᾶρος.

Παραπλησίως δὲ καὶ Τηλέμαχος: (Ὀδυσ: Ο'. ς. 60.)

„ Σπερχόμενος ῥὰ χιτῶνα περὶ χροῒ σιγαλόεντα

„ Λῦνεν· καὶ μέγα φᾶρος ἐπὶ ςιβαροῖς βάλετ' ὤμοις.

Καὶ ἡ Καλυψὼ δὲ, ( Ὀδυσ: Ε'. ς. 230. )

„ . . . Ἀργύφεον φᾶρος μέγα ἕννυτο.

Καθάπερ οὖν καὶ ἡ Κίρκη: ( Ὀδυσ: Κ'. ς. 543.)

Ἀλλὰ ταῖς θηλείαις, πυκνότερον εἰς τόδε ἀνῆκον οἱ πέπλοι. „Ὁ δὲ πέπλος, ἔνδυμα γυναικεῖον, φησὶν Ἡσύχιος, τὸ „ἐκ λεπτοῦ ςήμονος ἐξειργασμένον, καὶ ἐπὶ τῆς λοιπῆς ἐσθῆ-„τος ἐπιφορούμενον· ὅθεν αἱ Ἀχαιΐδες εὔπεπλοι εἴρηνται ( Ἰλ: Ε'. ς. 424. καὶ Ὀδυσ: Φ'. ς. 160 ) αἱ δὲ Τρωϊάδες ἁπανταχοῦ Ἑλκεσίπεπλοι: ἅτε μακρὰ τῶν πέπλων τὰ σύρματα ἕλκουσαι· οὕτως ( Ἰλ: Ζ'. ς. 289. ) ἐν τῷ τῆς Ἑλένης θαλάμῳ ἀπόκειντο:

„ . . . Πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν Σιδονίων.

Ἐξ ὧν ἡ Θεανὼ ἕνα καθιεροῖ τῇ Ἀθήνῃ. Καὶ αὐτὴ δ' Ἀθηναίη ( Ἰλ: Ε'. ς. 734. )

„ Πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει.

Ἡ δ' Ἀφροδίτη τὸ ἑαυτῆς διεπέτασε τῷ Αἰνείᾳ κατὰ τῶν βελῶν, τῶν αὐτῷ ἐπαφιεμένων. Καὶ ὥσπερ ἐν τῷ εἰς αὐτὴν φέρεται ὕμνῳ (ς. 86.)

Αὐτὴ πέπλον ἕεςο φαεινότερον πυρὸς αὐγῆς.

Πολλάκις δὲ καὶ ἑανὸν ἁπλῶς εἴρηται τὸ πέπλον, ὡς ἐν Ἰλ: Ξ'. ς. 178. ) περὶ τῆς Ἥρας πεποίηται.

„ Ἀμφὶ δ' ἄρ ἀμβρόσιον ἑανὸν ἕσαθ' . . . . .

Ω

Α'λλ' ἔνιοι τῶν πέπλων κατὰ τὸν Πολυδεύκην πολλάκις διαφόρως διεποικίλλοντο.

Συνήπτετο δὲ καὶ τὰ ζῶςρα τοῖς πέπλοις: Οἷον ὅτε Ναυσικάα (Ο'δυσ: Ζ'. ς. 58.) ἔξεισιν εἰς τὸ πλύνασθαι:

„ Ζῶςρα τε, καὶ πέπλυς, καὶ ῥήγεα σιγαλόεντα.

Συνετέλει δὲ τὰ ζῶςρα, εἰς τὸ περιςέλλειν τὺς χιτῶνας τυχὸν, ἢ τοιαῦτ' ἄττα ἀνειμένα περιβόλαια, τὰ διὰ ζώνης εἰωθότα συνάγεσθαι. Οὕτως ἡ Καλυψὼ, περέβαλομένη τὸ φᾶρος (Ο'δυσ: Ε'. ς. 231.)

„ . . . . Πέρι δὲ ζώνην βάλετ' ἰξυϊ

„ Καλὴν, χρυσείην . . . . . . . .

Καὶ Ἥρα δὲ (Ἰλ: Ξ'. ς. 181.) ἀμφιεσαμένη

„ Ζώσατό γε ζώνην, ἑκατον θυσάνοις ἀραρῦιαν.

Αὕτη δ' ἦν ἡ Τυρῦς παρθενικὴ ζώνη, ἣν Ποσειδῶν ἔλυσεν· (Ο'δυσ: Λ'. ς. 244.) ἡ καὶ Μίτρα Παρθενικὴ παρὰ τῷ Μόσχῳ (περὶ τῆς Εὐρώπης.) Α'λλὰ καὶ ὑπὸ τῇ ζώνῃ φέρειν αἱ γυναῖκες ἐλέγοντο ἐγκυμονῦσαι· ὡς ἡ Α'φροδίτη, ἐν τῷ εἰς αὐτὴν ὕμνῳ (ς. 256.)

„ Παῖδα δ' ὑπὸ ζώνῃ ἐθέμην βροτῷ εὐνηθεῖσα.

Καὶ παρ' Εὐριπίδῃ δὲ, ἐν Ἑκάβῃ:

„ Τῦτον ποτ' ἔτεκον, κἄφερον ζώνης ὕπο.

Α'πετίθεντο δὲ τὴν ζώνην κύυσαι. (Πινδ. Ο'λυμ: ς.)

„ Α' δὲ φοινικόκροκον,

„ Ζώναν καταθηκαμένα

„ Καλπιδά τ' ἀργυρέαν,

„ Λόγμας ὑπὸ κυανέας
„ Τίκτε θεόφρονα κȣ̂ρον.

Οὕτω δέ τοι καὶ Ἀπολλώνιος, ἐν Β΄. τῶν Ἀργοναυτικῶν.

„ . . . . . . Ὧ ἐπὶ μȣ́νῳ
„ Μίτραν πρῶτον ἔλυσα, καὶ ὕστατον.

Ὅντινα δηλονότι, πρῶτον τὸν αὐτὸν, καὶ ἔσχατον ἔτεκον. Ἐντεῦθεν Παυσανίας (ἐν τοῖς Ἀττικοῖς) ἱστορεῖ, ὅτι Λητὼ τίκτȣσα κατέθετο τὴν ζώνην ἐν χώρῳ, ὃς ὕστερον Ζωστὴρ εἴρηται.

Περιεζώννυντο δὲ καὶ οἱ ἄνδρες, καὶ μάλιστα ἐν πολέμῳ, ὡς ἰδεῖν ἐστὶν Ἀγαμέμνονα (Ἰλ: Λ΄. ς. 15.) ζωσθῆναι κελεύοντα τȣ̀ς Ἀργείȣς ἐξελευσομένους εἰς μάχην· ἢ ἄλλως, εἰς ὁδὸν παρασκευαζόμενοι· ἅπερ Εὔμαιος (Ὀδυσ: Ξ΄. ς. 72.)

„ . . . Ζωστῆρι θοῶς συνέεργε χιτῶνα.

Ὅπερ οὖν τοῖς ἀνατολικωτέροις ἔθνεσι σύνηθες εἶναι ἐκ τῶν ἱερῶν ὑπομνημάτων ἁπανταχȣ̂ δῆλον.

## ΚΕΦΑΛ. Ζ΄.

## Περὶ περιβολαίων κεφαλῆς, καὶ ποδῶν, καὶ ἑτέρων τȣ̂ σώματος ἐπικοσμημάτων.

Κάλυμμα-κεφαλῆς τῆς τῶν ἀῤῥένων, ὃ δὴ πιλίον καλȣ̂μεν, ȣ̓δαμȣ̂ παρ' Ὁμήρῳ κεῖται ἀναφερόμενον· ὁ δ' οὖν αὐτȣ̀ς κόρυθι, ἢ κράνει ἔξωθε περιβάλλειν, ὃ ἐν τῷ μέσῳ ἦν ὁ Πῖλος. (Ἰλ: Κ΄. ς. 265.)

. . . . . . . . . . . . Μέσση δ' ἐνὶ Πῖλος ἀρήρει:

Ἐν οἷς συνηθρεῖσθαι νοοῦμεν καὶ τὰ Impilia (ἐμπίλια) ἅτινα (Peltra) κοινῇ καλοῦμεν, οἷσπερ τὸ τῆς κόρυθος ἐνδότερον ὑποδύεται, ὡς μὴ τὴν κεφαλὴν θλίβειν. Ὅγε μὴν Ἡσίοδος (ἐν ἔργοις ς. 543.) ἐρίοις βούλεται τὴν κεφαλὴν τῷ γεωργῷ πιλοῦσθαι, ὡς ἂν μὴ χειμῶνος ὑπὸ τοῦ ὑετοῦ καταβρέχηται·

„ . . . . . . . Κεφαλῆφι δ' ὕπερθεν
„ Πῖλον ἔχειν ἀσκητὸν, ἵν' οὔατα μὴ καταδεύῃ.

Διὰ τοῦτο καὶ ὁ τοῦ Ὀδυσσέως γεννήτωρ ἐν τῷ ἀγρῷ διατρίβων (Ὀδυσ. Ω'. ς. 230.) Αἰγείην ἦν Φέρων κυνέην: οἷα δὴ καὶ Θετταλοῖς φορεῖν εἴθισο. Ἔνθεντοι καὶ Σοφοκλῆς ἐν Οἰδίποδι: τὴν ἡλιοστεφῆ κυνῆν Θεσσαλίδα αἰνεῖ· καὶ ὁ Φιλόστρατος δὲ καθιστορεῖ, τοῖς Ἰνδοῖς εἶναι κυνὴν ὁπότε ὕοι. Ἀλλ' ἦν φίλον τοῖς ἀρχαίοις τὸν Ὀδυσσέα γράφειν πιλεοφοροῦντα, ὡς ὁ Πλίνιος μαρτυρεῖ, (Βίβλ: ΛΕ'. Κεφαλ: Ι'.) καὶ τούτου δ' ὑπάμνημα σώζεται παρὰ Οὐρσίνῳ, ἐν νομίσματι παλαιῷ. Ἀλλὰ καὶ Κάτων παρὰ Πλουτάρχῳ, φησὶ Πολύβιον, κατὰ τὸν Ὀδυσσέα, ἐθελῆσαι πάλιν εἰς τὸ τοῦ Κύκλωπος εἰσελθεῖν ἄντρον, τὸ πίλιον ἐκεῖ καὶ τὴν ζώνην ἐπιλελησμένον. Ἄλλως δ' οἱ πάλαι τῶν Ἑλλήνων τὰ πλεῖστα, γυμνῇ τῇ κεφαλῇ περιῆγον: ὃ τρῖς Αἰγυπτίοις διηνεκὲς ὑπάρξαι, γράφει Ἡρόδοτος ἐν τῇ Θαλείᾳ. Καὶ παρὰ τοῖς Ῥωμαίοις δὲ οὕτω πεπράχθαι, πάρεστι μαθεῖν ἐκ τοῦ Καίσαρος, καὶ ἐξ ἄλλων.

Αἱ δ' οὖν γυναῖκες ἀεὶ τὴν κεφαλὴν ἐκαλύπτοντο. Καλύπτραν δ' ὁ Ποιητὴς ὀνομάζει, περὶ τῆς Καλυψοῦς λέγων, καὶ περὶ τῆς Κίρκης. (Ὀδυσ. Ε'. ς. 232. καὶ Κ'. ς. 545.)

„ . . . . . . . Κεφαλῇ δ' ἐπέθηκε καλύπτρην.

Καὶ Ἡσίοδος δ᾽ ὡσαύτως (ἐν τῇ Θεογονίᾳ: ϛ. 574.)

„ . . . . . . . . . Κατάκρηθεν δὲ καλύπτραν
„ Δαιδαλέην χείρεσσι κατεχεύετο. . . . . .

„ Καὶ παρὰ Πλυτάρχῳ Ἑλλάνικος: γυνὴ (φησὶν) ἀπάγυσα „θάτερον μέρος τῦ προσώπυ τῆς καλύπτρας. Προσῆν δ᾽ ἔτι καὶ ἄλλα ταῖς γυναιξὶ κεφαλῆς ἀγλαΐσματα, ἅπερ Ὅμηρος περιείληφεν (Ἰλ. Χ΄. ϛ. 468.) ἐν οἷς περὶ τῦ Ἀνδρομάχης διαλέγεται πένθυς:

„ Τῆλε δ᾽ ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα,
„ Ἄμπυκα, κεκρύφαλόν τ᾽, ἠδὲ πλεκτὴν ἀναδέσμην·
„ Κρήδεμνόν θ᾽, ὅ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη.

Πρῶτον δὴ τίθεται ἡ ἄμπυξ, ἣν ὁ παλαιὸς Σχολιαςὴς ἑρμη„νεύει. Κόσμον τινὰ περὶ τὴν κεφαλὴν, ἀνέχοντα τὰς τρί„χας τῆς κεφαλῆς· ὅθεν καὶ Παυσανίας παρ᾽ Εὐςαθίῳ, ὅτως εἰρῆσθαι ἡγεῖται παρὰ τὸ ἀμπέχειν τὰς τρίχας. Αὐτὸς δ᾽ Εὐςά„θιος: διάδημά τι εἶναι φησὶ πρὸς ἀνάδεσιν τριχῶν, ἃς πε„ριςέλλοντες οἱ παλαιοὶ ὑπὸ τύτῳ ἦγον· οἷαν τινὰ δηλαδὴ ταινιαν, ὑφ᾽ ἣν αἱ τρίχες συνεδέδεντο: περικεφαλαίαν ὁ τῦ Θεο„κρίτυ Σχολιαςὴς ἑρμηνεύει, ἐν τῷ Α΄. Εἰδυλλίῳ, ἔνθα γυνὴ ἀσκη„τὰ πέπλῳ τε καὶ ἄμπυκι. Λέγει δ᾽ ὁ Σχολιαςὴς Κεκρύφαλον, ὐχὶ κροκύφαντον: ὅπερ ἄλλως λέγεται δικτύδιον ἰσχυρὸν, δι᾽ ου ἡ πλεκτὴ κόμη συνέχεται, ὡς μὴ διαχεῖσθαι. Τελευταῖον δὲ τὸ Κρήδεμνον, ἡ ταινία (ἢ τὸ ἀνθέμιον) ἤτοι τὸ τῆς κεφαλῆς κάλυμμα, τὸ ἄχρις ὤμων καθιέμενον, ὡς Εὐςάθιος ἐκδιδάσκει (Ὀδυσ. Α΄. ϛ. 334.) ἔνθα Πηνελόπη:

„ Στῆ ῥα παρὰ σταθμὸν τέγεος . . . . . .
„ Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα.
Οὕτω τοι καὶ Ἥρα (Ἰλ. Ξ'. ς. 184.)
„ Κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα Θεάων.
Τοιόνδέ τι ἦν καὶ ἡ ὀθόνη, ᾗ καλυφθεῖσα ἐξῆκεν Ἑλένη ἐπὶ τῷ τὴν μάχην θεάσασθαι: (Ἰλ. Γ'. ς. 141.)
„ . . . . . . Ἀργεννῇσι καλυψαμένη ὀθόνῃσι.
Κατῆει δὲ τὸ ἔθος τόδε ἐκ χρόνων ἀρχαιοτάτων ἐν ἐκείνοις τοῖς ἔθνεσι, τοῦ μὴ ἄλλως τὰς θηλείας, ἢ καλυπτομένας ἐξιέναι τε καὶ προϊέναι.

Καὶ τοῖς ὠτίοις δ' ἦν ἔθος ταῖς γυναιξὶν, ἕρματα ἐνάπτεσθαι, ἤτοι ἐνώτια: (Ἰλ. Ξ'. ς. 182.) Καὶ γάρ τοι Ἥρη:
„ Ἐν δ' ἄρα ἕρματα ἧκεν, ἐϋτρήτοισι λοβοῖσι,
„ Τρίγληνα μορόεντα. . . . . . . . . . . . . .
Εὐστάθιος, τὰ τοῖς ὠτίοις ἐνειρόμενα κόσμια:
Οὕτως (Ὀδυσ. Σ'. ς. 296.) ἐν τοῖς τῶν μνηστήρων ἄλλοις δωρήμασιν:
Ἕρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν
Τούτοις ὅμοιαι αἱ ἕλικες (volvulae) Εὐσταθίῳ ψέλλια ἔσθ' ὅτε καὶ ἐνώτια· Οἷον Ἀφροδίτη (ἐν τῷ ὕμν. ς. 164.)
„ Εἶχε δ' ἐπὶ γναμπτὰς ἕλικας, κάλυκάς τε φαεινάς.
Ταῦτα δὲ ἐπὶ τῇ τῶν θηλειῶν διακοσμήσει καὶ Ὅμηρος τίθησιν. (Ἰλ. Σ'. ς. 401.)
„ Πόρπας τε, γναμπτάς θ' ἕλικας, κάλυκάς τε καὶ ὅρμους.
Καὶ κάλυκας μὲν, φησὶν Εὐστάθιος, εἶναι κατά τινας, χρυσοῦς Κρωβύ-

λȣς, οἷς οἱ βόςρυχοι ἀνεδȣντο. Καὶ Ἡσύχιος δ' οὕτω: Κάλυξ, „ χρυσῆ σύριγξ ἢ τȣς πλοκάμȣς συνέχȣσα. Ὁ δ' ὅρμος περιδέρραιον ἐςὶ περιτραχήλιος κόσμος: ὡς ἐπὶ τῇ Ἀφροδίτης διακοσμήσει, (ἐν τῷ ὕμν: ς. 88.)

„ Ὅρμοι δ' ἀμφ' ἁπαλῇ δειρῇ περικαλλέες ἦσαν
„ Καλοὶ, χρύσειοι, παμποίκιλοι.

Ὁμοίως κἀν τοῖς δωρήμασι, τοῖς Πηνελόπῃ προσφερομένοις: (Ὀδυσ: Σ'. ς. 294.)

„ Ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικε
„ Χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἠέλιον ὥς.

Ἐμνήσθη δὲ Παυσανίας (ἐν Βοιωτικ: τοῖς ἐχατ:) ᾗ διέςειλε, τȣς ὅρμȣς τȣς ποικιλτȣς, ἀπὸ τῶν ἁπλῶς ἐκ μόνȣ χρυσίȣ ἐξειργασμένων: οἷος περ ἦν ὁ τῆς Ἐριφίλης, ὅνπερ χρύσεον ἀποκαλεῖ Ὅμηρος. (Ὀδυσ: Λ'. ς. 326.) Οὕτω καὶ τὸν Ἑλένης ὅρμον, Μενέλαος ἀνέθετο ἐν Δελφοῖς, ὃν ἡ Πυθία πάγχρυσον κόσμον ὠνόμασε: (παρ' Ἀθην: Βίβλ: ς'.) ἀλλὰ καὶ Στεφάνας φέρειν τὰς γυναῖκας, δῆλον ἐκ τῆς Ἰλιάδ: Σ'. ς. 597.)

„ . . . . Καί ῥ αἱ μὲν καλὰς Στεφάνας ἔχον.

Ἀλλὰ γὰρ μηδεμίαν γενέσθαι δακτυλίων χρῆσιν, διατείνεται Πλίνιος (ἐν Βιβλ. ΛΓ'. Κεφ. Β'.) Nec Iliacis temporibus, ait, ullos fuiſſe anulos video; nusquam certe Homerus dicit, cum et codicillos miſſitatos epiſtolarum gratia indicet, et conditas artis veſtes, ac vaſa aurea, argenteaque, et ea colligata nodi, non anuli nota. Sortiri quoque contra provocationem duces, non anulis tradit.

Fabricari etiam Deûm fibulas, et alia muliebris cultus, sicut inaures, in primordio factitasse, fine mentione „ anulorum. Οὐδ᾽ ἐπὶ τῶν Ἰλιακῶν (φησὶ) χρόνων, δακτυ- „ λίων ὅλως ὁρᾷ χρῆσιν γενέϑαι· ἥπȣ γὰρ ȣ̓δαμῆ Ὅμηρος „ εἴρηκεν ὁπότε καὶ τὰ πεμπόμενα τῶν ἐπιςολῶν γραμ- „ μάτια παραδηλοῖ, καὶ τάγε ἐν κιβωτίοις ἐναποκείμενα „ ἱμάτια, καὶ σκεύη δὲ χρύσεάτε καὶ ἀργύρεα, καὶ ταῦτα „ δὲ συνάμματος σύνδετα, ȣ̓χὶ δακτυλίȣ ἐπισφραγίσ- „ ματι. Λαγχάνειν δὲ καὶ τȣ̀ς ἡγεμόνας ἀντιπροσκαλȣμε- „ νȣς, ȣ̓κουν διὰ δακτυλίων παραδίδωσι. Τεκτονεῖϑαι δὲ καὶ „ τὰς τῶν Θεῶν πόρπας, καὶ τ᾽ ἄλλα τῆς γυναικείȣ „ περικοσμήσεως, οἷον τὰ ἐνώτια καὶ κατ᾽ ἀρχας „ ἀπεξεργάζεϑαι μηδεμιᾶς τὸ παράπαν δακτυ- „ λίων χρήσεως μνημονευομένης.

Περιβεβλῆϑαι δὲ καὶ χειρῖσι λέγεται τὰς χεῖρας Λαέρτης, (Ὀδυσ. Ω΄. ς. 229.) ὡς ἂν αὐτῷ τὴν ἀλωὰν γεωργȣ̃ντι ὑπὸ τῶν βάτων μὴ βλάπτοιντο.

„ Χειρῖδας τ᾽ ἐπὶ χερσὶ βάτων ἕνεκ᾽. . . . . . .

Καὶ Εὐςάϑιος δὲ φησὶ τὰ τῶν χειρῶν καλύμματα ἐκ δερμάτων· προςίϑησί τε μὴ μόνον κατὰ τῶν ἀκανϑῶν προσειλῆφϑαι ταῦτα, ἀλλὰ καὶ ἐπ᾽ ἔργων εὐχέρειαν· καὶ γὰρ καὶ τȣ̀ς τοξότας τȣ́τοις κεχρῆϑαι, καὶ τȣ̀ς πλύνοντας, καὶ τȣ̀ς ζυμȣ̃ντας. Ἀλλὰ τῶν χειροϑηκῶν, αἷς ἐπὶ τȣ̃ παρόντος χρώμεϑα, ȣ̓́τις ἦν τοῖς παλαιτέροις Ἕλλησι χρῆσις, ὡς ἐκ τȣ̃ Ξενοφῶντος δηλȣ̃ται, τȣ̃ πρὸς ταῖς λοιπαῖς τῶν Περσῶν τρυφαῖς, μίαν εἰς δεῖγμα τιϑεμένȣ καὶ ταύτην: ὅτι τοῖς κεφαλῆς καὶ ποδῶν σκέπασι μηδαμῶς ἐξαρκȣ́μενοι, ἔτι καὶ τὰς „ χεῖρας ἐν δακτυλοϑήκαις κατὰ τȣ̃ ψύχȣς προσησφαλίζοντο: ἀλλα „ καὶ περὶ ἄκραις (φησὶ) ταῖς χερσὶ, χειρῖδας δασείας, „ καὶ δακτυλήϑρας ἔχȣσιν.

Ο῾ δὲ Λαέρτης κ̓ τὰς κνήμας ὤχυρε ἐν κνημῖσι βοέαις. (Ο᾽δυσ. Ω΄. ς. 227.)

„ . . . . . . . . . Περὶ δὲ κνήμησι βοέας
„ Κνημῖδας ῥαπτὰς δέδετο, γραπτῦς ἀλεείνων

Οἱ δ᾽ ἄλλως ἐν ὑποδήμασιν ἤρκεντο, ἃ Ο῞μηρος ἀποκαλεῖ πέδιλα, ἐν οἷς παρίστησιν Α᾽γαμέμνονα τῆς κλίνης ἐξεγειρόμενον. (Ιλ. Β΄. ς. 44.)

„ Ποσσὶ δ᾽ ὑπαὶ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.

Ο῝ δὴ καὶ περὶ τῆς Η῞ρας φησὶ, κ̓ ἀλλαχοῦ περὶ ἄλλων ἔσθ᾽ ὅποι προεξιόντων: οἷον περὶ τοῦ παρὰ τῷ Συβώτῃ ἐπιξενωθέντος, ὅτ᾽ ἂν ἀπὸ τοῦ σαθμοῦ ἐξέλθοι: (Ο᾽δυσ. Ξ΄. ς. 80.) Α᾽μέλει καὶ γὰρ οἱ παλαιοὶ οὐκ ἀεὶ ὑποδεδεμένοι ἐτύγχανον, ὥσπερ οἱ σήμερον· ἀλλ᾽ εἴποτε ἔμελλον ἐξιέναι μακροτέραν ὁδὸν ἐπαναληψόμενοι. Οὕτω δὲ ἄρα καὶ Ἑρμῆς (ἐν τῷ ὕμνῳ ς. 83. — 86.) τὰς Α᾽πόλλωνος βοῦς ἀπαγαγεῖν παρασκευαζόμενος

„ . . . . Υ῾πὸ ποσσὶν ἐδήσατο σάνδαλα κοῦφα . . .
„ Οἷα τ᾽ ἐπειγόμενος δολιχὴν ὁδόν. . . . . . . .

Α᾽λλά γε τὰ σάνδαλα ἰδιαίτερον ἦν πέδιλα γυναικεῖα, καθὰ φησὶν Η῾σύχιος· διὸ καὶ ἡ ᾽Ομφάλη παρὰ Λουκιανῷ τῷ ἑαυτῆς σανδάλῳ λέγεται τὸν Η῾ρακλέα πατάξαι· καὶ ἡ Α᾽φροδίτη δὲ πεποίηται τῷ Βίωνι (ἐν ᾽Αδώνιδι νεκρωθέντι:) ἀσάνδαλος διὰ δρυμόνων ὁδεῦσαι, αἱμάσσουσα πόδας. Ο῞λως δὲ καὶ Αἰλιανὸς (ἐν Βιβλ. Α΄. Κεφ. ΙΗ΄. τῶν περὶ ποικίλ. Ι῾στορ:) περὶ τῆς τῶν ἀρχαίων γυναικῶν τρυφῆς διαλεγόμενος, φησὶ, πρός γε τοῖς ἄλλοις, καὶ σανδαλίοις αὐτὰς ὑποδεδέσθαι. Ε᾽πὶ μὲν γὰρ τῆς κεφαλῆς στεφάνην ἐτίθεντο ὑψηλὴν· τοὺς δὲ πόδας σανδάλοις ὑπεδοῦντο· ἐκ δὲ τῶν ὤτων

„αὐταῖς ἐναντία μακρὰ ἀπεκρέμαντο. Τῶν δὲ χιτώνων τὰ „περὶ τοὺς ὤμους ἄχρι τῶν χειρῶν οὐ συνέρραπτον, ἀλλὰ πε„ρόναις χρυσαῖς καὶ ἀργυρέαις συνεχέσι κατελάμβανον.

## ΚΕΦΑ'Λ. Η'.

## Περὶ τῶν Κλινῶν.

Ἀπεδύοντο δὲ τὰ ἱμάτια ὁσάκις ἐπὶ τῆς κοίτης πρὸς ὕπνον ἀπήρχοντο, καὶ ἀπὸ δο ου τῆς ἐν τῷ κοιτῶνι αὐτὰ ἀνήρτων, ἄχρις ἐξεγρόμενοι ἀναλήψαιντο, ὡς ἰδεῖν ἐστὶν (Ὀδυσ. Α'. ς. 437) ἔνθα Τηλέμαχος:

„ . . . . . . . μαλακὸν δ' ἔκδυνε χιτῶνα.
„Καὶ τὸν μὲν γραίης πυκιμηδέος ἔμβαλε χερσίν·
„Ἡ μέντοι πτύξασα, καὶ ἀσκησασα χιτῶνα,
„Πασσάλῳ ἀγκρεμάσασα παρὰ τρητοῖσι λέχεσσι

Μεθ' ὃ Τηλέμαχος κοιταθεὶς ὕπνωσεν,

„Ἔνθ' ὅγε παννύχιος, κεκαλυμμένος οἰὸς ἀώτῳ.

Αἱ μὲν οὖν κλῖναι συνίσαντο μάλιστα ἐκ ξύλου, ὡς Ὀδυσσεὺς μαρτυρεῖ (Ὀδ. Ψ'. ς. 189.) περὶ τῆς κλίνης, ἣν ἐξ ἐλαίας αὐτὸς ἐτεκτήνατο, καὶ χρυσῷ, καὶ ἀργύρῳ, καὶ ἐλέφαντι κατεκόσμησεν· ἔνθεν δὲ καὶ ἔνθεν ἐτάνυσεν ἱμάντα βοὸς ἀπὸ τῶν ὑπερεισμάτων, οὓς ἑρμῖνας καλοῦσι. Διὸ καὶ λέχεα τρητὰ τὰς τοιαύτας κλίνας ὁ Ποιητὴς συνεχῶς ὀνομάζει· πρὸς τὴν τῶν σχοινίων δέσιν δηλονότι, διὰ τὰς ἐν ταῖς ὄχθαις (ἤτοι ταῖς πλευραῖς) γινομένας διατρήσεις, δι' ὧν οἱ τό-

νοι διήρχοντο οἱ τὴν στρωμνὴν ὑπανέχοντες· τοῦτο δὲ συγχνάκις Ὅμηρος, δι᾽ ἑνὸς τοῦδε συνεκφράζει τοῦ ἔπους, λέγων.

„ Δέμνια, καὶ χλαῖναι, καὶ ῥήγεα σιγαλόεντα. (Ὀδ. Λ'. ς. 188. καὶ Ὀδυσσ. Τ'. ς. 318.)

Καὶ ἦν μὲν τὰ δέμνια, ὡς οἶμαι, ἡ Τυλεία, ἢ πτίλοις, ἢ γναφάλοις, ἢ ἑτέρῳ τοιῷδε ἔμμεστος. Ὅθεν συχνάκις ἀνθ᾽ ὅλης τῆς στρωμνῆς παρὰ τῷ Ποιητῇ ὑποβάλλεται. Τούτοις ἐπετίθεντο τὰ ῥήγεα, καὶ αἱ χλαῖναι, ὡς σαφὲς γίγνεται ἐκ τῆς Ἰλιάδος (Ω'. ς. 644.), ἐν οἷς Ἀχιλλεὺς κελεύει παρασκευασθῆναι κοίτην τῷ Πριάμῳ:

„ Δέμνι᾽ ὑπ᾽ αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
„ Πορφύρε᾽ ἐμβαλέειν, στορέσαι τ᾽ ἐφύπερθε τάπητας·
„ Χλαίνας τ᾽ ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι.

„ Φησὶν οὖν Εὐστάθιος: ὑποκεῖσθαι μὲν τὰ δέμνια δίκην κλί-
„ νης, καὶ ῥήγεα χάριν ἀναπτώσεως· ὑπερκεῖσθαι δὲ τά-
„ πητας μὲν εἰς σκέπην, χλαίνας δὲ εἰς ἔνδυσιν· τὰ δὲ δὴ
„ ῥήγεα ἰδίως εἶναι βούλεται, βαπτὰ ἱμάτια, ἢ ὑφάσματα,
„ ἢ καὶ ἄλλως τὰ περιστρώματα, καὶ πάντα τὰ βαπτά.

Ἀλλά γε χλαίνας εἶναι τὴν παχυτέραν ἐσθῆτα: τὸ κατὰ Πολυδεύκην, ἐνεύναιον περιβόλαιον: ἤτοι ἱμάτιον εὐναῖον καὶ παρευναῖον μέγα καὶ δασύ· τουτέσι σισύρας ἐξ ἐρίου ἢ γναφάλου· διὸ καὶ οὔλας τὰς τοιάσδε χλαίνας, ἤτοι δασείας τριχώδεις ὁ Ποιητὴς καλεῖ. Καθάπερ οὖν καὶ Θεόκριτος (ἐν Εἰδυλ: ΚΔ'.) ἔνθα τοῦ δράκοντος, τῷ Ἡρακλεῖ ἐν σπαργάνοις κοιτίδος ἐυναζομένῳ εἰσέρποντος, λέγεται ὑπὸ τοῦ βρέφους ἡ χλαῖνα τοῖς ποσὶν ἀπολακτισθῆναι: Οὔλαν δὲ ποσὶν διελάκτισε χλαῖναν, Φευγέμεν ὁρμαίνων. Εἶτα ὑπολαβών: Ἀμφιτρύων, ἀνέφη, ὑπ᾽ ἀμνείαν θέτο

„παῖδα χλαῖναν. Καὶ τάπητες δὲ λαχνώδεις, ὡς εὔχρηστοι ἐν εὐ-„ναῖς ὑπῆρχον. Ἀνακρέων γοῦν φησί.: Διὰ νυκτὸς ἐγκάθευδον „ἁλιπορφύροις τάπησιν. Οὕτω δὲ καὶ Ἀριστοφάνης (ἐν Πλούτῳ, ς. 527.) Οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν, οὔτ' ἐν τάπητι.

Παραπλησίως Οὐϊργίλιος περὶ τοῦ Ῥαμνήτου, (Αἰνειάδ. Θ'. ς 325.κξ.)

. . . . . . . . . . . . . . Qui forte tapetibus altis
Extructus toto proflabat pectore somnum.

„ . . . . . . . . (Ὅς ῥα τάπησιν
„Εὗδεν ἐφ' ὑψηλοῖσιν ὅλῳ τῷ στήθει ῥέγκων.)

Πάντως κατὰ ζῆλον τὸν Ὁμήρου τοῦ ἐν τάπησιν ὑψηλοῖς τε καὶ ἁβροτέροις, καθυψώσαντός τε καὶ ἐφαβρύναντος τὸν τάπητα, τὸν ὑπὸ τῇ κεφαλῇ εὕδοντι τῷ Διομήδει: (Ἰλ: Κ'. ς. 156.)

„Αὐτὰρ ὑπὸ κράτεσφι τάπης τετάνυστο φαεινός.

Ἔνθα τὸ προσκεφάλαιον ἐπέοικε νοεῖσθαι, ὡς ἡρμήνευσε καὶ Ἡσύχιος.

Καὶ τῶν δερμάτων δὲ, ἤτοι τῶν διφθερῶν, οὐ βραχεῖά τις ἦν καθεύδουσιν ἡ χρῆσις. Οὕτως Ἀχιλλεὺς κελεύει ταῖς δμωΐσι στορέσαι λέχος τῷ Φοίνικι. (Ἰλ: Ι.' ς. 657.)

„Κώεά τε, ῥῆγος τε, λίνοιό τε λεπτὸν ἄωτον.

Καὶ Ὀδυσσεὺς δὲ παρ' Εὐμαίῳ κατέλεκτο ἐν δέρμασιν οἴων τε καὶ αἰγῶν (Ὀδυσ: Ξ'. ς. 520.) Χλαίνης αὐτῷ ἐπιβληθείσης πυκνῆς καὶ μεγάλης. Ὁ αὐτὸς δ' ἄλλοτε κατηυνάσθη ἀδέψητον βοέην στορέσας. (Ὀδ: Υ'. ς. 2.) Τοιοῦτο δὲ καὶ τὸ Ἀγχίσου λέχος ὑπῆρχεν, (ἐν Ὕμν. τῷ Ἀφροδ. ς. 159. καὶ 160.)

„ Χλαίνησιν μαλακῆς ἐςρωμένον· αὐτὰρ ὕπερθεν
„ Ἄρκτων δέρματ' ἔκειτο, βαρυφθόγγων τε λεόντων,
„ Τὺς αὐτὸς κατέπεφνεν ἐν ὄρεσιν ὑψηλοῖσιν.

Ὁμοίως παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ. Η'. ς. 368)

. . . . . . . . . . . . . Stratisque locavit
„ Effultum foliis, et pelle Libyſtidos urſae.
„ (Εὔανδρος Αἰνείαν ξενοδοχεῖ:
„ Φυλλάδ' ὑποςιβάσας, καὶ δέρμα Λιβυςίδος ἄρκτυ.)

Οὕτω καὶ Δάφνις παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: Θ'.) φησὶν, ἐςρῶσθαι οἱ τὸ λέχος δαμάλεων δέρμασιν:

„ . . . . . . . Ἐν δὲ νένασαι
„ Λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα.

Ἀλλ' ἦν ἄρα γινομένη καὶ λίνυ χρῆσις εἰς τῦτο, ὡς παρὰ τὸ ἐπενεχθὲν ἀνωτέρω, (ἐκ τῆς Ἰλ: Ι'. ς. 657.) δῆλον γίνεται κακ τῦ (ἐν Ὀδυσ: Ν'. ς. 75.) ἔνθα οἱ Φαίακες,

„ . . . Ὀδυσσῆϊ ςόρεσαν ῥῆγος τε, λινοντε.

Καὶ Δίδυμος μὲν ἑρμηνεύει, λεπτὸν ἱμάτιον: Εὐςάθιος δὲ, σκέπασμά τι σινδονοειδές· ὃ δὴ δαψιλῶς ἐπαινεῖ Ἀπολλώνιος παρὰ Φιλοςράτῳ (ἐν Βιβλ: Η'.) φάσκων,

„ Καθαρὸν τὸ ἐννυχεύειν ὑπὸ λίνῳ.

Ἄλλως γε μὴν ἔτι καὶ χαμαὶ κατευνάζοντο οἱ βίον ἐπασκῦντες σκυθρωπότερον· τοιοίδε ἦσαν οἱ Σελλοὶ οἱ τῦ Δωδωναίυ Διὸς ὑποφῆται, οὓς χαμαιεῦνας Ὅμηρος ἐπονομάζει, (Ἰλ: Π'. ς. 235.) ὡς „κάτω περὶ γῆν αὐτὺς κειμένυς, καὶ μὴ ἐπὶ ςιβάδων, ἢ δε-

„μνίων ὑπνοῦντας. Καὶ Φιλόστρατος δὲ ὁμοίως, (ἐν Βιβλ: Γ. τῶν εἰς τὸν βίον Ἀπολλων:) τοὺς τῶν Ἰνδῶν Βραχμάνας χαμευνίᾳ χρῆσθαι φησὶν, καθυποστρωννῦντας σφίσιν, οἷς ἂν τῶν χόρτων περιτύχοιεν. Καὶ Λαέρτης δὲ ἐν τῷ ἀγρῷ διάγων, ἐπὶ φυλλάδος ηὐνάζετο (Ὀδυσ: Λ΄. ς. 192.)

„Πάντῃ (γὰρ) οἱ κατὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
„Φύλλων κεκλιμένων χθαμαλαὶ βιβλήαται εὐναί.

Στιβὰς δὲ παρὰ Θεοκρίτῳ (ἐν τῷ Ζ΄. Εἰδυλ:) ἀναγινώσκεται πρὸς εὐνὴν, εἰς πῆχυν ὅλον ἐπιπυκνουμένη.

„Κνύζᾳ τ᾽, ἀσφοδελῷ τε, πολυγνάμπτῳ, Σελίνῳ.

Τοιαύτας ἐν τοῖς Θεσμοφορίοις καὶ αἱ Ἀτθίδες σφίσι παρεσκεύαζον τὰς εὐνὰς, ἐκ φύλλων ἀμπελίνων, ὡς παρὰ τῷ Διοσκορίδῃ ἀναγινώσκεται (ἐν Βιβλ: Α΄. Κεφ. Κς΄.) Τέως δὲ καὶ Πλούταρχος (ἐν τῷ περὶ τοῦ δαιμον, τοῦ σωκρ·) χαμευνῶν τῶν ἐξ ἄγνου τε καὶ μυρίκης ἀναμιμνήσκεται.

## ΚΕΦΑΛ. Θ΄.

## Περὶ Λούσεως καὶ Χρίσεως.

Συχνόταται παρ᾽ ἕλλησιν ἦσαν αἱ ἀπολούσεις καὶ Ἐπιχρίσεις· δι᾽ ὧν οὐχ ὅπως τοὺς ῥύπους ἐκπλύνεσθαι ἔχοιεν, ἀλλά τινα καὶ ψυχαγωγίαν σὺν ἡδονῇ ἑαυτοῖς προμνηστεύειν· τούτων δὲ πρὸς ἑκάτερον ἐκείνους ἀποσκοπεῖν, Εὐστάθιος ἐπιμαρτυρεῖ, λέγων· εἰσενηνέχθαι τὸ βαλανεῖον, ὅπως ἂν ᾖ ῥύπου μὲν ἀποθετικὸν, ἀναψυχῆς δέ τινος, αἴτιον. Ἔνθεν τοι διηνεκῶς παρ᾽ Ὁμήρῳ, οἱ, εἴτε ἀπὸ τῆς μάχης

ἐπανιόντες, εἴτ' οὖν καὶ δι' ὁδοῦ μακροτέρας εἰς δῶμα τινὸς καταλύοντες, λοῦονταί τε καὶ χρίονται, εἶθ' οὕτως ἐπὶ δαῖτας δαψιλεστέρας προσίασι. Δεῖγμα δὲ τοῦ τοιούτου πρόκειται τὸ Διομήδους τε καὶ Ὀδυσσέως, οἳ ἀπὸ τῆς κατασκοπεύσεως ἐπανελθόντες: (Ἰλ: Κ΄. ς. 578.)

„Τὼ δὲ λοεσσαμένω, καὶ ἀλειψαμένω λίπ' ἐλαίῳ,
„Δείπνῳ ἐφιζανέτην . . . .

Ὡσαύτως Τηλέμαχός τε καὶ Πεισίστρατος παραγεγονότες εἰς δώματα Μενελάου, λουθέντες τε καὶ χρισθέντες ὑπὸ τῆς ἀμφιπόλου, πρὸς εὐωχίαν καλοῦνται. (Ὀδ: Δ΄. ς. 49.) Ὅθεν Ἀθήναιος (ἐν τῷ „Θ΄. Βιβλ:) ὡς ἐξ Ὁμήρου δεῖν (οἴεται) θεραπεύσαντα τὸ „σωμάτιον, καὶ λουσάμενον ἰέναι πρὸς δεῖπνον. Ταὐτὸ δ' ἐγίνετο καὶ ὁσάκις, ἀνιαροῦ τινος ἀπαλλαγέντες, εἰς θυμηδίαν ἐφίεντο σφᾶς αὐτοὺς μεταθέσθαι. Οὕτως ἡ Εὐρυνόμη τῇ Πηνελόπῃ παραινεῖ (Ὀδυσ: Σ΄. ς. 171.) ἀποπαυσαμένην τοῦ δακρύειν, νίψασθαί τε καὶ τὸ πρόσωπον χρῖσαι, ἵν' οὕτω πρὸς τὸν υἱὸν προέλθῃ, καὶ τοὺς μνηστῆρας προσφθέγξηται:

„Χρῶτ' ἀπονιψαμένη, καὶ ἐπιχρίσασα παρειάς.

Τὸ δ' αὐτὸ ἔθος καὶ παρὰ Ῥωμαίοις κεκρατηκέναι, ἀριθμὸν νικῶσιν οἱ μαρτυρούμενοι, μηδαμῶς ἢ καλῶς αὐτοὺς νιψαμένους τε καὶ χρισθέντας ἐπὶ τὸ εὐθυμότερον μετατρέπεσθαι.

Φίλον δὲ τοῖς Ἥρωσιν ἦν, ἐν ὕδατι ἀπολούεσθαι θαλασσίῳ, ὡς Διομήδης καὶ Ὀδυσσεύς: (Ἰλ: Κ΄. ς. 572.)

„. . . Ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ
„Ἐσβάντες, κνήμας τε ἰδὲ λόφον, ἀμφί τε μηρούς.

Ἀμέλειτοι γὰρ καὶ λίαν καθαρτικόν ἐστι τῆς θαλάσσης τὸ ὕδωρ, καὶ τοῖς νεύροις προσφορώτατον, ἥ φησιν Ἀθήναιος (ἐν βιβλ: „Α΄.) Κόπον μὲν θαλάττῃ λούοντες, ἥ μάλιστα τοῖς νεύ„ροις ἐστὶ πρόσφορος· οὗ χάριν καὶ Ῥωμαῖοι τὰ πελάγια τῶν

βαλανείων ἐκτόπως ἤρεντο: ὡς Μνέστιος ἔφασκεν ὁ Φῆλιξ: Placuit Ostiam petere, amoenissimam civitatem, quod esset corpori meo siccandis humoribus de marinis lavacris blanda et apposita curatio. „Ἔδοξεν ἀπελθεῖν εἰς Ὀστίαν πόλιν „πάντερπνον· εἴη γὰρ ἂν πρὸς ἐξικμάσίαν τῶν χυμῶν „τοῦ μοῦ σώματος, ἡ ἐκ τῶν πελαγίων λουτήρων θεραπεία „ἡδεῖά τε ἅμα καὶ πρόσφορος. Διὰ δὴ τοῦτο καὶ Ναυσικάα μετὰ τῶν ἑταίρων παιδισκῶν, ἐπὶ τὰς ἐκβολὰς τοῦ ποταμοῦ προγέει πλυνέουσα. (Ὀδυσ: Ζ'. ϛ. 59.) Καὶ ἐκ ἄλλως δὲ καὶ ἡ Εὐρώπη προεληλυθέναι παρὰ τῷ Μόσχῳ πεποίηται.

„Ἢ ὅτι φαιδρύνοιτο χρόα προχοαῖσιν Ἀναύρου

Ἄλλως τε δὲ καὶ τοῖς ποταμοῖς εἰωθότες ἦσαν οἱ παλαιοὶ Ἥρωες ἑαυτοὺς πλύνειν, ὡς Ἀγήνωρ (Ἰλ: Φ'. ϛ. 560.)

„. . . . . Λοεσσάμενος ποταμοῖο

„Ἱδρῶ ἀποψυχθεὶς - - - - - - -

Ὅπερ δὴ σύνηθες ὑπάρξαι τοῖς Λακεδαιμόσιν ἐν τῷ Εὐρώτᾳ ποιεῖν ἀνέκαθεν ἤδη ἀπὸ τῶν Ἡρωϊκῶν χρόνων, Θεόκριτος δείκνυσιν, ἐν τῷ τῆς Ἑλένης ἐπιθαλαμίῳ· ἔνθα αἱ Σπαρτιάτιδες νεάνιδες, ἀσματίζουσιν, ὅτι καὶ αὐταὶ, ὥσπερ οἱ ἄνδρες, ἐν τοῖς χεύμασιν ἐπιχρίονται τοῖς τοῦ Εὐρώτα:

„Χρισάμεναι ἀνδριστὶ παρ' Εὐρώταο λοετροῖς.

Ἀλλά γε συνήθως εἶχον, οἴκοι συνεχέστερον ἐν λουτῆρσι θερμοῖς ἀναστρέφεσθαι. Ταύτητοι Διομήδης καὶ Ὀδυσσεὺς, μετὰ τὸ ἐν τῇ θαλάσσῃ ἀπορυφθῆναι: (Ἰλ: Κ'. ϛ. 576.)

„Ἐς ῥ' ἀσαμίνθους βάντες ἐυξέστας λούσαντο.

Οὕτωσὶ Νέστωρ ὑπὸ Ἑκαμήδης βούλεται αὐτῷ: (Ἰλ: Ξ'. ϛ. 6.:) Θερμὰ λοετρὰ παρασκευασθῆναι.

Καὶ ἡ Ἀνδρομάχη δὲ, ἀπὸ τῆς μάχης τȣ̃ Ἕκτορος ἐπανιόντος: (Ἰλ: Χ΄. ς. 443.)

„ . . . . . . κέκλετο ἀμφιπόλοισιν
„ Ἀμφὶ πυρὶ ςῆσαι τρίποδα μέγαν. . . . .
„ Ἕκτορι θερμὰ λοετρὰ, μάχης ἐκνοςήσαντι.

Καὶ τοῖς Φαίαξι δ' εἴρηται, θυμήρη ἐξόχως εἶναι (Ὀδυσ: Θ΄. ς. 249).

„ Εἵματά τ' ἐξημοιβὰ, λοετρά τε θερμὰ, καὶ εὐναί.

Ὁ δέ τοι Πίνδαρος (Ὀλυμπ: ΙΒ΄.) δι' ἐπαίνȣ ἄγει:

„ Θερμὰ Νυμφᾶν λȣτρά.

Καὶ (Νέμ. Ὠδῇ Δ΄.) Ἐν θερμοῖς (φησὶ) λȣτῆρσι τὰ τȣ̃ σώματος μέλη ἀναθάλπεσθαι·

„ Οὐδὲ θερμὸν ὕδωρ τόσσον
„ Γε μαλακὰ τεύχει
„ Γυῖα. . . . . . . . .

Δῆλα δὲ καὶ τὰ Ἡρακλήϊα λȣτρὰ, ἃ ὑπερζέοντα Ἥφαιςος τῷ Ἡρακλεῖ καθυπέθηκεν, ἢ παρὰ τῷ Σχολιαςῇ ἀναγινώσκεται τȣ̃ Ἀριςοφάνȣς. (ἐν ταῖς Νεφέλαις. ἐν ς. 1041.) Πȣ̃ ψυχρὰ δῆθεν πώποτ' εἶδες Ἡράκλεια λȣτρά. Τοιγαροῦν ἔλαθε Πλίνιον (Βιβλ. ΛΑ΄. ἐν Κεφ. ς.) εἰπόντα, μηδαμῇ τὸν Ὅμηρον, θερμῶν πηγῶν ὑπομνησθῆναι. Homerum calidorum fontium mentionem non fecisse, cum alioquin lavari calida frequenter induceret; videlicet quia medicina tunc non erat haec, quae nunc aquarum perfugis utitur.
„ (Ὅμηρον θερμῶν πηγῶν μνείαν μὴ πεποιηκέναι, καὶ περ
„ ἄλλως τȣ̀ς θερμᾷ λȣομένȣς συνεχῶς εἰσάγοντα: ἀμέλει



ΔΗΜΟΚΡΑΤΙΚΗ
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

„ τοι, ἐπεὶ τὸ τηνικαῦτα ἡ Ἰατρικὴ αὕτη ἐκ ἦν, ἡ νῦν ἐπὶ „ τὰ ὕδατα καταφεύγεσα. Καὶ γὰρ θατέρᴕ τῶν τᴕ Σκαμάνδρᴕ πηγῶν (Ἰλ: Χ΄. ϛ. 149.)

„ . . . . . Ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
„ Γίνεται ἐξ αὐτῆς, ὡσεὶ πυρὸς αἰθομένοιο.

Ἧπε δ᾽ εἰκός γε ἦν, ἐκ ἄλλοθεν, ἢ ἐκ τῆς φύσεως τὲς ἀνθρώπες παρειληφέναι, ὃ διὰ τέχνης συνεπορίσαντο.

Τελευταῖον μετὰ τὴν διὰ τᴕ λετρᴕ ῥύψιν ἐπεχρίοντο· ὡς ἂν οὕτως αὐτοῖς οἱ πόροι ἐμφραγεῖεν τᴕ σώματος. Οὕτω γὰρ Εὐστάθιος (ἐν τῷ „τῆς Ἰλιάδ. Κ. ϛ. 577.) Ἐλαίῳ δὲ ἐχρίοντο οἱ λεσάμενοι, „ἐμφράττοντες τὲς σωματικὲς πόρες, ὡς ἂν μετὰ τὸ λε„τρὸν στέγοιεν τὴν ὑγρότητα. Ἀλλὰ μῦρα ἐπὶ τῶν Ἰλιακῶν χρόνων ἐκ ἦν, ἣ μαρτυρεῖ Πλίνιος (ἐν τῷ ΙΓ΄. Βιβλ. Κεφ. Α΄.) τοιαῦτα δηλονότι, οἷάπερ ἐν τοῖς ἐφεπομένοις καιροῖς διὰ χρήσεως ἧκον. Ἐλαίῳ δὲ μόνῳ προσεχρῶντο, συμμιγνῦντες ἐκ τῶν θαμνίων τὰ εὐοσμότερα, ἐξόχως τὰ ῥόδα. Ὅθεν τὸ ἔλαιον ὁ Ποιητὴς ἐπαινεῖ τὸ ῥόδινον. (Ἰλ. Ψ΄. ϛ. 186.) ᾧπερ Ἀφροδίτη ἐπέχρισεν Ἕκτορα: Ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ. Ἄλλως τε δὲ, καὶ τεθυωμένον ἀποκαλεῖ τὸ ἐξ εὐοσμων τινῶν ἠρτυμένον, ὅτε περὶ τῆς Ἥρας φησὶν: (Ἰλ: Ξ΄. ϛ. 172. κξ.)

„ . . . . . Ἀλείψατο δὲ λίπ᾽ ἐλαίῳ
„ Ἀμβροσίῳ, ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν
„ Τᴕ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ,
„ Ἔμπης ἐς γαῖάν τε καὶ ὀρανὸν ἵκετ᾽ ἀϋτμή.

Μέμνηται δὲ τέτε καὶ Ἀθήναιος (ἐν Βιβλ. ΙΕ΄.) ἐν οἷς διὰ πολλῶν τὰ τῆς Μυρεψικῆς ἐκτιθέμενος, διατείνεται ὅτι καὶ Ὅμηρος εἰδὼς ἦν χρῆσιν μύρων: κἂν εἰ, σὺν ἐπιθέτῳ τινὶ ὀνομάζοι ἔλαια. Ὅπως οὖν ἀλλ᾽ ἔχοι τὸ περὶ τέτε Ὅμηρος ἐκ εἰσάγει τὲς Ἥρως μύροις ἀλειφομένες·

ἢ γοῦν, κατά γε τὸ αὐτῷ δοκοῦν Ἀθηναίῳ (ἐν τῷ Α΄. τῶν Βιβλ.) μόνος παρ' Ὁμήρῳ ὁ Πάρις, **κάλλει σίλβων παρίσαται.** (Ἰλ.: Γ΄. ς. 392.)

Καὶ αἱ ἐσθῆτες δὲ πολλάκις εἰώθεσαν ὑπὸ γυναικῶν πλύνεσθαι, ὥσπερ ὑπὸ τῆς Ναυσικάας, καὶ τῆς Φοινίσσης ἐκείνης, ᾗ συνανδραποδισθεὶς ἅμα ἑάλω Εὔμαιος. (Ὀδυσ: Ο΄. ς. 419). Οὕτω δὲ Σιμωνίδης εἴρηκε περὶ γυναικὸς εἰδεχθοῦς: **αὐτὴ δ' ἄλουτος, ἄπλυτός τε εἵμασιν.** Ἦν δ' ἐπὶ τούτῳ πλυντήρια ἐγγὺς τῶν πόλεων κατεσκευασμένα, ὡς περὶ τῆς Τροίας Ὅμηρος μαρτυρεῖ. (Ἰλ. Χ΄. ς. 153.)

„Ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασσι
„Καλοὶ, λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα
„Πλύνεσκον Τρώων ἄλοχοι, καλαί τε θύγατρες.

Τοῦτο δ' ἐγίνετο διαφερόντως ἐπ' εὐθυμίας αὐτοῖς τρεπομένοις, καθὰ περὶ τῶν υἱῶν Ἀλκινόου εἴρηται: (Ὀδυσ. Ζ΄. ς. 64.)

„Οἱ δ' αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ' ἔχοντες
„Ἐς χορὸν ἔρχεσθαι. . . . . . .

## ΚΕΦΑΛ: Ι.

## Περὶ Κομμωτικῆς.

Εἰς κόσμον δὲ τοῦ σώματος καὶ εὐπρέπειαν ἀνήκουσα ἐστὶ καὶ ἡ κόμη, ἣν δὴ τρέφειν τε καὶ τημελεῖσθαι, οὐ μικρὸν Ἕλληνες ἐποιοῦντο λόγον πρὸς ἐγκαλλώπισιν. Διόπερ Ὅμηρος τοὺς Ἕλληνας ἁπανταχοῦ ἐπισεμνύνει

ὀνομάζων κορηκομόωντας· τετέςι κομῶντας τὰ κάρηνα, καὶ πολύτριχας. Εὐςάθιος δὲ τῦτ' ἔφη αὐτὰς ἐπιτηδεύεσθαι, ὐχ ὅπως καλλυ-
„νομένες, ἀλλὰ καὶ φοβερωτέρους καθιςαμένους· Ἔθος ἦν αὐτοῖς κόμην
„τρέφειν, ὐ μόνον εἰς κάλλος, ἀλλὰ καὶ διὰ τὸ φοβερόν·
„οὕτω γὰρ καὶ λέων χαιτήεις φοβερώτερος τῦ μὴ χαίτην
„ἔχοντος. Οὕτω καὶ περὶ Λεωνίδυ τῦ τῶν Σπαρτιατῶν Ἄνακτος γράφων
„ἐςὶ Φιλόςρατος (ἐν τῷ Η'. Βιβλ:) ὡς ἄρα γένοιτο κομῶν
„ὑπὲρ ἀνδρείας, καὶ τῦ σεμνὸς μὲν φίλοις, φοβερὸς δὲ ἐχ-
„θροῖς φαίνεσθαι.

Ἡ δέ τοι κόμη ἡ ξανθὴ μάλιςα ἤγετο ἐν ἐπαίνῳ, ἣν ἐπ' Ἀχιλλεῖ, καὶ Μελεάγρῳ, καὶ Μενελάῳ ἐξυμνεῖ Ὅμηρος. Τοιαύτην δὲ καὶ τὴν τῆς Κίρκης Ὀρφεὺς περιγράφει.

„. . . . . . . . . . . Ἀπὸ κρατὸς γὰρ ἔθειραι,
„Πυρσαῖς ἀκτίνεσσ' ἐναλίγκιοι ἠώρηντο.

Καὶ Οὐϊργίλιος δὲ ἀνακηρύττει (ἐν τῷ Δ'. τῆς Αἰνειάδος, ς. 559.)

Et crines flavos, et membra decora juventae.

„(Καὶ ξανθὴν δὲ κόμην, καὶ γυῖα δὲ ἀγλαὰ ἥβης.)

Ἀλλὰ καὶ Κατύλλος καταγλαΐζει κλεΐζων τὴν Βερενίκης χρυσείαν κόμην. Διόπερ ἐν γένει Εὐριπίδης φησὶ, τὸν Ἔρον ὑπὸ τῆς ξανθῆς κόμης ἁλίσκεσθαι.

„Φιλεῖ κάτοπτρα, καὶ κόμης ξανθίσματα.

Καὶ αἱ οὖλαι δὲ τρίχες ἐν ἐπαίνῳ ἦσαν· οὗπερ ἕνεκα, χάριν ἐθέλουσα τῷ Ὀδυσσεῖ περιάψαι Ἀθήνη, (Ὀδύσ: Ζ'. ς. 231.)

„Οὔλας εἶκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.

Ἔνθεντοι καὶ οὐλοκάρηνος Ὁμήρῳ Ὀδυσσεὺς εἴρηται. Οὕτω δὲ καὶ Μόσχος ὁ Βουκολιαςὴς τὴν Ἔρωτος κεφαλὴν ἐν θριξὶν οὔλαις ὑπο-

σκιάζει· τȣτὶ δὲ ἄρα καὶ ἐντέχνως ἐπειράσαντο περιποιεῖσθαι, ἐν συνάμμασι (*) διαςρεβλȣ͂ντες, καὶ λαβίσι τε, καὶ βελόναις, κ. τοιȣ́τοις ἄλλοις μεταλλικοῖς πεπυρακτωμένοις ὀργάνοις τὰς κόμας. Τῶν ȣ͂ν τοιῶνδε βοςρύχων (ἢ κρωβύλων) Ὅμηρος πολλαχȣ͂ μνημονεύει, ȣ͂ς δὴ πλοκάμȣς, ἢ πλοχμȣ̀ς ὀνομάζει. Οἷον περὶ τῆς Ἥρας λέγων, (Ἰλ: Ξ΄. ς. 175.) φησὶν, ὅτι

„ . . . . . . . . . Χαίτας
„ Πεξαμένη, χερσὶ πλοκάμȣς ἔπλεξε φαεινȣ̀ς,
„ Καλȣ̀ς, ἀμβροσίȣς, ἐκ κράατος ἀθανάτοιο.

Τοιȣ͂τοι δὲ κ. τῷ Εὐφόρβῳ (Ἰλ: Ρ΄. ς. 52.) ἀπονεμόμενοι φέρονται:
„ Πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

Πρὸς ὃ καὶ Πλίνιος (Βιβλ: ΛΛ΄. Κεφ: Α΄.) ἀπιδὼν ἔφη. Apud Homerum, virorum crinibus aurum implexum. (Παῤ „Ὁμήρῳ ταῖς ἀνδρῶν χαίταις χρυσὸς ἐμπέπλεκτο. Ἀθη„ναίοις μὲν ȣ͂ν τὸ πάλαι πάτριον ἦν, τέττιγας χρυσȣ͂ς „ταῖς ἑαυτῶν κόμαις ἐνάπτειν, ὡς μαρτυρεῖ Θȣκυδίδης (ἐν τῷ Α΄. τῆς Ἱςορ:) καὶ δὴ καὶ Πλȣ́ταρχος ἐςὶ γράψας τȣ́ς γε Κολοφωνίȣς, χρυσαῖς ταινίαις διακοσμȣμένας εἰς κάλλος ἀγλαΐζειν τὰς κόμας: τȣ̀ς δὲ δὴ τοιȣ́τȣς βοςρύχȣς κέρατος δίκην εἰώθεσαν σχηματίζειν· ἐξ οὗ κ. κατὰ τȣ͂ Πάριδος εἴρηται κέρα ἀγλαά. (Ἰλ: Λ΄. ς. 385.) ὡς ἑρμηνεύσαντες εἰσὶν Ἡρόδοτος, καὶ Ἀπίων ὁ Γραμματικός. Ὡσαύτως δὲ καὶ Σώφρων ὁ συγγραφεὺς τῶν Μίμων, κορώνας ἀναδȣμένȣς λέγει, οἷς οἱ βόςρυχοι, ἐν ὁμοιώματι κεράτων τόξȣ ἀνεκορυφȣ͂ντο.

Καὶ πρὸς ἔθ' ὅ, τι δὲ σχῆμα τὰς κόμας ἀπέκειρον: οἷον οἱ ἐν Εὐβοίᾳ, δῆμος Ἀβάντων, ὑπὸ τȣ͂ Ποιητȣ͂ λέγονται, ὄπιθεν κομόωντες,

(*) Ἤ σπειράμασι

ὅτι τὰς ἐνωπίες τῶν τριχῶν ἐξυρῶντο· διὸ Στάτιος ἀνακηρύττει τὲς Ἀβαντιάδας, in terga comatos: Νωτοκόμες, ἢ ὀπισθοκόμες: κατὰ δὲ τὸ ἐκείνων ἔθος, ἐν Δελφοῖς κειράμενον τὸν Θησέα διέξεισι Πλέταρχος. Παρατηρῆσαι δὲ αὐτὲς τὸ τοιῦτον ἡγεῖται: ὅπως μὴ „παρέχοιεν ἐκ τῶν τριχῶν ἀντίληψιν τοῖς πολεμίοις· ὅπερ ὂν, καὶ τὲς Κερῆτας πεποιηκέναι γράφει Ἀντίμαχος ὁ Εὐβοεύς. Τοιάνδε δ' ὑπάρξαι καὶ τὴν κεραν τὴν Ἑκτόρειον βέλεται Ἰσαάκιος ὁ Κέκης. Ἣν κ̀ Ἐυςάθιος ἀναφέρει (Ἰλ: Ψ'.) ὡς ἐκ τῦ Λυκόφρονος. Ὅμηρος δὲ (Ἰλ: Δ'. ϛ. 533.) ἀκροκόμες ἀποκαλεῖ τὲς Θρᾶκας, ὅτι τὸ τῆς κεφαλῆς ἄκρον κομῶντες ἐτύγχανον.

Ἦν δὲ τοῖς ἀρχαίοις ἔθος προσέτι, τὴν ἡλικίαν προϊῦσιν, ἐν ποταμοῖς τοῖς πατρίοις τὰς κόμας κείρεσθαι, ἅτε δὴ ἐξ ὑγρότητος φυομένας. Οὕτω διέξεισιν Ὅμηρος, ἐπὶ τῇ Πατρόκλε κηδείᾳ, τὸν Ἀχιλλέα ἀφελέσθαι τὴν κόμην, ἣν ὁ πατὴρ μετὰ τὸν ἐκείνε νόςον ἐπηύξατο τῷ Σπερχιῷ. (Ἰλ: Ψ'. ϛ. 141.) Μέμνηται δὲ τῦ τοιέτε Παυσανίας (ἐν τοῖς Ἀττικοῖς.) εἰσβάλλων ἐντεῦθεν, ὡς κοινὸν ἦν τὸ ἔθος τοῖς Ἕλλησιν: οὗ δὴ κ̀ παράδειγμα ἐπιφέρει τὸ τῦ Μνησιμάχης υἱῦ, οὗ ὁ Ἀνδριὰς παρὰ τὸν Κηφισσὸν ποταμὸν εἱςήκει, κεκαρμένε τὴν κόμην. Ὁμοίως Φιλόςρατος παραδίδωσιν, ὅτι Μέμνων τὴν ἑαυτῦ κόμην τῷ Νείλῳ ἀπεκείρατο.

Ἀλλ' εἰ καὶ τοῖς παλαιοῖς τῶν Ἑλλήνων, ἄῤῥεσί τε δὴ κ̀ θηλείαις, σπεδή τις περὶ τὴν κόμην ἐγίνετο, ἐκ ἐς ἀεὶ μέντοι ἐν ἐπαίνῳ ἐτίθετο τὸ πρᾶγμα, οἷα πε φανερὸν, ἐξ ὧν ὑπὸ τῦ Ἕκτορος, καὶ ὑπὸ τῦ Διομήδες (Ἰλ. Γ'. ϛ. 55. καὶ Λ'. ϛ. 385.) ὁ Πάρις ἐπί γε τῇ κόμῃ ὡς θηλυδριώδης κεκάκιςο. Διόπερ ὁ Φιλόςρατος (ἐν τοῖς Ἡρωϊκοῖς „φησὶ) διαβέβλητο δὲ πρὸς τὸν Πάριν ὡς δειλὸν, καὶ ἧττω „τῦ κομεῖσθαι. Ὡσαύτως δὲ καὶ Θησεὺς ἀφικόμενος Ἀθήναζε ἄγνως τε, καὶ κόμην πεκτὸς, τοῖς ὑπὸ τῶν τεκτόνων σκώμμασιν ὑποδέδεκτο: Παρθένος ἐν ὥρᾳ γάμε πλανᾶται μόνη. Καὶ τάγε ἔπη τὰ Φωκυλίδες περὶ τέτε ἀρίδηλα:

„ Μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν χαίτην πλοκαμῖδος·
„ Μὴ κορυφὴν πλέξῃς, μηδ' ἄρματα λοξὰ κορύμβων·
„ Α῎ρσεσιν ἐκ ἐπέοικε κόμη, χλιδαὶ δὲ γυναιξίν.

## ΚΕΦΑ'Λ. ΙΑ'.

## Περὶ Οἴκου.

Μετὰ τὴν σίτησιν, καὶ τὴν ἀμφίασιν, σκεπτέα ἥκει καὶ τὰ περὶ τὴν οἴκησιν. Ο῞μηρος ἐν ταῖς τῶν μεγιςάνων μάλιςα περιγράφων ἐςὶν οἰκίας, ἃς δώματά τε καὶ μέγαρα ὀνομάζει: καθὰ καὶ Α'θήναιος, ἐν τῷ Α. τῶν αὐτῦ βιβλίων, παρατετήρηκε. Περὶ τέτων τοίνυν καὶ ἡμῖν ἐπὶ τῦ παρόντος πραγματευτέον.

Τὸν οἶκον ἔκτοθεν ὁ τοῖχος ἦν περιέχων· ἤτοι τὸ ἕρκος, κατ' Ε'υςάθιον, τὸ περὶ τὴν αὐλὴν τειχίον, μεθ' ὃ αἱ πύλαι· πρὸς αἷς εἴθιςο κοιτάζεσθαι κῦνας, εἰς προφυλακὴν τῦ οἴκυ. ἐς ἕνεκα γε τέτυ πυλαωρὲς Πρίαμος ἀπεκάλει. (Ι'λ: Χ'. ς. 69.) Ο' δὲ „Ποιητὴς 'Αντιφάνης Φρυροδόμυς. Καὶ 'Ευςάθιος ἔθος ἦν (φησὶ) τὰς αὐλείυς θύρας τηρεῖσθαι ὑπὸ κυνῶν. Τοιός δε ἦν ὁ τῦ Ο'δυσσέως κύων ὁ ῎Αργος, ὃς ἔκειτο (Ο'δυσ: Ρ'. ς. 297.)

„ Ε'ν πολλῇ κόπρῳ, ἢ οἱ προπάροιθε θυράων.

Οὐ μόνον δὲ, ἀλλὰ καὶ τέχνῃ ἐπισκευαςοὶ κῦνες παρὰ ταῖς θύραις ἐπικαθιςῶντο, οἵυς περ ῞Ηφαιςος ἐκ χρυσῦ καὶ ἀργύρυ ἐτεχνιτεύσατο. (Ο'δυσ: Η'. ς. 93.)

„ Δῶμα φυλασσέμεναι μεγαλήτορος Ἀλκινόοιο

Ὅτι δὲ δὴ καὶ Ῥωμαίοις τόδ' αὐτὸ εἴθιςο, Πετρώνιος ὁ Arbiter ἐκδιδάσκει: Non longe ab oſtiarii cella canis ingens catena vinctus in pariete erat pictus, ſuperque quadrata littera ſcriptum CAVE CANEM. „ Οὐ πόῤῥω δὲ (φησὶ) τῆς „τοῦ θυρωροῦ κέλλης, κύων μέγας ἁλύσει δεδεμένος, ἐπὶ „τοῦ τοίχου ἦν ζωγραφηθεὶς, οὗ ὕπερθεν ἐν τετραγώνοις „γράμμασιν ἐπεγέγραπτο ἈΠΕΧΕ ΤΟΥ͂ ΚΥΝΟ͂Σ.

Ὑπῆρχον δὲ πρὸς τῶν θυρῶν καὶ ἕδρανα λίθινα, οἷς εἰώθεσαν ἐπικαθέζεσθαι, ὡς ἐπὶ τῶν Μεγάρων τοῦ Νέςορος: ( Ὀδυσ: Γ'. ς. 406.)

„ . . . Κὰτ' ἄρ' ἕζετ' ἐπὶ ξεςοῖσι λίθοισιν,
„ Οἵ οἱ ἔσαν προπάροιθε πυλάων ὑψηλάων,
„ Λευκοὶ ἀποςίλβοντες ἀλείφατος. . . .

Οὕτως οὖν καὶ οἱ Πηνελόπης μνηςῆρες: (Ὀδ: Π'. ς. 343.)

„ Ἐκ δ' ἦλθον μεγάροιο, παρὲκ μέγα τοιχίον αὐλῆς,
„ Αὐτοῦ δὲ προπάροιθε θυράων ἑδριόωντο.

Ἐφείπετο δὲ ἡ αὐλὴ, τόπος ὑπαίθριος, φησὶν Ἀθήναιος ( ἐν Βιβλ: Ε'. ) ἀναπεπταμένος καὶ κενὸς· ἔνθα βωμὸς ἵςατο Ἑρκείου Διὸς, ἐν ᾧ Πηλεὺς ἔθυεν αὐλῆς ἐν χόρτοισιν: ( Ἰλ: Λ'. ς. 773.) Προσῆπτο δὲ ἡ αἴθουσα, ἣ κατὰ τὸν Σχολιαςὴν (Ἰλ. Ι'. ς. 468.) λέγεται περίςυλον ςοά τις δηλ: πρὸς ἥλιον τετραμμένη· ἥτις αἴθουσα ἐκαλεῖτο παρὰ τὸ αἴθεσθαι. (Ὀδυσ. Σ'. ς. 100.

„ . . . . . . Ὄφρα ἵκετ' αὐλὴν
„ Αἰθούσης τε θύρας. . . . . .

Συνίστατο δ' ἐκ λίθων ἀπεξεσμένων· ὅθεν αἰθούσας ξεστὰς ἀεὶ Ὅμηρος ὀνομάζει. Κἀνταῦθα δὲ ἦν ὁ Πρόδομος, ὅπου τοῖς ἐπιξενουμένοις ἦν ἔθος τὰ λέχη στρώννυσθαι, ὡς ἰδεῖν ἐστὶν ἰδιαίτερον, (Ἰλ. Ω'. ς. 644.) ἔνθ' Ἀχιλλεὺς κελεύει: δέμνι' ὑπ' αἰθούσῃ θέμεναι: μεθ' ὃ, ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο Κῆρυξ, καὶ Πρίαμος.

Ἥκει δ' ἐφεξῆς μετά γε τὰ εἰρημένα ὁ Κυριακὸς δόμος, οὗ δὴ τὸ μετώπιον ποικίλοις ἐπίσημον ἦν καλλωπίσμασιν: Ὅθεν ἐνώπια παμφανόωντα Ὅμηρος εἴρηκεν, (Ὀδ. Δ'. ς. 42.) καὶ ἄλλοθι. Ὁ δ' Ἡσύ„χιος τὰ κατ' ἄντικρυ τοῦ πυλῶνος φαινόμενα μέρη, ἃ καὶ „διεκόσμουν ἕνεκα τῶν παριόντων. Ἀλλὰ καὶ τὰ ἔσω ἀγλαέστατα καὶ αὐτὰ κατεσκεύαστο: ὡς ἐν τῷ Μενελάου ἀνακτόρῳ, (Ὀδ. Δ'. ς. 72.) τὴν ἐκ χαλκοῦ, καὶ χρυσοῦ, καὶ ἀργύρου, καὶ ἠλέκτρου, καὶ ἐλέφαντος αἴγλην, ὁ Ποιητὴς ἀνακηρύττει. Μέμνηται δὴ τούτων καὶ Πλίνιος, ἐν Βιβλ. ΛΓ'. Κεφαλ. Δ'. Et electro auctoritas, Homero teste, qui Menelai regiam, auro, electro, argento, „ebore fulgere tradit. Καὶ τῷ Ἠλέκτρῳ δὲ ἀξίωμα ἦν, „μαρτυροῦντος Ὁμήρου, τοῦ τὰ Μενελάου ἀνάκτορα, χρυσῷ „τε, καὶ Ἠλέκτρῳ, καὶ ἀργύρῳ, καὶ ἐλέφαντι αἰγλήεντα „παραστήσαντος. Οὕτω δὲ μεγαλοπρεπῶς ἦν κατηγλαϊσμένα καὶ τὰ Ἀλκινόου δώματα τοῦ Φαιάκων Ἄνακτος. (Ὀδυσ. Η'. ς. 86.) Ἐν ταύτῃ δὲ τῇ τῶν σκευῶν τηλικαύτῃ περιουσίᾳ, θαυμαστοὶ πρὸ πάντων ἦσαν οἱ θῶκοι, οἱ παρ' ἑκάτερον τοῖχον διατεταγμένοι, ἐφ' οἷς ἐκαθέζοντο οἱ συνεστιώμενοι, καὶ οἱ ἄλλως παρουσιάζοντες:

„Ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα,
„Ἐς μυχὸν ἐξ οὐδοῖο διαμπερές. . . . . . .

Ἦν δὲ τὰ τοιάδε ἕδρανα ποικίλως περικεκοσμημένα, (Ὀδ. Θ'. ς. 65.) τὸν δὲ θρόνον ἀργυρόηλον λέγει, ὡς ἥλοις δηλονότι ἀργυρέοις διεστιγμένον. Ὁ δὲ τῆς Πηνελόπης διαφερόντως χρυσῷ τε καὶ ἐλέφαντι ἐπίσημος ἦν. (Ὀδ. Τ'. ς. 56.) Διεκαλλύνοντο δ' ἔτι οἱ θρόνοι καὶ ὡραίαις ταῖς ἐπιστρώσεσιν· ὡς (Ὀδυσ. Κ'. ς. 353.)

„ . . . Ἔβαλλε θρόνοις ἐνὶ ῥήγεα καλὰ
„ Πορφύρεα καθύπερθ' ὑπένερθε δὲ λῖθ' ὑπέβαλλε.

Κελεύει δὲ καὶ Εὐρύκλεια ταῖς ἑαυτῆς παιδίσκαις. (Ὀδυσ. Υ'. ς. 150.)

„ . . . . . . Ἐν δὲ θρόνοισ' εὐποιήτοισι τάπητας
„ Βάλλετε πορφυρέους. . . . . . .

Ἡ δ' αὐτὴ σπεύδει, (Ὀδυσ. Ρ'. ς. 32.)

„ Κώεα καστορνῦσα θρόνοις ἐνὶ δαιδαλέοισι.

Τὸ δὲ δάπεδον, ἤτοι, τὸ τοῦ μεγάρου ἔδαφος, λιθόστρωτον ἦν· ὡς δῆλον ἐξ οὗ κραταίπεδον οὖδας, Ὅμηρος ἀποκαλεῖ· (Ὀδυσ: Ψ'. ς. 46.) καὶ λάϊνον οὐδόν. (αὐτ: ς. 88. καὶ ἀλλαχοῦ.)

Καὶ κίονες δὲ διατεταγμένοι ἦσαν ἐντὸς τοῦ δώματος, τὴν δόκωσιν, ἢ ὀροφὴν ὑπανέχοντες. (Ὀδυσ: Τ'. ς. 37.)

„ . . . . Τοῖχοι μεγάρων, καλαί τε μεσόδμαι,
„ Εἰλατίναι τε δοκοὶ, καὶ κίονες ὑψόσ' ἔχοντες,

Ἦν δὲ καὶ τῶν κιόνων μία, ἐν ᾗ τὰ ἔγχη εἰώθεσαν ἀναρτᾶν ἢ προσιστᾶν· (Ὀδυσ: Α'. ς. 124.)

„ Ἔγχος μὲν ἔστησε φέρων πρὸς κίονα μακρὴν,
„ Δουροδόκης ἔντοσθεν ἐΰξόου, ἔνθαπερ ἄλλα
„ Ἔγχε' Ὀδυσσῆος ταλασίφρονος ἵστατο πολλά.

Τὸ δὲ τῦ δώματος ἀνωτέρω **ὑπερῷον** Ὁμήρῳ εἴρηται. Εὐςάθιος: „τὰ μετέωρα τῶν οἰκημάτων, ὠὰ καλῦσιν οἱ Λακεδαιμό-„νιοι· ὅθεν ὑπερῷον, τὸ, οἷον εἰπεῖν ὑπερύψηλον· Ὅθεν δὴ Κλέ-„αρχος παρ' Ἀθηναίῳ (ἐν Βίβλ. Β'.) τὴν Ἑλένην, φησὶν, ἐν τοιῦ-„τοις οἰκήμασι τρεφομένην, δόξαν ἀπενέγκαθαι παρὰ „πολλοῖς, ὡς ἐξ ὠῦ εἴη γεγεννημένη. Ὅμηρος ῦν πάντη, αὐτόθι τίθησι τὰς γυναῖκας: Οἷον τὴν Πηνελόπην (Ὀδυσ: Ο'. ϛ. 516.) περὶ ἧς φησὶν;

„ . . . Ἀλλ' ἀπὸ τῶν, ὑπερωΐῳ ἱςὸν ὑφαίνει,

Καὶ ἀλλαχῦ ὡσαύτως. Ἐκεῖ δὲ καὶ τῷ Ἄρεϊ συνηυνάσθη ἡ Ἀςυόχη (Ἰλ. Β'. ϛ. 514.)

„ Παρθένος αἰδοίη ὑπερώϊον εἰσαναβᾶσα:
„ Ἄρεϊ κρατερῷ. . . . . . . . .

Καὶ Ἑρμῆς δὲ τῇ Πολυμήλῃ: (Ἰλ. Π'. ϛ. 184.)

„ . . . . Εἰς ὑπερῷ' ἀναβὰς παρελέξατο λάθρῃ.

Αὐτόθι δ' ἦν ὁ θάλαμος, ἐν ᾧ παρὰ τοῖς παλαιοῖς τῶν Ἑλλήνων αἱ γυναῖκες, καὶ μάλιστα αἱ παρθενικαὶ, διάγειν εἰώθεσαν. Οὕτω καὶ γῦν (Ὀδυσ. Δ'. ϛ. 751. καὶ 787.) καὶ ἡ Πηνελόπη θαλαμευομένη ἐτύγχανεν,

„ Εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξίν.

Ἀλλὰ καὶ ἡ Ἑλένη (Ἰλ. Γ'. ϛ. 423.) ὁμοίως:

„ . . . . . Εἰς ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν.

Διὰ τῦτο δὲ καὶ ὁ Θεόκριτος φράζει: Παρθένον ἐκ θαλάμοιο: ὅτι ἐν θαλάμοις ἐγκλείεσθαι αἱ παρθένοι εἰώθεσαν πρὸ τῶν γάμων· ὅπερ ῦν ἐνετέλλετο καὶ Φωκυλίδης: Παρθενικὴν δὲ φύλασσε πο-„λυκλείςοις θαλάμοισι. Καὶ ἡ **Γηναικωνίτις** δὲ μέρος ἦν διακεχωρισμένον ἐν τῷ δώματι τῦ μέρῦς, ῦ οἱ ἄρρενες διῆγον ἐξ οὗ καὶ ἀνδρῶν εἴρηται.

Ὑπῆρχον τοιγαροῦν καὶ τοῖς ἀνδράσι θάλαμοι, ἐν οἷς ἐκάθευδον εὐναζόμενοι, ὡς Τηλεμάχῳ (Ὀδυσ: Α'. ϛ. 425.)

„ . . . . . Ὅθι οἱ θάλαμος περικαλλέος αὐλῆς
„ Ὑψηλὸς δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
„ Ἔνθ' ἔβη εἰς εὐνήν. . . . . . . . . .

Οὕτω κἀν τοῖς Πριάμου μεγάροις, θάλαμοι ἦσαν ἐγγὺς ἀλλήλων πεντήκοντα, ἐκ ξεστοῦ λίθου δεδομημένοι, ἔνθα οἱ ἐκείνου υἱοὶ ταῖς ἀλόχοις αὐτῶν συνευνάζοντο. Καὶ θάλαμοι δὲ προσέτι ἑτέρωθεν ἀπέναντι ἄλλοι, ἔνθα οἱ γαμβροὶ σὺν ταῖς αὐτοῦ θυγατράσιν. (Ἰλ. Ζ'. ϛ. 244.)

Ὅλως δὲ καὶ πλεῖστοι θάλαμοι ὑπῆρχον, ὡς ταμεῖα ἐν οἷς παντοῖα τινὰ ἀπεταμιεύετο. ὅθεν ἐπὶ τοῦ δώματος Ὀδυσσέως, ἔσχατος καταλέλεκται (Ὀδ. Φ'. ϛ. 9.) ὁ θάλαμος, ἐν ᾧ τὰ ὅπλα ἀπέκειτο, ἅπερ ἐξηνέγκατο Μελάνθιος: Καθάπερ δὴ κἀν τῷ θαλάμῳ τῷ Ἕκτορος. (Ἰλ. Ζ'. ϛ. 321.) Ἀλλ' ἐν τῷ τοῦ Ὀδυσσεως θαλάμῳ (Ὀδ. Β'. ϛ. 338.) παρὰ τὰ ὅπλα, καὶ χρυσὸς ἀποκείμενος ἐτηρεῖτο, καὶ ἄργυρος, καὶ ἐσθής, καὶ οἶνος, καὶ ἔλαιον. Προειστήκει δὲ καὶ οἷα φρουρὸς ταμιοῦχος θεράπαινα, ὡς ἡ παρὰ τῷ Ὀδυσσεῖ Εὐρύκλεια. Αἱ δέτοι θύραι συνεζυγοῦντο κλεῖθρῳ διὰ ἱμάντος: (Ὀδυσ: Α'. ϛ. 444.) Ἡ δ' ἀμφίπολος τὴν ἐν τῷ θαλάμῳ τῷ Τηλεμάχου θύραν ἐπέρησε κορώνῃ ἀργυρέῃ.

„ . . . . . Ἐπὶ δὲ κληΐδ' ἐτάνυσσεν ἱμάντι.

Καὶ Ἀθηνᾶ δὲ, εἰς τὸν Πηνελόπης εἰσῆλθε θάλαμον: (Ὀδυσ. Δ'. ϛ. 802.) παρὰ κληΐδος ἱμάντα. Ὁμοίως δὲ, καὶ τὰς τε θαλάμου θύρας διανοίξασα Πηνελόπη. (Ὀδυσ. Φ'. ϛ. 46.)

„ . . . . . Ἱμάντα θοῶς ἀπέλλυσε κορώνης,
„ Ἐν δὲ κληΐδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας.

Τὰ δ' ἄλλα αὐτοῖς, τῶν τοῦ οἴκου στεγασμάτων τὸ σχῆμα ἐπίπεδον ἦν, ἥκιστα κορυφούμενον, ὥστε καὶ καθεύδειν αὐτοὺς πολλάκις ἐπὶ τοῦ τέγους, ὡς δῆλον ἐπὶ τοῦ Ἐλπήνορος, ὃς ὑψόθεν καταντικρὺ τέγεος πέσεν. (Ὀδ: Λ'. ς. 64.) Ἔνθα Εὐστάθιος: Πίπτει δὲ καντικρὺ τέ„γεος ὁ Ἐλπήνωρ ἐν ὑπαίθρῳ ἀνακείμενος, διὰ τὸ τὰ δώ„ματα μὴ κεραμωτὰ, ἀλλ' ὁποῖα καὶ νῦν ὡς εἰκὸς μυ„ριαχοῦ· ὧν ταῖς δοκοῖς γῆ ἐπαμᾶται· ὡς ἐντεῦθεν τὴν „στέγην χρήσιμον εἶναι καὶ πρὸς τὸ ἐγκοιμᾶσθαι. Τοῦτο δὲ τὸ ἔθος καὶ παρ' Ἑβραίοις ἴσμεν κρατῆσαι, ἐπὶ τῶν δωμάτων εἰωθόσι διάγειν· ὥστε καὶ ἐκ θείας νομοθεσίας αὐτοῖς ἐντετάλθαι, στεφάνην ποιεῖν τῇ οἰκίᾳ, ἣν ἂν ἐκδομήσωσιν εἰς ἀποφυγὴν τοῦ κινδύνου (Δευτερονομ: Κεφ: ΚΒ'. ἐδαφ: 8.) Σύνηθες δὲ πως καὶ καθ' ἡμᾶς τὸ τοιοῦτον, ἐν πολλοῖς κλίμασιν Ἀνατολικοῖς καὶ Νοτιωτέροις. Καθάπερ ἦν ποτε καὶ παρὰ τοῖς Ῥωμαίοις, οὕσπερ ἐπιπέδους τὰς τῶν οἰκημάτων στέγας κατασκευάζειν, δῆλον ἐκ τοῦ Βιτρουβίου (Βιβλ: Β'.) καὶ ἐξ ἄλλων συγγραφέων: καθ' οὓς ἀπὸ τῶν στεγασμάτων πολλάκις θεωροὶ καθίσαντο, ἔτι καὶ λαμπάδας προσεπανάπτοντες.

## ΚΕΦΑΛ. ΙΒ'

## Περὶ τοῦ τῆς ξενοδοχίας δικαίου.

Τὸ κεκτῆσθαι οἶκον, καὶ Θεὸν οἰκεῖον ἐφέστιον, ἄγαν ἐπαινετὸν ἦν παρ' Ἕλλησιν· ὥστε καὶ πρὸς ἀνδρὸς ἀγαθοῦ εὐφημίαν φέρειν τὸ τοιοῦτο νομίζεσθαι. Ὅθεν (Ἰλιάδ. Ι'. ς. 63.) ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιος. . . . εἶναι προσείρηται, ὃς ἂν ἐμφυλίου πολέμου ἔφίοιτο. Καὶ παρὰ τῷ Ἀθηναίῳ δὲ, ὡς εἰκὸς, οἱ Κυνικοὶ ἐπιλοιδοροῦνται, ὡς κακολόγοι,

ϗ βόϱοι, ϗ ἄνοικοι, ϗ ἀνέςιοι. Καὶ ἦν ἄϱα μεγάλη τις ἡ φιλανθϱωπία ἐκείνων, ὅσοι τȣ̀ς ἐξ ἐπηϱείας δαίμονος, οἴκȣ τε, ϗ ἧς εἶχον ἄλλης πεϱȣσίας ἐκπεπτωκότας, ὑπῆϱχον ἐπισκεπτόμενοι· οὓς ϗ οἱ εὖ παθόντες, ὡς Θεȣ̀ς ἐνόμιζον σφῶν αὐτῶν ἐπιμελȣμένȣς, καὶ ἐφ' ὧν μὴ δικαίως πεπείϱανται, ἀντιλήπτοϱας. Οὕτω γὰϱ καὶ Ὀδυσσεὺς πένης τε καὶ πϱοίκτης παταχθεὶς ὑπὸ Ἀντινόȣ, τὰς τῶν πτωχῶν Ἐϱιννῦς κατ' αὐτȣ̃ ἐπαϱᾶται καὶ τῶν λοιπῶν ἔτι μνηςήϱων τὸ γεγονὸς ἐπινεμεσώντων. ( Ὀδ: Ρ'. ς. 462. κξ: ) Διαψέγεται δὲ καὶ Ἡϱακλῆς ὡσαύτως, ὁ τὸν ξένον Ἴφιτον ἀποκτείνας, ϗ Θεῶν ὄπιν μὴ ἀλεγήσας, μηδὲ τὴν τϱάπεζαν αἰδεσθεὶς, τὴν δὴ οἱ παϱέθηκεν. ( Ὀδ: Φ'. ς. 27. καὶ 37. ) Ὁ δ' Εὔμαιος ἀθέμιςον ἡγεῖται ( Ὀδ: Ξ'. ς. 56. ) τὸ ξένον ἀθεϱίζειν.

„. . Οὔ μοι θέμις ἐςὶ, ȣ̓δ' εἰ κακίων σέθεν ἔλθοι,
„Ξεῖνον ἀτιμῆσαι· πϱὸς γὰϱ Διός εἰσιν ἅπαντες,
„Ξεῖνοί τε, πτωχοί τε . . . . . . . . . .

Κήδεσθαι γὰϱ μάλιςα πτωχῶν ἐνόμιζον τὸν Δία, τὸν διὰ τȣ̃το καὶ Ξένιον παϱ' Ἕλλησιν ἐξυμνȣ́μενον. ( Ὀδυσ: Ι'. ς. 270. )

„Ζεὺς δ' ἐπιτιμήτωϱ ἱκετάων τε ξείνων τε,
„Ξείνιος, ὃς ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.

Οὕτω δὲ καὶ Οὐϊϱγίλιος: ( Αἰνειάδ: Α'. ς. 735. )
Jupiter, hoſpitibus nam te dare jura loquuntur.
„( Ζεῦ! Ξείνοις καὶ γάϱ σε θεμιςεύειν φατίσαντο. )

Ἀναπτύσσει δὲ τȣ̃το Σέϱβιος τῷ τȣ̃ Λυκάωνος παϱαδείγματι: ὃς ἐπειδὴ τȣ̀ς παϱ' αὐτῷ ἐπιξενȣμένȣς ἐτύγχανεν ἀποκτείνων, μετὰ τὴν Ζηνὸς ὑποδοχὴν, ᾗπεϱ Ἀνδϱόμεα κϱέα παϱέθετο, εἰς λύκον μεταβληθεὶς, ὑπέδειξε, μὴ θέμις εἶναι τὰ τῆς ξενίας ἐπαθετεῖν δίκαια.

Ἔνθεντοι καὶ ὁ Βασιλεὺς Αἰγύπτου, τὸν εἰς ποινὴν ἀπαιτούμενον ξένον, ἀνένευσεν ἐκπαραδοῦναι· Διὸς γὰρ ὠπίζετο μῆνιν Ξενίου (Ὀδυσ: Ξ΄. ς. 283. 284.) Καθάπερ οὖν καὶ Ἄδμητος ὁ Μολοσσῶν ἄναξ Θεμιστοκλῆν Λακεδαιμονίοις ἀπηνήνατο ἀποδοῦναι, οὐδ᾽ ἐπὶ Ὁμήροις, ἦ μαρτυρεῖ Πλούταρχος.

Ἀνάπαλιν δὲ οἱ τῆς ξενίας τυχόντες, εἴτι κατὰ τῶν ἐπιξενωσάντων πλημμελήσειαν, τῆς Διὸς μήνιδος ἐπιπειραθήσεσθαι ἐπιστεύοντο: καθ᾽ ὃ καὶ Μενέλαος (Ἰλ: Γ΄. ς. 354.) τὸν Ζῆνα καθικετεύων, ὅπως ἂν ὑπὸ χερσὶ ταῖς ἰδίαις αὐτοῦ Πάριν δαμάσειε, προστίθησιν:

„Ὄφρα τις ἐρρίγησι καὶ ὀψιγόνων ἀνθρώπων,
„Ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχῃ.

Τοῖς μὲν οὖν τῶν Ἑλλήνων ἀρχαίοις, καθὰ καὶ τοῖς τῶν Ῥωμαίων, καταλύματα δημόσια οὐχ ὑπῆρχεν, οἷα τὰ παρ᾽ ἡμῖν σήμερον· διὸ ἐκδημοῦντες, παρὰ τὰς τῶν εὐνοούντων οἰκίας ὑποδοχῆς ἐτύγχανον, παρ᾽ οἷς ἐνεχώρει τὸ τῆς ξενίας δικαίωμα, ὡς ἐν ἀναρίθμοις ἐπιμαρτυρήσεσι συγγραφέων διαπιστοῦται. Τῷ δ᾽ ὄντι οἰκειότης ἔκπαλαί τις ἀπὸ τῶν προγενεστέρων διὰ τῆς ἐν τῷ βίῳ κοινωνικῆς ἑνώσεως διεσώζετο: ὡς ἰδεῖν πάρεστι μέσον Γλαύκου τε καὶ Διομήδους, οἳ τὰ ἀλλήλων ὀνόματα ἐπακούσαντες, καὶ τὸ ξενίας δικαίωμα, τὸ ἐν τοῖς σφῶν αὐτῶν προγενεστέροις μεσιτεῦον ἐπενθυμηθέντες, τοῦ μαχέσθαι ἀπέχοντο. (Ἰλ. Ζ΄. ς. 215. κξ. ς. 224.)

„Ἦ ῥά μοι ξεῖνος πατρώϊος ἐσσὶ παλαιός.

. . . . . . . . . . . . . . . . . . . .

„Τῷ νῦν σοι μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ
„Εἰμί. σὺ δ᾽ ἐν Λυκίῃ. . . . . . . . . .

Οὕτω δὲ καὶ (Ὀδυσ. Α΄. ς. 187.) Ἀθήνη τὸν υἱὸν Μέντου παριστῶσα τῷ Τηλεμάχῳ, ἔφη:

„ Ξεῖνοι δ᾽ ἀλλήλων πατρώϊοι εὐχόμεθ᾽ εἶναι.

Καὶ ὅγε τοῦ Νέστορος, καὶ Τηλέμαχος, σφίσιν αὐτοῖς ξεῖνοι προσείρηνται, διὰ τὴν τῶν τοκέων πρὸς ἀλλήλους φιλίωσιν. (Ὀδυσ. Ο΄. ς. 196.)

„ . . . . . Ξεῖνοι δὲ διαμπερὲς εὐχόμεθ᾽ εἶναι.

„ Ἐκ πατέρων φιλότητος. . . . . . . . .

Διὸ καὶ κύβου φέρειν ἑκατέρωθεν εἰώθεσαν τὸ ἡμίτομον, ὃ προσενεγκών τις, παραυτίκα ἂν τῷ ξένῳ ἐπιγνωσθείη, καὶ ὑποδεχθείη τῷ λόγῳ τῆς προλαβούσης οἰκειότητος. Σύμβολον τοῦτο Ἕλληνες ἀπεκάλουν, περὶ οὗ κομψῶς ἐπὶ τοῦ Συμποσίου διαλέγεται Πλάτων. Ὁμοίως δὲ καὶ ὁ Πλαῦτος, ἐν τῷ Παινύλῳ. In Paenulo.

A. Ego ſum ipſius quem tu quaeris
  Antidamae gnatum me eſſe.
P. Si ita eſt, jam teſſeram confer ſi vis
  Hoſpitalem: A. Eccam attuli.
A. Agedum hac oſtende: eſt par probe.

Α. Ἐγωγ᾽ εἰμὶ, τοῦ, ὃν ζητεῖς Ἀντιδάμου γόνον με εἶναι.
Π. Εἰ οὕτως ἔχει, παράβαλλε δὴ τὸ σύμβολον ἣν ἐθέλοις τὸ ξενικόν.
Α. Ἠνὶ προσήνεγκα.
Π. Φέρε αὐτὸ ἐπίδειξον· ἐστὶν ἀκριβῶς ἴσον.

Οὐ μόνον δὲ ἰδίᾳ τοῖς κατὰ μέρος ἐν ἀνθρώποις τὸ τῆς ξενίας ἀνῆκε δικαίωμα, ἀλλὰ καὶ πόλεις πρὸς ἀλλήλας, καὶ ἔθνη, καὶ δυναστείαι τοῦτ᾽ εἶχον, ὃ προξενίαν ὠνόμαζον. Οὕτω Νικίας μὲν, πρόξενος ἦν Λακεδαιμονίων, παρὰ Πλουτάρχῳ· Καλλίας δὲ, παρὰ

„τῷ Ξενοφῶντι,„(ἐν ϛʹ. τῶν Ἑλληνικ.) ἤδη ἀπὸ προγόνων: τὴν μὲν „προξενίαν ὑμῶν, ἐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πατρὸς πατὴρ, „πατρῴαν ἔχων, παρεδίδε τῷ γένει. Καὶ διὰ τῦτο δὲ καὶ τὰ σύμβολα διετηρεῖτο, ὡς Λυσίας μαρτυρεῖ περὶ τῶν Ἀριστοφάνες χρη-„μάτων: ἐδεήθη με προσελθεῖν αὐτῷ, λέγων: ὅτι ἔλαβε „σύμβολον παρὰ Βασιλέως τε μεγάλε. Οὕτω πως ἡ προξενία μέσον τῶν δυναστευόντων, οἱονεὶ σπονδή τις. καὶ συμμαχία ὑπῆρχεν, ἐκ συνθήκης συνισταμένη. Ἀλυάττης οὖν, ὁ τῶν Λυδῶν Ἄναξ, συνέθετο Μυ-„σοῖς: ἐπ᾽ ᾧ τε ξείνες ἀλλήλοις εἶναι καὶ ξυμμάχες, ᾗ μαρ-τυρεῖ Ἡρόδοτος ἐν Κλειοῖ. Καὶ Λίβιος δὲ γράφει (ἐν τῷ Αʹ. Βιβλ.) Αἰνείαν συνάμα τῷ Λατίνῳ συνθήκην τοιάνδε συνθέσθαι: Ibi apud Penates Deos, domesticum publico adjunxisse foedus, filiâ Aeneae in matrimonium datâ. (Ἐκεῖ (φησὶ) παρὰ „τοῖς ἐφεστίοις θεοῖς, σπονδὴν οἰκιακὴν πρὸς τῇ δημοτελεῖ „συνῆψε, τὴν θυγατέρα εἰς γάμε κοινωνίαν τῷ Αἰνείᾳ „δές.)

## ΚΕΦΑʹΛ. ΙΓʹ.

## Περὶ τε τύπε τῆς Ξενοδοχίας,

Προσερχομένων τῶν ξένων, τὸ μὲν πρῶτον ἀντελαμβάνοντο δεξιαῖς. Οὕτως οἱ Πύλιοι προσεδέξαντο Τηλέμαχον, καὶ Ἀθηνᾶν: (Ὀδυσ. Γʹ. ϛ. 34.)

„ . . . . Ὣς οὖν ξείνες ἴδον, ἀθρόοι ἦλθον ἅπαντες,„
„ Χερσίν τ᾽ ἠσπάζοντο. . . . . . . .

Ὡσαύτως δὲ καὶ οἱ Αὐτολύκε υἱεῖς τὸν Ὀδυσσέα: (Ὀδυσ. Τʹ. ϛ. 415.)

„ Χερσίν τ᾽ ἠσπάζοντο, ἔπεσσί τε μειλιχίοισι.

Καὶ Φιλόστρατος δὲ (ἐν Ζ΄. τῶν εἰς τὸν Ἀπολλων: βίον) τὸν αὐτὸν τρόπον ὑπὸ τῶν Ἰνδῶν ὑποδεδέχθαι καθιστορεῖ τὸν Ἀπολλώνιον. Προ„σιόντα δ᾽ αὐτὸν Ἀπολλώνιον, οἱ μὲν ἄλλοι σοφοὶ προσή„γοντο ἀσπαζόμενοι ταῖς χερσί. Καὶ ὁ Πάλλας δ᾽ οὕτως Αἰνείαν (Αἰνειάδ. Η΄. ϛ. 124.)

Excepitque manu, dextramque amplexus inhaesit.

„(Χειρὶ δὲ δέκτο ἕ, φῦ δ᾽ ἄρ δεξιτερῇ περιβάλλων.)

Ὑπέργει γὰρ εἰς τοῦτο ἡ δεξιὰ μάλιστα, ὡς Ὅμηρος αὐτὸς ἐπισημειοῦται: (Ἰλ. Κ΄. ϛ. 542.)

„Δεξιῇ ἠσπάζοντο, ἔπεσσί τε μειλιχίοισι.

Majorum (φησὶ Σέρβιος) haec erat falutatio; cujus rei τὸ αἴτιον (id eft caufam) Varro, Callimachum fequutus, expofuit afferens: omnem eorum honorem dexterarum conftitiffe virtute, ob quam hac fe venerabantur corporis „parte. Τῶν προγενεστέρων ὁ κατὰ τὴν πρόσρησιν ἀσπασμὸς „οὗτος ἦν· οὗ τὸν λόγον Οὐάῤῥων ἑπόμενος Καλλιμάχῳ, ἐξέ„θετο: ἅπασαν λέγων τὴν τιμὴν ἐν ἐκείνοις τῇ δυνάμει τῆς „δεξιᾶς χειρὸς συνεστηκέναι, δι᾽ ἣν τῷδε τῷ τοῦ σώματος „μέρει διεσεβάζοντο.) Ὅλως γὰρ ὁσάκις ἐντυγχάνοντες ὑπῆρχον ἀλλήλοις, τῆς δεξιᾶς ἔχαιρον ἀντιλαμβανόμενοι. Οἷον δὴ τῷ Μενελάῳ ἐντευξόμενος Ἀγαμέμνων, (Ἰλ. Η΄. ϛ. 108.)

„Δεξιτερῆς ἕλε χειρὸς, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε.

Καὶ εἰς τοῦτο δ᾽ ἀνήκει τὸ ἔπος τόδε, τὸ τοσάκις ἐπαναληφθέν:

„Ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν.

Ὃ δὴ φιλικὸν εἶναι, φησὶν Εὐστάθιος, καὶ σημαίνειν τὸ δεξιώσασθαι·

Τὸν αὐτὸν δὲ τρόπον καὶ Ξενοφῶν (ἐν τῷ Δ'. τῶν Ἑλληνικ.) περὶ τοῦ Ἀγησιλάου λέγων φησὶν, ὅτι ἀκούσας ταῦτα ὁ Ἀγησίλαος, ἔλαβε τῆς χειρὸς αὐτοῦ, καὶ εἶπε κτ. Ἐπὶ δὲ τοῦ ἀσπασμοῦ, φωνὴ ἦν ἡ συνήθης τό: χαῖρε: ὡς, (Ὀδυ: Θ'. ϛ. 408.) Ἀλκίνοος δεξιούμενος Ὀδυσσέα, εἶπε:

„ Χαῖρε, πάτερ ὦ ξεῖνε. . . . . . . .

Ὅνπερ Ὀδυσσεὺς ἀπαμειβόμενος προσέφη: (αὐτ. ϛ. 413.)

„ Καὶ σὺ, φίλος, μάλα χαῖρε. . . . . .

Ὡσαύτως καὶ Κροῖσος προσφθέγγεται Κῦρον: χαῖρε ὦ Δέσποτα: πρὸς ὃν ἐκεῖνος: Καὶ σύγε ὦ Κροῖσε. (παρὰ τῷ Ξενοφ: Παιδ. Ζ.)

Προσετίθετο τὰ πολλὰ, καὶ τὰ διὰ χειλέων φιλήματα· οἷον δὴ Χείρων, προσιόντων τῶν Ἀργοναυτῶν, (παρὰ τῷ Ὀρφεῖ.)

„ Ἀσπασίως ἀνόρουσε, κύσεν δ' ἄρα φῶτα ἕκαστον.

Οὕτως Ἀπουλήϊος (ἐν τῇ Μιλησίᾳ Α'.) Amplexusque ac comiter deofculatus, mi Luci, ait, fat pol diu eft, quod „ intervifimus te. (Περιβαλών τε, καὶ φιλοφρόνως καταφιλήσας, ὦ Λούκιος ἐμός, ἔφη, μακρὸν ἐστὶ (νὴ τὸν Πολυδεύκη,) ἐξ οὗ σε οὐχ ἑωράκαμεν.) Ἔθος δὲ ἦν, διάφορα τοῦ σώματος μέρη καταφιλεῖν: μάλιστα δὲ, κεφαλὴν, ὄμματα, ὤμους, χεῖρας· ὡς τοῦ Τηλεμάχου ἐπανιόντος, (Ὀδυσ. Ρ'. ϛ. 34.)

„ Δμωαὶ Ὀδυσσῆος ταλασίφρονος ἠγερέθοντο,
„ Καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους.

Καὶ ἡ Πηνελόπεια δὲ (αὐτ. ϛ. 38.)

„ Ἀμφί γε παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα.
„ Κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά.

Ὡσαύτως δὲ καὶ τὸν Ὀδυσσέα οἱ δμῶες ὡς εἶδον· (Ὀδ. Φ'. ς. 225.)

„Κλαῖον ἀρ', ἀμφ' αὐτόν γε δαΐφρονα χεῖρα βάλον τε,
„Καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε καὶ ὤμους.

Ἀμοιβαδὸν δὲ (αὐτ. ς. 225.)

„Ὣς δ' αὔτως Ὀδυσσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσεν.

Τοὺς δὲ δὴ ξένους, λαβόντες τῶν χειρῶν εἰσῆγόν τε, καὶ παρὰ χρῆμα καθέζεσθαι ἄνωγον, ὥσπερ ὁ Νέστωρ τὸν Πάτροκλον. (Ἰλ: Λ'. ς. 645.) θύρηθεν ἐφιστάμενον

„ . . . Ἰδὼν ὁ γεραιὸς ἀπὸ θρόνου ἦρτο φαεινοῦ,
„Ἐς δ' ἄγε χειρὸς ἑλὼν, κατὰ δ' ἑδριάασθαι ἄνωγε.

Καὶ Ἀχιλλεὺς δὲ τοὺς ἐξ Ἀγαμέμνονος διαπρεσβεύοντας (Ἰλ: Ι'. ς. 199.)

„ . . . Φωνήσας προτέρω ἄγεν . . .
„Εἷσε δ' ἐν κλισμοῖσι, τάπησί τε πορφυρέοισιν.

Ἐκέλευσε δ' αὐτοῖς καὶ τὸν Μενοιτίου υἱὸν, μείζονα δὴ κρατῆρα καθιστάντα, ζωρότερον ἐπικεράσασθαι δέπας ἐντύνοντα ἑκάστῳ. Περὶ „οὗ Ἀθήναιος, ἐν καταρχῇ τοῦ ς'. Βιβλίου. Δοκεῖ ἔχειν τι (φησὶ) „πρὸς φιλίαν ὁ οἶνος ἑλκυστικὸν, παραθερμαίνων τὴν ψυ„χὴν, καὶ διαχέων. Διό περ οὐδὲ πρότερον ἠρώτων, οἵτινες „εἶεν, ἀλλ' ὕστερον· ὡς τὴν ξενίαν τιμῶντες, ἀλλ' οὐ τοὺς „ἐν μέρει, καὶ καθ' ἕκαστον ἡμῶν.

Εἰσελθόντας τοίνυν τοὺς ξένους, λούειν τε εἰώθεσαν καὶ χρίειν. Οὕτω Τηλέμαχον, καὶ τὸν τοῦ Νέστορος παρὰ τῷ Μενελάῳ, (Ὀδυσ. Δ'. ς. 49.)

„ . . . . . . Δμωαὶ λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ.

Καὶ Ὀδυσσεὺς δὲ ὑπὸ Πειραίου εἰσενεχθεὶς εἰς τὸν δόμον, (Ὀδ: Ρ΄. ς. 89.) πρὸς τῶν δμωῶν λέλουταί τε καὶ κέχρισαι· καὶ χλαίνας δὲ, καὶ χιτῶνας ἔχε περιβαλέσθαι. Καὶ ταύτῃ μὲν παρεσκευάζοντο, καθάπερ ἀνωτέρω εἴρηται, ἐπὶ δαῖτα· ἀλλὰ καὶ νυκτὸς εὐνηθησομένοις, νίψασθαι προσετίθετο μάλιστα πόδας, ὅπερ τῷ Ὀδυσσεῖ ἐπιδιακονήσασθαι ὑπὸ Πηνελόπης Εὐρύκλεια προσετάγη· (Ὀδυσ: Τ΄. ς. 358.) τῆς καὶ κατ' ὄρθρον, λούειν αὐτὸν αὖθις καὶ χρίειν ταῖς δμωΐσιν ἐπικελευσάσης. Τὸ δ' αὐτὸ πρὸς τοὺς ἐπιξενουμένους τελευταῖον εἰώθει τελεῖσθαι, καὶ μέλλοντας ἀπαίρειν. Οὕτω γὰρ Τηλέμαχος, τῇ παρ' αὐτῷ ὑπὸ τῷ Μέντου μορφώματι ἐπιξενωθείσῃ Παλλάδι (Ὀδυσ: Α΄. ς. 309.) ἤδη ἀπελευσομένῃ:

„ Ἀλλ' ἄγε δὴ ἐπίμεινον ἐπειγόμενός περ ὁδοῖο,
„ Ὄφρα λοεσσάμενός τε, τεταρπόμενός τε φίλον κῆρ,
„ Δῶρον ἔχων ἐπὶ νῆα κίῃς . . . . . .

Οὕτω καὶ Καλυψώ: (Ὀδυσ: Ε΄. ς. 264.) ἀπιόντα τὸν Ὀδυσσέα ἐκπέμπει τῆς ἰδίας ἑαυτῆς Νήσου,

„ Εἵματά τ' ἀμφιέσασα θυώδεα, καὶ λούσασα.

Ἔνθα σημειωτέον, ὅτι τῶν γυναικῶν ἦν, καὶ τὰ πλεῖστα παρθενικῶν, ἡ περὶ ταῦτα διακονία, οὐ μικρὸν τόδε τῆς τῶν παλαιῶν σωφροσύνης μαρτύριον, ἥπερ Ἀθήναιος (ἐν τῷ Α΄. Βιβλ:) παρετηρήσατο, ἀρχαιότατον εἶναι λέγων τὸ ἔθος, καὶ παραδείγματι διασαφῶν τῷ τῶν Κοκάλου θυγατέρων, αἳ Μίνωα εἰς Σικελίαν ἀφικόμενον ἔλουσαν· ἀλλ' ἀντίγε θερμοῦ πίσσαν ἐμβαλοῦσαι ἀπώλεσαν, ὡς Ζηνόβιος μαρτυρεῖ.

Ἀπιόντων δὲ τῶν ξένων, καὶ σπονδὰς εἰώθεσαν σπένδεσθαι, ἐπευχομένων ἀμοιβαδὸν τὰ βέλτιστα, ὅπερ ἐπὶ Ὀδυσσέως ἰδεῖν ἐστὶν ἀπὸ Φαιάκων ἀναχωροῦντος, (Ὀδ: Ν΄. ς. 50.) καὶ ἐπὶ Τηλεμάχου, ἀπὸ τῶν Μενελάου μεγάρων. (Ὀδ: Ο΄. ς. 148.) Τοῖς αὐτοῖς δὲ, καὶ τῶν εἰς βρῶσιν τε καὶ πόσιν ἀναγκαίων, καὶ τῶν εἰς τὴν ὁδὸν ἄλλων χρει-

ωδῶν ἀφθόνως ἐπεφορεῖτο, καὶ δῶρα δέ τινα, ξένια ἐπεχαρίζετο, περὶ ὧν ἐν τῷ πρὸ τούτου Βιβλίῳ εἴρηται· ὡς ἐντεῦθεν πολὺν συνειλοχέναι τοὺς ξενιτευσαμένους πλοῦτον, ἐπαγυρτάζοντας, ὡς Ὀδυσσεὺς ἐν τούτῳ φαίνεται ἐναβρυνόμενος. (Ὀδ: Τ'. ς. 284.) Διὸ Αἰλιανὸς (Βιβλ: ΙΕ'. Κεφ: Κ'.) φησὶν αὐτὸν, καθάπερουν καὶ τὸν Μενέλαον, πρὸς ὁμοιότητα τῶν ἐμπορευομένων Φοινίκων, ἐπὶ χώρας πολλὰς ἀλητεῦσαι, ἁδρὰν περιουσίαν συλλέξαντας.

## ΚΕΦΑΛ. ΙΔ'.

## Περὶ Καθικετεύσεως.

Τοῖς γ' ἐπιξενουμένοις ἐκ γειτόνων εἰσὶν οἱ καθικετεύοντες, οἱ καὶ τῇ αὐτῇ περισημαινόμενοι ἐπικλήσει, ὡς φανερὸν ἐστὶν ἐκ τοῦ Ὀδυσσέως (Ὀδ: Ι'. ς. 269.) τοῦ ξένον ἑαυτὸν λέγοντος ἥκειν τῷ Πολυφήμῳ, καὶ ἱκέτην. Παραπλησίας γὰρ ἀπολαύειν ἑκατέρους τῆς θεραπείας ἦν ὅσιον, εἴπερ ἄρα ἐπιστεύετο ἐπίσης.

„Ζεὺς ἐπιτιμήτωρ ἱκετάων τε ξείνων τε.

Ὃ καὶ Ἡσίοδος ἔγραψεν ἐν τοῖς ἔργοις:

„Ἶσον δ' ὅς θ' ἱκέτην, ὅς τε ξεῖνον, κακὸν ἔρξει.

Διόπερ Ὀδυσσεὺς ὑπὸ τῶν ἐξαγαγόντων αὐτὸν Φαιάκων ἠδικῆσθαι οἰόμενος, τὴν ἐκ Ζηνὸς αὐτοῖς ἐκδίκησιν ἐπαρᾶται: (Ὀδ. Ν'. ς. 213.)

„Ζεὺς σφέας τίσαιτο ἱκετήσιος. . . . . . .

Ἀναγκαῖον δ' ἡγοῦντο τὰς τῶν ἱκετευόντων εἰσακούειν δεήσεις, ὡς ὁ Φοῖνιξ πλατύτερον διεξέρχεται πρὸς Ἀχιλλέα ἀποτεινόμενος: (Ἰλ. Ι'. ς. 497.

κζ:) Ἔνθα αἱ Λιταὶ, Ζηνὸς εἶναι λέγονται θυγατέρες, ἐς ἄτην αὐτὸν παραθήγουσαι κατὰ τῶν εἰσακούειν αὐτῶν παραιτουμένων. Διὸ ἐν ταῖς ἱκετείαις εἰώθεσαν ἐπικαλεῖσθαι αὐτὰς ὀνομαστὶ, ὡς παρὰ τῷ Ὀρφεῖ ἐν τοῖς Ἀργοναυτικοῖς. Οὐ γὰρ ἄτιμοι ἱκεσίου Ζηνὸς κοῦραι Λιταί. Πρὸς αὐτοῦ δὲ Διὸς τὰ πλεῖστα ἦσαν καθικετεύοντες. (Ὀδυσ: Β'. ς. 68·)

„ Λίσσομαι ἠμὲν Ζηνὸς ὀλυμπίου, ἠδὲ Θέμιστος.

Κἀν τῷ ὕμνῳ τῷ εἰς τὴν Ἀφροδίτην ς. 151.

„ Ἀλλά σε πρὸς Ζηνὸς γουνάζομαι . . . .

Καὶ Ἀπολλών: ἐν Ἀργοναυτικ: Ἱκεσίου πρὸς Ζηνός : . .

Λουκιανὸς δὲ ἁπλῶς: ἀλλὰ πρὸς ἱκεσίου ῥύσασθέ με. Ἐνίοτε δὲ προσετίθεντο παρασυνάπτοντες καὶ τὰ φίλτατα, οἷον γονεῖς, συζύγους, τέκνα, κτήσεις, ἅπερ ἅμα συνείλοχε Νέστωρ: (Ἰλ: Ο'. ς. 665.)

„ Τῶν ὑπὲρ ἐνθάδ' ἐγὼ γουνάζομαι, οὐ παρεόντων,

Οὕτω καὶ Ὀυΐργίλιος Αἰνειαδ: Βιβλ: Ι'. 524.)

Per patrios manes, per spem surgentis Iüli
Te precor . . . . . . . . . . . .

„ ( Πρὸς πατρίων νεκύων, πρὸς τ' ἐλπωρῆς γε Ἰούλου
„ Ἄρτι ἀνισταμένοιο, σὲ λίσσομαι, ἐκ θ' ἱκετεύω.)

Καὶ καθεξῆς: (αὐτ. ς. 597.)

Per te, per qui talem genuere parentes.

„ ( Πρὸς σέο, πρὸς τοιόνδε σε τεξαμένων γενετήρων.)

Οὕτω καὶ Σαλλούστιος (ἐν τῷ Ἰουγουρθ: πολέμ:)

Oro vos, per liberos atque parentes veſtros:

„(Δέομαι ὑμῶν, πρός τε τέκνων, καὶ τοκέων ὑμετέρων.)

Α'λλὰ καὶ πρὸς τῆς κεφαλῆς ἔτι, καὶ τῶν γονάτων, καὶ τῶν ψυχῶν ἐξελιπάρουν ἀντιβολοῦντες: ( Ο'δ: Ο'. ϛ. 261. )

„ Λίσσομ' ὑπὲρ θυέων, καὶ δαίμονος, αὐτὰρ ἔπειτα
„ Σῆς τ' αὐτοῦ κεφαλῆς, καὶ ἑταίρων, οἵ τοι ἕπονται.

Καὶ Ι'λ: Χ'. ϛ. 338. )

„ Λίσσομ' ὑπὲρ ψυχῆς καὶ γούνων, σῶν τε τοκήων.

Α'λλ' ἔστι μοναδικὸν τὸ τῆς Ε'κάβης Ε'κτορα τὸν υἱὸν ἀντιβολούσης τῇ τοῦ μαζοῦ ἐπενδείξει (Ι'λ: Χ'. ϛ. 83. )

„ . . . Εἴποτέ τοι λαθικήδεα μαςὸν ἀνέσχον.

Πρὸς δὴ τούτοις εἰώθεσαν ἱκετεύοντες καὶ τὰς χεῖρας ὑπτίας προτείνειν. Οἷον Α'χιλλεὺς (Ι'λ: Α'. ϛ. 351. )

„ Πολλὰ . . . . μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς.

Καὶ ὁ Λυκάων τῷ Α'χιλλεῖ: ( Ι'λ: Φ'. ϛ. 115. )

„ . . . . Ε'ζετο χεῖρε πετάσσας.

Οὕτω καὶ ἡ Ε'υρώπη παρὰ τῷ Μόσχῳ.

„ . . Φίλας κικλέεσκεν ἑταίρας, χεῖρας ὀρεγνυμένη.

Καὶ Πλούταρχος δ' ἐν Βίῳ Καμίλλου: Δεομένων, φησὶ, καὶ τὰς χεῖρας προϊσχομένων. Καὶ Ο'υϊργίλιος, (Αἰν ΙΒ'. ϛ. 930. ) Ille humilis, ſupplexque oculos dextramque precantem Protendens.

„(Κεῖνος δ' ἄρ χθαμαλὸς λισσέσκετο, ὄσσ' ἰδὲ χεῖρε
„ Τείνας . . . . . . .

Τέως δέτοι καὶ τοῖς Λατινοῖς, αὐτὸ τὸ precari λέλεκται ἀπὸ τοῦ τας χειρας προτείνειν: a porricienda manu: ὡς ἔδοξε τοῖς αὐτῶν Γραμματικοῖς.

Ἀλλὰ γὰρ καὶ τὰς χεῖρας εἶχον οἱ ἱκετεύοντες κεκαλυμμένας: Οὕτως ὁ Χρύσης ἱκέτευεν: (Ἰλ. Α΄. ϛ. 13. — καὶ 373.)

„Στέμματ᾽ ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος.

Ἱκετηρίαν καὶ γὰρ Ἕλληνες ἀπεκάλουν, ὅπερ ἐν χερσὶν ἐπέφερον κάλυμμα ἱκετεύοντες. Ἀρποκρατίωνι μέντοι, τοῦτο ἦν κλάδος ἐλαίας κέμματι ἐστεμμένος, ὅν περ οἱ ἱκέται προέτεινον: οἷος περ ὁ παρὰ Πλουτάρχῳ (ἐν τῷ Θησεῖ.) Οὕτω καὶ Οὐίργίλιος ἔχει: (Αἰνειάδ. ΙΑ΄. ϛ. 101.)

Velati ramis oleae, veniamque rogantes.

„(Συγκεκαλυμμένοι ἔρνεσ᾽ ἐλαίης, λισσόμενοί τε.)

Ὁμοίως καὶ Λίβιος ἐν τῷ Δ΄. τοῦ Καρχηδονικοῦ πολέμου: Ramos oleae ac velamenta alia ſupplicum porrigentes orare, „ut ſe reciperent παρέστησε (τοὺς ἐλαίας ἔχοντας ἔρνεα, καὶ „ἕτερ᾽ ἄττα περικαλύμματα προτείνοντας, εὔχεσθαι, ὅπως „ἂν αὐτοὺς ἀποδέξαιντο.) Κἀντεῦθεν τὸ τοῦ Πλαύτου ἐκεῖνο (ἐν τῷ Ἀμφιτρύωνι.)

Ad nos veniunt flentes Principes
Velatis manibus, orant ignoſcamus peccatum ſuum.

„(Ὡς ἡμᾶς ἀφικνοῦνται οἱ ἐν ἀρχαῖς, κλαίοντες
„Χερσὶν ἐγκαλύπτοις: δέονταί τε ἵνα ἀφῶμεν τὰ
αὐτοῖς ἐξημαρτημένα.)

Τὰ πολλὰ δὲ εἰώθεσαν καὶ ἐς γόνυ τοῦ ἱκετευομένου τὰς χεῖρας προτείνειν, καὶ σφᾶς παρατίθεσθαι, ὡς ἐστὶν ἀναγνῶναι παρ᾽ Εὐριπίδῃ.

„Ἱκετηρίας δὲ γόνασιν ἐξάπτω σέθεν.

Ἡ δ' Ἀνδρομάχη ἔφασκε:

„. . . . . Στεμμάτων δ' οὐχ ἥσσονας,

„Σοῖς προςτίθημι γούνασιν ὠλένας ἐμάς.

Οὕτω γοῦν καθόλου τῶν γονάτων ἥπτοντο προσιόντες οἱ ἱκέται. (Ἰλ. Ω'. ϛ. 357.)

„Γούνων ἁψάμενοι λιτανεύσομεν, αἴκ' ἐλεήσῃ.

Καὶ Ὀδυσσ. Κ'. ϛ. 264.

„Αὐτὰρ ὅγ' ἀμφοτέρῃσι λαβὼν ἐλίσσετο γούνων.

Καὶ ἐν ἄλλοις δὲ μυριαχοῦ· οὕτω γὰρ δὴ καὶ Ὀρέστης Μενέλαον τὸν ἀδελφὸν ἱκέτης προσφθέγγεται παρ' Εὐριπίδῃ:

„Τῶν σῶν γονάτων πρωτέλεια θιγγάνω.

Καὶ παρὰ Πινδάρῳ (Νέμ. Η'.)

„Ἱκέτις Αἰακοῦ σεμνῶν γουνάτων ἅπτομαι.

Καὶ παρὰ τῷ Πλουτάρχῳ δ' ὁ Περσεὺς, λέγεται γονάτων ὀρεξάμενος Αἰμιλίου: περὶ οὗ Λίβιος (ἐν Βιβλ. ΜΕ.) Submittentemque fe ad „pedes fuftulit; nec attingere genua paffus eft. (Ὑποκύ-„ψαντα δ' αὐτὸν τοῖς ποσὶν ὑπανέχεν, οὐδ' ἠνέχετο τῶν „αὐτοῦ γονάτων ἐφάψασθαι. Οὕτω τοι καὶ Οὐϊργίλιος, (Αἰνειάδ. Ι'. ϛ. 523.)

Et genua amplectens effatur talia fupplex:

„. . . . . Καὶ λάβε γούνων, λίσσετό θ' ὧδε:

Μέμνηται δὲ τοῦ τρόπου καὶ Πλίνιος (Βιβλ. ΙΑ'. Κεφ. ΜΕ'.) Homines genubus quaedam et religio ineft, obfervatione gentium. Haec fupplices attingunt; haec ut aras ado-

„ rant, fortasse quia in ipsis inest vitalitas. (Τοῖς ἀν-
„θρώπων γόνασι (Φησὶν) ἔνεςί τις ϗ Ἱερότης, ἐξ ὑπο-
„λήψεως ὅλων ἐθνῶν, τέτων ἱκέται ἐφάπτονται·
„ταῦτα δίκην βωμῶν προσκυνᾶσιν, ὅτι ἐν αὐτοῖς
„ἔνεςι δῆθεν τι ζωογόνον. Προςίθησι δ' ὁ αὐτὸς αὐτόθι,
ὅτι τοῖς πάλαι Ἕλλησιν ἔθος ἦν καὶ τᾶ Πώγωνος ψαύειν, οὗ παρ' Ὁμήρῳ πρόκειται ὑποδείγματα ἐκ ὀλίγα· ὡς (Ἰλ. Α'. ς. 500.) Κρονίδε ἡ Θέτις δεησομένη:

„ Καὶ ῥα πάροιθ' αὐτοῖο καθέζετο, ϗ λάβε γένων
„ Σκαιῇ, δεξιτερῇ δ' ἄρ ὑπ' ἀνθερεῶνος ἑλᾶσα,
„ Λισσομένη προσέειπε. . . . . . . . . .

(Καὶ Ἰλ. Κ'. ς. 454. κξ.) περὶ τᾶ Δόλωνος:

„ Ἦε, ϗ ὁ μὲν μὶν ἔμελλε γενείε χειρὶ παχείῃ
„ Ἁψάμενος λίσσεσθαι. . . . . . .

Ὁ δ' Ἀχιλλεὺς, τᾶ Πριάμε πρὸς τὸ ἑαυτᾶ σόμα, τὴν χεῖρα ἐπορεξαμένε. (Ἰλ. Ω'. ς. 504. κξ.)

„ Ἁψάμενος τῆς χειρὸς, ἀπώσατο ἦκα γέροντα.

Ἥτε Ἑκάβη, παρ' Εὐριπίδῃ, ἀντεπιπλήττει Ὀδυσσεῖ ἀποςρεψαμένῳ τὸ πρόσωπον, ὡς μὴ προθίξειεν αὐτᾶ τῆς γενειάδος.

Πρὸς δ' ἔτι δὴ καὶ Φιλήματι καταασπάζεσθαι τὰ γόνατα εἰώθεσαν ἱκετεύοντες. Οὕτως Ὀδυσσεὺς Φάσκει πεποιηκέναι τῷ Αἰγυπτίων Ἄνακτι. (Ὀδ. Ξ'. ς. 279.)

„ Καὶ κύσα γᾶναθ' ἑλὼν, ὁ δ' ἐρύσατο ϗ μ' ἐλέησεν.

Καὶ ἡ Θέτις ὁμοίως (Ἰλ. Θ'. ς. 372.) τῷ Ζηνί:

„ . . . . . Γȣ́νατ᾽ ἔκυσσε, καὶ ἔλλαβε χειρὶ γενείȣ.
Καὶ τὰς χεῖρας δ᾽ ἔτι κατεφίλȣν: ὡς Πρίαμος (Ἰλ. Ω΄. ϛ. 478.)
„ Χερσὶν Ἀχιλλῆος λάβε γȣ́νατα, καὶ κύσε χεῖρας.

Ὡσαύτως Ἀπȣλήϊος (ἐν Μιλησ. Β΄.) Hujus diu manus exosculatus, et ipsa genua contingens, miserere, ait, „ sacerdos. Τȣ́τȣ τε ἐπὶ πολὺ τὰς χεῖρας καταφιλῶν, καὶ „ τῶν γονάτων καθαπτόμενος, ἐλέαιρε, ἔφη, ὁ „ ἱερεύς.

Καὶ παρὰ τὴν ἐσχάραν δὲ, ἤτοι τὴν ἑστίαν, εἰώθεσαν ἔτι καθέζεσθαι, πρὸς ὃ τὸ Ὀδυσσέως ἀνήκει, ὃς (Ὀδ: Η΄. ϛ. 153.) ἱκέτης προσελθὼν Ἀλκινόῳ:

„ . . . . . Κατ᾽ ἄρ᾽ ἕζετο ἐπ᾽ ἐσχάρῃ ἐν κονίῃσι
„ Πὰρ πυρὶ . . . . . . . . . . . .

Ὁμοίως Ἀπολλώνιος (ἐν τοῖς Ἀργοναυτικοῖς) ἔφη:
„ Τὼ ἄνεω καὶ ἄναυδοι ἐφ᾽ ἑστίῃ ἀΐξαντες.
„ Ἵζανον, ἥ τε δίκη λυγροῖς ἱκέτῃσι τέτυκται.

Καὶ Θεμιστοκλῆς δὲ παρὰ Πλȣτάρχῳ ἱστόρηται, ἐπὶ τῇ ἑστίᾳ καθεσθῆναι, ὅτε πρὸς τὸν Μολοσσῶν ἄνακτα προσπεφεύγει. Ὃ καὶ τὸν Κοριωλάνον πεποιηκέναι παρὰ τῷ αὐτῷ ἀναγινώσκεται, ἀπὸ Ῥώμης ἐξελαθέντα, καὶ Ἀυφιδίῳ προσελθόντα τῷ Οὐόλσκων ἡγεμονεύοντι.

Κἀπὶ τȣ̃ς βωμȣ̃ς δὲ ἱκέται προσέτρεχον· τοιȣ̃τος δ᾽ ἦν ὁ Ἑρκείȣ Διὸς βωμὸς ἐκεῖνος, πρὸς ὃν Φήμιος προσφυγεῖν εἶχεν ἑτοίμως, ἵν᾽ Ὀδυσσεὺς αὐτȣ̃ φείσηται. (Ὀδ: Χ΄. ϛ. 335.) Καὶ Πρίαμος δ᾽ εἰς παραπλήσιον προσέδραμε βωμὸν, ὃν Παυσανίας (ἐν τοῖς Κοριν-

θιακ:) ἐςὶ περιγράφων: „τῦτον τὸν Δία, Πριάμῳ φασὶν „εἶναι τῷ Λαομέδοντος πατρῷον, ἐν ὑπαίθρῳ τῆς αὐλῆς „ἱδρυμένον· καὶ ὅτε ἡλίσκετο ὑπὸ Ἑλλήνων Ἴλιον, ἐπὶ τῦτον „κατέφυγεν ὁ Πρίαμος τὸν βωμόν. Κατὰ δὴ τὸν αὐτὸν τύπον καὶ Εὐριπίδης· (ἐν τῇ Ἑκάβῃ:)

„ Ἀλλ' ἴθι πρὸς ναὺς, ἴθι πρὸς βωμὺς·
„ Ἵζε Ἀγαμέμνονος ἱκέτις γονάτων

Ταύτῃ τοι περὶ τῶν καθικετεύσεων εἴρηται: Θηρσὶ μὲν, καταφυγὴν εἶναι πέτραν: δύλοις δὲ, βωμὺς Θεῶν· ἀμέλειτοι, ἐπεὶ τὰ πλεῖστα οἱ δῦλοι τόδ' ἐποίυν, ἀπαλλαχθησόμενοι τῆς ἀπηνείας τῶν δεσποτῶν. Διὸ ἐν τῷ ἐτυμολογικῷ ἐδρῖται οἱ ἱκέται, ἀπὸ τῦ καταφεύγειν εἰς τὴν ἑςίαν. Τὸ δ' ἔθος τόδε ἅπασι πάλαι τοῖς ἔθνεσι σύνηθες ἦν, καὶ αὐτοῖς Ἑβραίοις, τὸ πρὸς τὰ ἱερὰ τῶν χωρίων, ὡς ἄσυλα, τὺς ἱκέτας ἐπικαταφεύγειν. Καὶ τῦ ἔθυς τὰ ἴχνη τύτυ, παρὰ πολλοῖς ἔθνεσι καὶ καθ' ἡμᾶς ἔτι καὶ νῦν διασώζεται.

## ΚΕΦΑΛ. ΙΕ'.

## Περὶ τῦ τρόπυ τῦ ἐν τοῖς θρήνοις, καὶ πένθεσι.

Τελευταῖον ὑποθετέος ὧδε ἡμῖν καὶ ὁ τρόπος, ὃν Ἕλληνες ἐν πένθεσί τε καὶ κοπετοῖς ἐτήρυν. Πρῶτον οὖν ἐκ φύσεως κοινὸν ἐςὶ πᾶσι τὸ δάκρυα χέειν, ἅπερ ἐκ λύπης ἀπογεννᾶσθαι, ὁμοίως τοῖς καρποῖς τοῖς ἀποφυομένοις τῶν δένδρων, ἔγραψε Πλύταρχος. Ἀνδράσι δήπυ τοῖς ἀρίςοις ἐν Ἕλλησι καὶ κρατίςοις, τὴν τοιάνδε διάθεσιν ἐνέθηκεν Ὅμηρος,

οἷον Ἀχιλλεῖ τε ϗ Ἀγαμέμνονι, καὶ ἄλλοις. Οὕτω δὲ ἄρα ϗ Ἀγησίλαος πτῶμα πολεμίου τεθεαμένος ὑπέκλαυσεν, ἣ Ξενοφῶν διέξεισιν (ἐν Ε'. Ἑλληνικ:) Καὶ Κῦρος δὲ, ἐπὶ νεκρῷ τῷ Ἀβραδάτῃ δάκρυα ἔχεεν· (ἐν Ζ'. Κυροπαιδ:) Ἀλλὰ καὶ Ἀλέξανδρος ὁ μέγας, ἐπὶ Νεάρχῳ τε καὶ Ἀρχίᾳ τεθνηκόσιν, ὡς Ἀρριανὸς μαρτυρεῖ, (ἐν τοῖς Ἰνδικοῖς.) Καὶ αὐτοῦ δ' Ἀλεξάνδρου τῆς τελευτῆς ἀκουσθείσης, ὁ Πῶρος, (παρὰ τῷ Φιλοστράτῳ ἐν Βιβλ: Β'.) Καὶ ὁ Καῖσαρ δὲ τὸν Πομπηΐου δακτύλιον κατιδὼν, (παρὰ τῷ Πλουτάρχῳ.) καὶ ὑπὲρ ἀριθμὸν δὲ ἄλλοι ἐπ' ἄλλοις ὡσαύτως. Καθόλου καὶ γὰρ, ὡς παρ' Εὐριπίδῃ (ἐν τῇ Ἑλένῃ) Μενέλαος ἀποφαίνεται, ἀνδρὸς γενναίου τὸ τοιοῦτον, ἴδιον ἐστίν.

Εἰώθεσαν δὲ οἱ θρηνοῦντες καὶ τὴν κεφαλὴν παίειν· ὁ μὲν οὖν Πρίαμος τὴν ἐν τῇ μάχῃ ἀναίρεσιν τοῦ Ἕκτορος δεδιὼς: (Ἰλ: Χ'. ς. 34.)

„Ὤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅγε κόψατο χερσὶν
„Ὑψόσ' ἀνασχόμενος, μέγα δ' οἰμώξας ἐγεγώνει.

Ὡσαύτως διέξεισι Πλούταρχος, τὸν Σόλωνα, τοῦ θανάτου ἀκού„σαντα τοῦ υἱέως, παίειν τὴν κεφαλὴν, καὶ τ' ἄλλα ποιεῖν, ϗ „λέγειν, ἃ συμβαίνει τοῖς περιπαθοῦσι. Παραπλησίως Ἡρόδοτος (ἐν τῇ Θαλείᾳ) γράφει: Ψαμμήτιχον τὸν Αἰγύπτου βασιλεύσαντα ἑαλωκότα, ἐπεὶ γηραιὸν ἐθεάσατο ἐν ἐσθῆτι πένητος, ὃν πλουτοῦντα ἐν τοῖς φίλοις τὸ πρότερον εἶχεν, ἐπικόψασθαι τὴν κεφαλήν· ἐπλήξατο τὴν κεφαλήν.

Καὶ τὴν κόμην δὲ παρελωβοῦντο, τὰς τρίχας ἐξανασπώμενοι: ὥσπερ Ἀγαμέμνων: (Ἰλ: Κ'. ς. 15.)

„Πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας.

Καὶ Ἀχιλλεὺς δὲ (Ἰλ: Σ'. ς. 27.)

„ Αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωςὶ τανυσθεὶς
„ Κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ἤσχυνε δαΐζων.

Καὶ οἱ Ὀδυσσέως δ' ἑταῖροι, εἰς ἀΐδην ἀπελευσομένε, ( Ὀδυσ: Κ'. ς. 567.)

„ Ἑζόμενοι ῥα καταῦθι γόων, τίλλοντο δὲ χαίτας.

Οὕτω καὶ παρὰ Οὐϊργιλίῳ (ἐν τῷ Θ'. τῆς Αἰνειάδ: ς. 477.) περὶ τῆς Ευρυάλε μητρὸς ἀναγινώσκομεν, ὅτι:

Evolat infelix, et foemineo ululatu,
Sciſſa comam, muros amens, atque agmina curſu
Prima petit. . . . . . . . . . . . . . . . . . . .

„(Πτῆ δ' ἄρ δειλαίη, ὀλολυγαῖς θηλυτέρῃσιν
„ Ἐκτίλλεσα κόμην, ἀνὰ τείχεα, ἠδ' ἀνὰ εἴλας
„ Ἆϊξε πρώτη. . . . . . . . . . . . .

Καὶ ἐν τῷ ΙΒ. Βιβλ. τῆς Αἰνειάδ. (ς. 870.)

Infelix crines ſcindit Juturna ſolutos
Unguibus ora ſoror foedans, et pectora pugnis.

„ (Ἔσπα χερσὶ τάλαινα κόμας ἀνέτες Ἰϋτύρνη,
„ Ὦπα τ' ὄνυξι δρύπτεν, ἀτὰρ πὺξ ςέρν' ἐα κόπτεν.)

Καὶ Ἀριςοφάνης δὲ (Εἰρην. ς. 544.)

„ Ἐκεινονὶ τὸν λοφοποιὸν, ἐχ' ὁρᾷς τίλλονθ' ἑαυτὸν;

Καὶ Λεκιανὸς: Παῦσαι τιλλόμενος τὴν κόμην. Ἐπὶ δὲ τέτοις καὶ Μαρτιάλιος (ἐν Βιβλ. Ε'.)

Pectusque pulſans parirer et comam vellens.

„(Στέρνον ὁμῶς κόπτων, καὶ χαίτην τιλλόμενός τε.

Οὐχ' ὅπως δὲ, ἀλλὰ καὶ ῥυπάσμασι τὴν κεφαλὴν κατεμίαινον· ὡς Ἀχιλλεύς: (Ἰλ. Σ'. ϛ. 23.)

„Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
„Χεύατο κακκεφαλῆς, χαρίεν δ' ᾔσχυνε πρόσωπον.

Τοῦθ' ὅπερ αὐτολεξεὶ σχεδὸν ἐπαναφέρεται, καὶ περὶ τοῦ Λαέρτου: (Ὀδυσ. Ω'. ϛ. 315.)

„Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
„Χεύατο κακκεφαλῆς πολιῆς, ἀδινὸν στοναχίζων.

Καὶ παρὰ Οὐϊργιλίῳ δ' ὡσαύτως: (Αἰνειάδ. Ι'. ϛ. 843.) ὁ Λαύσου πατὴρ ἀναιρεθέντος:

Canitiem multo deformat pulvere.

„(Ἣν πολιὴν πολλῇ καταήσχυνεν ἐν σποδιῇ γε.)

Καὶ ὁ Λατῖνος δὲ, παρὰ τῷ αὐτῷ: (Αἰνειάδ. ΙΒ'. ϛ. 611.) ἀναιρεθείσης οἱ τῆς ἀλόχου:

Canitiem multo perfusam pulvere turpans.

„(Ἣν πολιήν γε κόνει πολλῇ κατὰ ἀχρειώσας.)

Καὶ Ἠλέκτρα δὲ παρ' Εὐριπίδῃ τὴν κόμην πιναρὰν ἀναδείκνυσι, διὰ τὴν τοῦ γενετῆρος τελευτήν. Παραπλησίως καὶ παρὰ τῷ Ἀπουληΐῳ (Μιλησι. Θ'.) Et discerptae comae sordentes inspersu cineris, plerumque ejus anteventulae contegebant „faciem. . . . Διασκεδαννύμεναί τε αἱ κόμαι ῥυπαραὶ τῇ „τῆς τέφρας ἐπικαταχύσει, πολλάκις τε, (ὡς ἀνεμίδια, ἢ ὀθόναι, ἢ καλύπτραι: οὐ γὰρ ἄλλως τὸ Anteventulae „τίποτε βούλεται, συνορᾶν σαφῶς ἔχω) αὐτῆς τὸ πρό„σωπον συνεκάλυπτον. Ἦν δὲ ἄρα τὸ ἔθος τόδε πάτριον Ἑβραίοις

τε δὴ, καὶ ἄλλοις τῶν ἀνατολικωτέρων ἐθνῶν, ὡς ἐκ τῆς Ἱερᾶς Ἱςορίας ἐςὶ καταδῆλον.

Διεσπαράττοντο δὲ ἐν τοῖς τοιούτοις κοπετοῖς καὶ τὰς παρειὰς, οἷον (Ἰλ: Λ΄. ς. 393.) περὶ τῆς Χηρευούσης εἴρηται:

„ Τοῦ δὲ, γυναικὸς μέν τ' ἀμφίδρυφοι εἰσὶ παρειαί.

Ὃ καὶ περὶ τῆς γαμετῆς εἴρηται (Ἰλ: Β΄. ς. 700.) τοῦ ἀποκτανθέντος Πρωτεσιλάου; ἀμφιδρυφὴς ἄλοχος. Οὐδ' ἄλλως παρ' Ἡσιόδῳ: (ἐν τῇ Ἡρακλ: ἀσπίδι.)

„ . . . . . Κατὰ δ' ἐδρύπτοντο παρειάς.

Καί γε παρὰ τῷ Οὐϊργιλίῳ, (Αἰνειάδ: Βιβλ: ΙΒ΄. ς. 605.)
Filia prima manu flavos Lavinia crines
Et roſeas laniata genas . . . . . . . .

„ (Πρώτη ξανθοὺς ἡ παῖς πλοχμοὺς τίλλε Λαβίνη,
„ Δρύπτε παρειάς θ' ἃς ῥοδέους . . . . . .

Καὶ ἡ Βρισηὶς δὲ, τῆς τελευτῆς Πατρόκλου ἀκουτισθείσης, ὄψιν τε δὴ, καὶ τράχηλον, καὶ ςέρνον διασπαράττει (ἐν Ἰλ: Τ΄. ς. 285.)

„ . . . . . . Χερσὶ δ' ἄμυσσε,
„ Στήθεά τ', ἠδ' ἁπαλὴν δειρὴν, ἰδὲ καλὰ πρόσωπα.

Ὁμοίως ἡ Κυζίκου ἄλοχος ἀναιρεθέντος, (παρὰ τῷ Ὀρφεῖ ἐν τοῖς Ἀργοναυτικ:)

„ Στήθεα δρυπτομένη λίγ' ἐκώκυε. . . . . . .

Ὁ δὲ Φιλόςρατος, περὶ τοῦ τῆς μητρὸς υἱοῦ λέγων, τοῦ ὑπὸ δαιμονίου ἐκταρασσομένου: Κἀγὼ μὲν ἐπὶ τούτοις κλάω, καὶ ἐμαυτὴν δρύπτω. Ὅπερ οὖν καὶ περὶ τῆς Κλεοπάτρας αἰχμαλώτιδος διέξεισι Πλούταρχος, εἰς τὸν Βίον Ἀντωνίου.

Z ζ

Ἄλλως δὲ συχνότατον ἦν τὸ κόπτειν τὰ στήθη, ὡς αἱ τοῦ Ἀχιλλέως θεραπαινίδες ἔδρων: (Ἰλ. Σ'. ϛ. 30.)

„ . . . . . . . Χερσὶ δὲ πᾶσαι
„ Στήθεα πεπλήγοντο. . . . . . .

Ὁ δὲ Τρυφιόδωρος (ἐν τῇ Ἰλίου ἀναστάσει) περὶ τῆς Κασσάνδρας λέγων:

„ . . . . . . . . . Πυκνὰ δὲ χαίτην
„ Κοπτομένη καὶ στέρνον, ἀνίαχε μαινάδι φωνῇ.

Καὶ παρὰ τῷ Οὐϊργιλίῳ δὲ, (Αἰνειάδ. Βιβλ: ΙΑ'. ϛ. 37.)
Ingentem gemitum tunſis ad ſidera tollunt
Pectoribus. . . . . . . . . . . . . . .

„ (Ἄσπετον οἰμωγὴν ἐπὶ ἦραν στερνοτυποῦντες.)

Ἀλλὰ καὶ τοὺς μηροὺς παίειν εἰώθειν: ὥσπερ ὁ Ἄσιος, (Ἰλ. Μ'. ϛ. 162.)
„ . . . . . . Ὤμωξέν τε, καὶ ὦ πεπλήγετο μηρώ.

Ὃ καὶ περὶ τοῦ Πατρόκλου εἴρηται: (Ἰλ. Ο'. ϛ. 397.) καὶ περὶ τοῦ Ἀχιλλέως. (Ἰλ. Π'. ϛ. 125.) Οὕτω τοι καὶ παρὰ Πλουτάρχῳ Φάβιος θεασάμενος τοὺς ἰδίους περιπεφραγμένους εἰς φυγὴν τετράφθαι: μηρόν τε πληξάμενος καὶ στενάξας μέγα κτ. καθ' ὃν τύπον ἐκεῖνο λέλεκται τὸ τοῦ Κικέρωνος (περὶ τοῦ λαμπροῦ Ῥήτορος:) frons non percuſſa, non femur: (οὐ μέτωπον πέπληκτο, οὐ μηρός.

Ἀλλὰ καὶ κατὰ γῆς ἐκυλίοντο κονιορτώδους: (Ἰλ. Σ'. ϛ. 26.) ὥσπερ Ἀχιλλεύς:

„ . . . . Ἐν κονίῃσι μεγαλωςὶ τανυσθεὶς
„ Κεῖτο. . . . . . . . . . . .

Καὶ Πρίαμος ὁμοίως: (Ἰλ: Ω΄. ς. 640.)

„ Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.

Καὶ Μενέλαος δὲ φησὶ κατακυλισθῆναι, τὸν τοῦ ἀδελφοῦ θάνατον πεπυσμένος. (Ὀδ: Δ΄. ς. 541.)

Τελευταῖον δ᾿ οὖν καὶ διὰ τὸ ὑπερβάλλον τῆς λύπης ἑαυτοὺς ἀνήρουν: ὃ περὶ τῷ Ἀχιλλεῖ ἐδεδίεισαν αἵ τε δμωΐδες (Ἰλ. Σ΄. ς. 34.) καὶ ὁ Ἀντίλοχος ἑτέρωθεν:

„ . . . . . . Μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ.

Οὕτω δ᾿ ἑαυτὴν ἀνεῖλε καὶ Ἐπικάςη (Ὀδυσ: Λ΄. ς. 277.)

„ Ἁψαμένη βρόχον αἰπὺν ἀφ᾿ ὑψηλοῖο μελάθρου
„ Ὧ ἄχεϊ σχομένη. . . . . . . . . .

Οὕτως Ἀμάτη παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ. ΙΒ΄. ς. 603.)
Et nodum informis loeti trabe neɛ̄lit ab alta.

„ (Καὶ βρόχον ἁψαμένη ἀχήμονα εἵλετο πότμον.)

Ταὐτὸ δ᾿ ἐπεχείρησε καὶ Αἴας παρὰ τῷ Σοφοκλεῖ, καὶ παρὰ τοῖς λοιποῖς Τραγῳδοῖς, ὧν πλέα τὰ Δράματα τῆς τοιᾶσδε αὐτοχειρίας: πρὸς ἣν τοὺς παλαιοὺς ἐκείνους ὡς λίαν ἐπιῤῥεπεῖς γενέσθαι κατάδηλον.

# ΟΜΗΡΙΚΩΝ ΑΡΧΑΙΟΤΗΤΩΝ

## ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

### ΚΕΦΑ΄Λ. Α΄.

### Περὶ Γεωργίας.

Λείπεται ἡμῖν περὶ διαφόρων ἐγχειρήσεών τε καὶ ἐργασιῶν, αἷς οἱ πάλαι Ἕλληνες ἐνασχολεῖσθαι ἔχαιρον, βραχέα διελθεῖν· ἐν αἷς δὴ πρώτην τακτέον τὴν περὶ τὴν Γεωργίαν ἄσκησιν. Τῶν μὲν οὖν ἀγρῶν, περὶ οὓς τὰ ἔργα, ἑκάστου, τὰ ὅρια διαστελλόμενα ἦν διὰ λίθων. Οὕτως (Ἰλ: Φ΄. ς. 405.) τὸν Ἄρην ἡ Ἀθηνᾶ καταβάλλει λίθῳ:

„ Τόν ῥ᾽ ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης.

Τῷ δ᾽ αὐτῷ λόγῳ καὶ παρ᾽ Οὐϊργιλίῳ (Αἰνειάδ: ΙΒ΄. ς. 897.) Τύρνος κατ᾽ Αἰνείου ἑλίσσων.

Saxum antiquum ingens, campo quod forte jacebat,
Limes agro positus, litem ut discerneret arvis.

„ (Λᾶν μέγαν ἀρχαῖον, τυχὸν ἀμπεδίον που ὄντα·
„ Οὖρος ὅπως ταχθεὶς ἔριδ᾽ αἴροι τὴν ἐπ᾽ ἀρούραις.)

Τοὺς τοιούσδε ὅρους ἱεροὺς εἶχον, ἀσεβὲς ἡγούμενοι, ἢ αἴρειν ἔξω τούτων, ἢ μεθιστᾶν. Ὅθεν οἱ ἀρχαιότεροι Ῥωμαίων, τὸν κατ᾽ αὐτοὺς terminum, ἤτοι τὸν ὅρον, ἐξεθέωσαν, καὶ οὐκ ἄνευ ἱεροτελεστιῶν ἀνετίθουν, ὡς παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ πάρεστιν ἰδεῖν (ἐν Βιβλ. Β΄.) Διὸ καὶ δοῦλοι ἀνέκαθεν ἐπικαθιστῶντες, οἵπερ ἂν εἶεν τῶν ἐν ἀγροῖς περά-

των Φρȣροὶ: οἷος ὁ ἐπάρȣρος ἢ πάρȣρος (κατ' Εὐςάθιον) ὁ παρ' Ὁμήρῳ νοεῖται (Ὀδυσ. Λ'. ς. 488.) Τȣς-τοιȣτȣς δ' οἱ ἄλλοι Ἕλληνες Οὐροφύλακας εἶπον. Οἱ δὲ Λατῖνοι ſaltuarios (Ὑλωρȣς) ὡς παρὰ Οὐλπιανῷ (Βιβλ. ΙΒ'. τῶν Διγέςων) De inſtrument: vel inſtruct: Legato. Τοιȣτοι δὲ καὶ οἱ ἐν τοῖς τȣ Ἄνακτος Αὐγέιȣ ἀγροῖς, παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: ΚΕ'.) Οὖρȣς μὲν ἴσασι Φυτοσκάφοι. Τοιγαρȣν καὶ διαμφισβητήσεως κινȣμένης, περὶ ὁρίων θέσεως τῶν ἐν ἀγροῖς, διεκμετρήσεως διελύετο τὸ νεῖκος: καθάπερ ἐν τῷ Ἰλ: (Μ'. ς. 421.)

„ Ἀλλ' ὥς' ἀμφ' ȣροισι δύ' ἀνέρε δηριάασθον
„ Μέτρ' ἐν χερσὶν ἔχοντες ἐπιξύνῳ ἐν ἀρȣρῃ,
„ Ὥ τ' ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ ἴσης.

Ἠροτρίων δὲ τὰ πλεῖςα ἐν βȣσὶν, οἱ διὰ τȣτο καὶ ἀροτῆρες εἰρημένοι τῷ Ἡσιόδῳ. Ἐχρῶντο δ' ἐπὶ τȣτῳ καὶ ἡμιόνοις, ἅτε δὴ καὶ ταχίοσιν πρὸς ἄροτον ἐγκρινομένοις (Ὀδυσ: Θ'. ς. 124.)

„ Ὅσσον τ' ἐν νειῷ ȣρον πέλει ἡμιονοΐιν.

Ἐξ ȣ παρ' Ἡσιόδῳ (ἐν Ἔργοις ς. 47.)

„ Ἔργα βοῶν ἀπόλοιτο, καὶ ἡμιόνων ταλαεργῶν.

Τȣς δ' αὐτȣς τȣτȣς καὶ ἐν ἅρματι ἐζεύγνυον πρὸς ὄχημα. (Ἰλ: Σ'. ς. 542. καὶ Ἰλ: Ω'. ς. 442. καὶ Ὀδυσ. Ζ'. ς. 72.) Ἀλλ' ἡ τῶν βοῶν χρῆσις ἰδιαιτέρα ἦν ἐπὶ τῷ ἀλοητῷ: (Ἰλ: Υ'. ς. 495.)

„ Ὡς δ' ὅτε τὶς ζεύξῃ βόας ἄρσενας εὐρυμετώπȣς.
„ Τριβέμεναι κρῖ λευκὸν ἐϋτροχάλῳ ἐν ἀλωῇ.

Ἦν δ' ἔθος ταυτὸ καὶ παρὰ Ἑβραίοις, ὡς δῆλον ἐκ τῆς Θείας νομοθεσίας, τῆς τὴν τοῦ ἀλοῶντος βοὸς ἐπιφίμωσιν ἀπαγορευούσης, ἣν (ἐν τῇ Α'. πρὸς Τιμόθ: Κεφαλ. Ε'.) ὁ Ἀπόστολος ἀναφέρει: **Οὐ φιμώσεις βοῦν ἀλοῶντα.** Ἀλλ' ὁ Αἰλιανὸς ἐν τῷ Δ'. Βιβλ: τῆς ποικίλης αὐτοῦ Ἱστορίας διέξεισιν, εἰωθέναι τοὺς πάλαι, κόπρῳ ἐναλείφειν βοείῳ τὰ βοῶν στόματα, ἐφ' ᾧ πρὸς τὴν τῶν καρπῶν ἀπόγευσιν ἀηδέστερον ἔχειν, **ὅταν ἀλοητὸς ᾖ, καὶ στρέφωνται περὶ δῖνον οἱ βόες.**

Καὶ ἀμπέλους δὲ καὶ ἀλωὰς, παντοίοις δένδροις τε καὶ φυτοῖς κομώσας ἐπιμελὲς ἐτίθεντο γεωργεῖν· καὶ λειμῶνας δ' ἐν οἷς ζώων παντοίων πώεά τε καὶ ἀγέλαι βόσκοιντο, ὡς ἐπὶ τῆς **Ἀχιλλέως ἀσπίδος** γλαφυρώτατα περιγραφόμενα πάρεστι κατιδεῖν. (Ἰλ: Σ'. ς. 526.) Ἐν τούτοις δ' οὖν χώραν εἶχον τὴν πρώτην οἱ βόες, περὶ οὓς πλείονα τὴν σπουδὴν τοὺς Ἕλληνας τεθεικέναι, ἐκ τῆς Ὁμήρου Ποιήσεως εὔδηλον ἁπανταχοῦ, ᾗ καὶ Παυσανίας (ἐν τοῖς **Μεσσηνιακ:**) „ἐπιμαρτυρεῖ γράφων: Ταῦτα μὲν τὸν λόγον μοι βεβαιοῖ, βοῦς „τοὺς τότε μάλιστα χαίρειν ἀνθρώπους. Τούτου δὲ χάριν κατεσκευάζοντο, ἐν οἷς οἱ ἐκ τῶν οἰκιακῶν δούλων προέχοντες καθιστῶντο ποιμάντορες, καὶ διὰ τῆς παρὰ τῶν κυνῶν συνδρομῆς κατὰ τῶν θηρίων τοῖς ποιμνίοις ἐπήμυνον· ὡς ἔνεστι μαθεῖν ἐκ τῶν Ὀδυσσέως (Ὀδυσ. Ξ'. ς. 21.) καὶ τοῦ ἐν Ἤλιδι ἄρχοντος Αὐγείου ποιμνίων. (παρὰ Θεοκρ: ἐν Εἰδυλλ: ΚΕ'.)

Κἀντεῦθεν οὖν ἐκ τῆς βοσκηματικῆς ταύτης περιουσίας, ἅπας ὁ τῶν πάλαι Ἑλλήνων προσελογίζετο πλοῦτος, ὅπερ δὴ κτήσεως εἶδος, δικαιότατον ἁπάντων εἶναι ἀποφαίνεται Ἀριστοτέλης (Πολιτικ: Βιβλ: Ε'.) ἅτε δὴ τῇ παρὰ τῆς φύσεως συνυπουργήσει ἐπισυνιστάμενον. Οὕτως ὁ Διομήδης τὸν τοῦ ἰδίου πατρὸς παριστῶν ὄλβον (Ἰλ: Ξ'. ς. 122.)

„ . . . Ἄλις δέ οἱ ἦσαν ἄρϐραι
„ Πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφὶς,
„ Πολλὰ δέ οἱ πρόβατ᾽ ἔσκεν . . . . . . .

Ὡσαύτως δὲ (Ἰλ: Υ΄. ς. 221.) Ἐριχθόνιος γενέσθαι λέγεται:

„ . . . Ἀφνειότατος . . . . θνητῶν ἀνθρώπων,
„ Τοῦ, τρισχίλιοι ἵπποι ἕλος καταβουκολέοντο

Καὶ (Ἰλ: Ι΄. ς. 154. καὶ 296.) ἐπαινοῦνται αἱ πόλεις, ἃς

„ . . . Ἄνδρες ναίουσι πολύῤῥηνες πολυβοῦται.

Καὶ ὅλως ἁπανταχοῦ οἱ περιουσίᾳ πλούτου διαφέροντες παρ᾽ Ὁμήρῳ, καλοῦνται πολύαρνες καὶ πολύμηλοι: ὃ δὴ καὶ Οὐάῤῥων παρατετήρηκεν, ἐν τῷ Α΄. Βιβλ: περὶ τῆς τῶν ἀγρῶν ἐπιμελείας Κεφ: Β΄. Οὕτω δὲ καὶ παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλλ: ΚΔ΄. γεραίρεται:

„ Εὔρυτος ἐκ πατέρων μεγάλαις ἀφνειὸς ἀρούραις.

Καὶ ὁ τοῦ Αὐγέου δὲ σύμπας πλοῦτος, ἐκ τῆς τῶν ἀγρῶν συνεστὼς ἦν κληρουχίας, καὶ μάλιστα τῶν βοῶν, ὥσπερ εἴρηται:

„ . . . . . . Πολὺς καὶ ἀθέσφατος ὄλβος.

Παραπλησίως καὶ παρὰ Πινδάρῳ (Πυθ: Ὠδ: Δ΄.) ὁ Σαλμονέως τοῦ Ἄνακτος ὄλβος ἅπας, ἐν ἀγέλαις βοῶν, καὶ ἐν ἀγροῖς ὑφεστὼς ὑπῆρχεν, ὃν, εἰς κλήρου μέρος, παρὰ τοῦ Ἰάσωνος λαγχάνει Πηλεὺς, πλοῦτον πιαίνων. Καὶ Ἡρόδοτος δὲ (ἐν τῇ Οὐρανίᾳ) τὴν τοῦ Μακεδόνων Ἄνακτος περιουσίαν ἐν διαφόροις ποιμνίοις ἔθετο συνεστῶσαν. Οὕτω καὶ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ. Ι΄. ς. 564.)

Volſcens. . . . . . . . . . . ditiſſimus agri,
Qui fuit Auſonidum, et tacitis regnabat Amyclis.

„ ( Βόλσκων. . . . . . . ἀφνεὸς ἀγροῖς
„ Αὐσονίδων κρατέων τ᾽ ἐνὶ σιγηρῇσιν Ἀμύκλαις.

Ὅθεν ὁ Πλίνιος καὶ Locupletem τὸν πλουτοῦντα καλεῖσθαι θέλει: οἷον *loci*, id eſt agri *plenum*: (Χωρόπλεων ὡς φάναι, χωρίων, τουτέστι, τῶν κατὰ τοὺς ἀγροὺς, ἔμπλεων.) Καὶ *Pecunia* δὲ τοῖς Λατίνοις τὰ χρήματα, ἐντεῦθεν: ὅτι in pecore pecunia τότε ὑφίστατο, φησὶν Οὐάῤῥων· (ἐν τοῖς περὶ τῆς τῶν ἀγ-„ρῶν ἐπιμελ. Κεφ. Δ΄.) Οἷον εἰπεῖν προβατεία, ὅτι ἐν „προβάτοις τὸ τηνικαῦτα ἡ χρηματία. (Εἴποι δ᾽ ἂν καὶ „Ἕλλην ἐπὶ τῆς ἰδίας φωνῆς ἐτυμολογήσας, ὅτι καὶ τὸ „Νόμισμα ἄρα Ἕλλησι οὕτω κέκληται, παρὰ τὴν νομὴν „τὴν τῶν βοσκημάτων.) Τέως δὲ καὶ Πλούταρχος (ἐν προβλήμ. „ΜΑ΄.) ὡς εὐποροῦντες εἰσὶν, οἱ ἀπὸ τῶν θρεμμάτων μά-„λιστα, καὶ τὴν περιουσίαν ἀπὸ τούτων ἔχοντες.

Ἄλλως τε δὲ περὶ τὴν Γεωργίαν, καὶ ἄνδρες ἔτι τῶν περιφανεστέρων τὴν παρ᾽ ἑαυτῶν ἐργασίαν προσάπτειν, οὔτοι σφίσιν ἡγοῦντο ἀνάξιον. Οἷον τὸν Λαέρτην ἰδεῖν ἐστὶν παρ᾽ Ὁμήρῳ (Ὀδυσ: Ω΄. ς. 224. κξ.) καὶ τὸν Αὐγείαν παρὰ τῷ Θεοκρίτῳ. Καὶ βασιλευόντων δὲ γόνοι, τὰ πατρῷα ποίμνια ἐπὶ νομὴν ἄγειν ἐπιμελὲς εἶχον, ὡς περὶ τῶν ἑπτὰ υἱῶν Ἠετίωνος τοῦ Θηβῶν ἀνάσσοντος Ὅμηρος μαρτυρεῖ· (Ἰλ: Ζ΄. ς. 424.) τὸ δ᾽ αὐτὸ δρῶντας εἴσῃ, καὶ Ἶσον τε καὶ Ἄντιφον τοὺς Πριάμου, (Ἰλ: Λ΄. ς. 106.) καὶ Ἀγχίσην, (Ἰλ. Ε΄. ς. 313.) καὶ Αἰνείαν, (Ἰλ. Υ΄. ς. 91.) καὶ ἄλλους. Τὸ δὲ, καὶ διὰ πάσης τοῦτο τῆς πρὸς ἥλιον ἀνίσχοντα οἰκουμένης πάλαι κρατῆσαι, ἐμφανές ἐστι καὶ ἐκ τῆς Ἱστορίας τῆς Ἱερᾶς· ἀπὸ γὰρ τοῦ ἀγροῦ τοὺς ἐπὶ τὸν βασίλειον κληθέντας θρόνον οὐχ᾽ ἅπαξ ὁρῶμεν, καὶ οὐδὲ μετὰ τοῦτον, πάντῃ ἐκεῖνον ἐγκαταλιπόντας, ὡς ἐπὶ τοῦ Σαοὺλ δῆλον· ὃς καὶ μετὰ τὸ χρισθῆναι εἰς βασιλέα ὑπὸ Σαμουὴλ, καὶ παρὰ τοῦ λαοῦ ἀνακηρυχθῆναι, ἰδοὺ ἤρχετο μετὰ τὸ πρωῒ ἐξ ἀγροῦ. (Α΄. Βασιλ. Κεφ. ΙΑ΄. ἐδαφ. 5.) Καὶ παρὰ τοῖς Ῥωμαίοις

δὲ, ἄνδρες ἀνεφάνησαν. Ἡγεμονικοὶ, οἱ περὶ τὴν Γεωργίαν ἐνασχολέμενοι, καθάπερ αὐτὰ τῶν περιφανεςάτων οἴκων ἐπιμαρτυρεῖ τὰ ἐπώνυμα: οἷον τῶν Φαβίων, τῶν Λεντύλων, τῶν Βιτελλίων τῶν Porcorum, τῶν Suilliorum, τῶν Bubulcorum: (ὧν ἀπὸ τῶν Κυάμων, καὶ τῶν Φακῶν, καὶ τῶν Μόσχων, καὶ τῶν Χοίρων, καὶ τῶν Συῶν, καὶ τῶν Βεκόλων ἡ παρωνυμία.) καὶ τῶν ὁμοίων, ὡς τῦτο παρεσημειώσατο Πλέταρχος.

## ΚΕΦΑΛ. Β'.

## Περὶ τῆς Κυνηγετικῆς.

Ἐπὶ τὰς ἀγροικικὰς ἐπιχειρήσεις ἐπαναφερομένη ἐςὶν ἡ κυνηγεσία, ἣν κομιδῇ μετήεσαν συνεχῶς ἀσκῦντες οἱ ἐν ἀγρῷ τὰ πλεῖςα καταβιῦντες, καὶ περὶ νομὰς ποιμνίων ἐνασχολέμενοι, ὡς ἐν Ἰλ: (Α'. ς. 106.) καὶ ἀλλαχῦ φαίνεται: ὃ καὶ τῷ Ἀγχίσε παραδείγματι ἐπιβεβαιεῖται: περὶ ὗ (ἐν τῷ εἰς τὴν Ἀφροδίτ: ὕμνῳ ς. 160.) εἴρηται, ὅτι ἐφ' ἧς ἐπευνάζετο κλίνης,

„ Ἄρκτων δέρματ' ἔκειτο, βαρυφθόγγων τε λεόντων,
„ Τὺς αὐτὸς κατέπεφνεν ἐν ὔρεσιν ὑψηλοῖσιν.

Κυνηγετεῖν δ' ἐπεβάλλοντο, καὶ τῶν καρπῶν ἕνεκεν, ὓς τὰ θηρία πολλάκις πλήθει τε καὶ μεγέθει τηνικαῦτα ἐπικρατέςερα κατεπόρθεν: οἷος ὁ Κάπρος ἐκεῖνος ὁ Καλυδώνιος, (Ἰλ: Ι'. ς. 455. κξ:) ὅπερ ἐπὶ τῇ ἀναιρέσει πολλοὶ συνέδραμον,

„Κρήτων τε μεσηγὺ, καὶ Αἰτωλῶν μεγαθύμων.

Καὶ ὁ Λέων δὲ ὁ Νεμέας, ὃν Ἡρακλῆς ἀνεῖλε (παρὰ Θεοκρίτῳ ἐν Εἰδυλλ: ΚΕ΄.) καὶ ὁ ἐν Κρησὶ Ταῦρος ὁμοίως, ὃν ἀπέκτεινε Θησεὺς· „(παρὰ τῷ Παυσανίᾳ ἐν τοῖς Ἀττικοῖς.) Πάλαι δὲ ἄρα τὰ θηρία „φοβερώτερα ἦν τοῖς ἀνθρώποις, ὡς, ὅ τ' ἐν Νεμέᾳ Λέων, „καὶ ὁ Παρνάσιος· καὶ Δράκοντες τῆς Ἑλλάδος πολλαχοῦ, „καὶ ὗς περί τε Καλυδόνα, καὶ Ἐρύμανθον, καὶ ὁ τῆς Κο„ρινθίας Κρομυῶνος.

Ὅπλων δ' ἐπεφέροντο εἴδη παντοῖα ἐπὶ κυνηγεσίαν ἐξιόντες. Πελέκει μὲν ἀπεχρῶντο οἱ νεανίαι, ἄγριον βοῦν πατάξοντες. (Ἰλ. Ρ΄. ϛ. 520.) Καὶ τόξον δ' ἀνελάμβανον, καὶ δοράτια, Ὀδυσσεύς τε καὶ οἱ περὶ αὐτὸν ἑταῖροι· (Ὀδυσ: Ι΄. ϛ. 156.) οἷς ἂν τὰς αἶγας διελαύνωσι τὰς ὀρεσκώους. Ὁ δ' αὐτὸς εἰς κυνηγέσιον προϊὼν μετὰ τῶν υἱῶν Αὐτολύκου, (Ὀδυσ: Τ΄. ϛ. 438.) ἀμπαιπαλὼν ἴθυνεν ἔγχος κατὰ συὸς μεγάλου, ὑφ' οὗ καὶ ἀντιτέτρωται: τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ ὁ τοῦ Κροίσου βέβληται· ὡς Ἡρόδοτος (ἐν τῇ Κλειοῖ) διέξεισιν. Ἡρακλῆς δὲ καὶ λέοντα κατετόξευσε, καὶ τῷ ἐλαίνῳ ῥοπάλῳ ἀπέλιπεν ἄπνουν. Ἀλλὰ καὶ παρὰ ποιμένων βέλη ἐπὶ λέοντα γέγραπται ἀφεθῆναι, (Ἰλ: Λ΄. ϛ. 553. καὶ Ἰλ: Ρ΄. ϛ. 665.) προσιθεμένων τοῖς βέλεσι καὶ λαμπάδων πυρὸς, ὃ τὸ θηρίον πάνυ φοβεῖται, καθάπερ σὺν Ὁμήρῳ καὶ Ἀριστοτέλης ἐπιμαρτυρεῖ, ἐν τῷ Θ΄. Βιβλ. τῆς περὶ ζώων ἱστορίας, Κεφαλ: ΜΔ΄: καὶ Αἰλιανὸς ἐν Βιβλ: ΙΒ΄. Κεφ: Η΄: ὁ καὶ τὸ ὑπερβάλλον τῆς κατὰ τὴν λέοντος ἕξιν θερμότητος, λόγον ἐπάγων τοῦ φόβου· καθάπερ δὴ καὶ Ὀππιανὸς (ἐν Βιβλ: ΙΔ:) ὃς καὶ τὰ λοιπὰ τῶν πρὸς τὴν Κυνηγετικὴν ἀνηκόντων γλαφυρῶς διεξέρχεται.

Καὶ ἡ τῶν κυνῶν δὲ ὑπούργησις πολλή τις ἦν ἐπὶ τῶν Κυνηγεσίων τοῖς Ἕλλησιν, ἐξ ὧν καὶ τοῦ ὀνόματος μετέχεν ἡ ἐπιχείρησις. Εἰς τοῦτο δὲ διαφερόντως προενεγκεῖν εἴρηται ὁ Ἄργος, ὁ τοῦ Ὀδυσσέως Κύων. (Ὀδ: Ρ΄. ϛ. 316.)

„ Οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσι ὕλης
„ Κνώδαλον ὅττι ἴδοιτο, καὶ ἴχνεσι γὰρ περιήδη.

Α᾽τὰρ (κἀν τῷ Τ΄. τῆς Ο᾽δυσ: ς. 436.) κυνηγετοῦντι τῷ Ο᾽δυσσεῖ:

„ Ἴχνη ἐρευνῶντες κύνες ἤϊσαν . . . . . Ο῾ δὲ:
„ Ἤϊεν ἄγχι κυνῶν κραδάων δολιχόσκιον ἔγχος.

Α᾽λλως τε δὲ τοῖς πάλαι Α᾽ρχικοῖς ἀνδράσι, περιῆσαν καὶ Κύνες οἱ καλούμενοι τραπεζῆες, οὓς πρὸς τρυφὴν διέτρεφον (Ο᾽δυσ: Ρ΄. ς. 310.)

„ . . . . . . . . Α᾽γλαΐης δ᾽ ἕνεκεν κομέουσιν ἄνακτες.

Τοιοῦτοι τῷ Πατρόκλῳ ὑπῆρχον ἐννέα, ὧν δύο Α᾽χιλλεὺς ἐπὶ τῆς πυρᾶς ἐπέῤῥιψεν. (Ι᾽λ: Ψ΄. ς. 173.)

Καὶ περὶ τὴν τῶν πτηνῶν δὲ θήραν ἐνησχολῆσθαι τοὺς πάλαι Ἥρωας, διατείνεται Α᾽θήναιος, (Βιβλ: Α΄:) Πελείαις αὐτοὺς λέγων, καὶ Κίχλαις, θήρετρά τε καὶ παγίδας ὑποτείνειν. Καὶ περὶ τὴν ὀρνεοθηρευτικὴν δ᾽ ἐπασκεῖσθαι, περιστερᾶς ἐπὶ νηὸς ἱστοῦ, μηρίνθῳ ἐπαναρτωμένης, ἣν δήπου πόῤῥωθεν βέλει, ὅπερ ἂν ἀφεῖεν ἐκ τόξου, τιτύσκοιντο: ὡς ἐν τοῖς, ἐπὶ ταῖς κηδείαις τελεῖσθαι εἰωθόσιν ἀγωνίσμασι, δῆλον γίγνεται. (Ι᾽λ. Ψ΄. ς. 878.) Καὶ περὶ τὴν τῶν ἰχθύων δὲ ἄγραν τοὺς αὐτοὺς σπουδάζειν, ὁ αὐτὸς Α᾽θήναιος εἰσβάλλει ἐκ τῶν Ο᾽δυσσέως ἑταίρων, (Ο᾽δυσ: Μ΄. ς. 330.)

„ Οἵ ῥ᾽ ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ,
„ Ι᾽χθῦς, ὄρνιθάς τε φίλας θ᾽ ὅτι χεῖρας ἵκοιτο,
„ Γναμπτοῖς ἀγκίστροισι . . . . . . . . .

Καὶ τὸ Σαρπηδόνος ἔτι ἀναφέρων ἐκεῖνο (Ἰλ: Ε΄. ς. 487.) τῦ τὴν Τροίας κινδυνέυυσαν ἅλωσιν ὑπὸ τῶν πολεμίων, τῇ τῶν ἰχθύων ἐπαγρέυσει παρεξεικάζοντος:

„ Μήπως, ὡς ἀψῖσι λίνυ (πυ) ἁλόντε πανάγρυ
„ Ἀνδράσι δυσμενέεσσιν ἕλωρ, καὶ κῦρμα γένηαθε.

Τῦθ᾽ ὅπερ οἱ μὲν, ὡς περὶ πτηνῶν λεχθὲν ἐξεδέξαντο, οἱ δ᾽ ὡς περὶ τῶν θηρίων.

Ἀλλὰ καὶ τὴν τῶν Ὀστρέων ἄγραν Ὅμηρος σαφῶς ἐκδιδάσκει, (Ἰλ: Π΄. ς. 747.) ἐν οἷς Κεβριόνην, τὸν ἀπὸ τῦ δίφρυ, ὃν ἡνιόχει τῷ Ἥκτορι ἐκπεσόντα, παραβάλλει ἀρνευτῆρι: (τυτέστι κολυμβητῇ) τῷ ἀπὸ τῆς νηὸς εἰς τὴν θάλασσαν ἐγκατακυβιστῶντι: ὃς δή:

„ Πολλὺς ἂν κορέσειε . . . . . . τήθεα διφῶν
„ Νηὸς ἀποθρώσκων: . . . . . . . . . . . . . .

Ἀλλὰ γὰρ οἱ πάλαι Ἥρωες μᾶλλον ἔχαιρον τῇ πεζικῇ τῶν θηρίων κυνηγεσίᾳ, ἣν καὶ τοῖς γενναίοις ἀνδράσιν, ὡς μᾶλλον ἀξίας ἐπιπροσηκυσαν, ἐν ἐπαίνῳ τίθησι Πλάτων. (ἐν Ζ΄. περὶ τῶν Νόμων:) „Μόνη δὲ πᾶσι λοιπὴ καὶ ἀρίστη ἡ τῶν τετραπόδων, ἵπ„ποις, καὶ κυσὶ, καὶ τοῖς ἑαυτῶν θήρα σώμασιν· ὧν ἁπάν„των κρατῦσι δρόμοις, καὶ πληγαῖς, καὶ βολαῖς αὐτόχει„ρες θηρέυοντες, ὅσοις ἀνδρείας τῆς θείας ἐπιμελές. Καὶ περὶ ταύτην ὖν μάλιστα οἱ Ἥρωες ἐκεῖνοι ἐκ παίδων διεγυμνάζοντο, ὡς δῆλον τῷ Ὀδυσσέως παραδείγματι: (Ὀδύσ. Τ΄. ς. 465.) καὶ τῷ Ἀχιλλέως παρὰ Πινδάρῳ. (Νέμε. Γ΄.) Ὅπυ παῖς ἔτι ὢν ἐξαίτης, λέοντάς τε καὶ κάπρυς ἐπ᾽ ἀναιρέσει ἐλάυνων τε καὶ τοξέυων, τὰ τύτων σώματα Χείρωνι τῷ καθηγεμόνι προσῆγε· καὶ μὴν ἔτι καὶ ἐλάφυς κυνῶν τε ἄνευ καὶ ἑρκέων ἀλίακων καὶ αναιρῶν, (ποσσὶ γὰρ κράτεσκεν.) Οὕτω δὴ καὶ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ: Ζ΄. ς. 746) Οἱ τὰς ὀρεινὰς ἔχοντες Νύρσας παλαιοὶ Λατῖνοι, τῇ θηρευτικῇ ἔκδοτοι λίαν γενέσθαι φαίνονται:

Horrida praecipue . . . . . gens, assueta que multo
Venatu nemorum. . . . . . . . . . . . .

„ (Κάρτ᾽ ἄγριον γένος, ὡς μάλα δὴ ἐθάδων περ ἐόντων
„ Ἀνδρῶν ἐν λόχμαις θηρητήρων. . . . . . . . . . .

Τὸ δ᾽ ἔθος τοῦτο καὶ τοῖς Περσῶν Αἰζηοῖς πάτριον εἶναι διδάσκει Ξενοφῶν, οἱονεί τινα τῶν ἐν πολέμοις ἀγώνων προπαιδείαν τε καὶ προεξάσκησιν. Ταύτην δὲ μάλιστα τοῖς Ἡρωϊκοῖς τὴν αἰτίαν, τῆς περὶ τὴν Κυνηγετικὴν σπουδῆς, ἀποδίδωσι καὶ Ἀθήναιος (ἐν τῷ Α΄. τῶν Βιβλ.) „ λέγων ὅτι: Ἐπὶ Κυνηγέσια ἐξίασιν οἱ νέοι πρὸς μελέτην „ τῶν πολεμικῶν κινδύνων. Ἀμέλει τοι γὰρ ἡ Κυνηγετικὴ, οἷον τι μέρος ἐστὶ καὶ ἀπείκασμα τῆς πολεμικῆς, ὡς καὶ Ἀριστείδης φησὶν, „ ἐν τῷ λόγῳ τῷ εἰς τὴν Ἀθηνᾶν: Πολεμικῆς μόριον τέχνης ἐστὶ μᾶλλον δὲ εἰκών. Διὸ καὶ Πλάτων τοὺς πολέμους θήρας ἀνθρώπων, κομψῶς ὠνόμαζεν.

## ΚΕΦΑΛ. Γ΄.

## Περὶ γυναικείων ἔργων καὶ ἐνασχολήσεων.

Τοῖς εἰρημένοις μάλιστα οἱ ἄνδρες ἐτύγχανον ἀσχολούμενοι, ὥσπερ αἱ γυναῖκες περὶ τὴν ἐπιμέλειαν τῶν οἴκοι ἀνεστρέφοντο, τῷ ἰδίῳ ἑκάστη ἔργῳ προσέχουσαι. Ἔργον δὲ κοινὸν ἦν ἁπάσαις τὸ τῆς ταλασιουργίας, καὶ τῆς ὑφαντικῆς. Οὕτω γὰρ Ἀνδρομάχην Ἕκτωρ τοῦ πολέμου ἀποπειρωμένην ἀποτρέψαι, οἴκαδε κελεύει ὑποχωρεῖν, καὶ τῶν ἰδίων ἐπι-

μελεῖσθαι, ἱςῦ τε ἠδὲ ἠλακάτης: (Ἰλ: Ζ'. ς. 491.) καθὰ καὶ Τηλέμαχος τὴν μητέρα τὴν ἑαυτῦ Πηνελόπην: (Ὀδυσ: Α'. ς. 357.)

Καὶ ὅσα μὲν ἀνήκει φάναι περὶ τῆς Ἠλακάτης, ταύτην εἶχεν Ἑλένη χρυσῷ τε καὶ ἀργύρῳ περίκοσμον, ἐφ' ἧς ἔριον ἰοειδὲς εἷλκεν· (Ὀδυσ: Δ'. ς. 131. κξ.) οἷον, (ὡς ἐν ἐπαίνῳ λόγῳ προςίθησι Θεόκριτος, ἐν Εἰδυλ: ΙΗ'.) ὅτις τῶν ἡλίκων παιδισκῶν νήθειν ᾔδει παραπλησίως. Οὕτω καὶ Ἀρήτη ἡ Ἄνασσα περὶ τὴν ἐσχάραν μετὰ τῶν ἀμφιπόλων καθῆςο, (Ὀδυσ: Ζ'. ς'. 53. καὶ 306.) Ἠλάκατα ςρωφῶσ' ἁλιπόρφυρα. Καὶ Πηνελόπη δὲ, παρὰ ςαθμὸν μεγάροιο ἷζεν: (Ὀδυσ: Ρ'. ς. 96.) κλισμῷ κεκλιμένη, λεπτ' ἠλάκατα ςρωφῶσα. Καὶ Ὀδυσσεὺς δὲ ταῖς ἀμφιπόλοις ἐπιτάσσει: (Ὀδυσ: Σ'. ς. 313. 314.)

„Ἔρχεσθε πρὸς δῶμαθ' ἵν' αἰδοίη βασίλεια·
„Τῇ δὲ παρ' ἠλάκατα ςροφαλίζετε . . . . .

Οὕτω καὶ Μόσχος (ἐν Εἰδυλ: Β'.) τὴν Εὐρώπης τῆς βασιλόπαιδος ἠλακάτην μυρίοις ἐμβλήμασι κατηγλάϊσε. Καὶ παρὰ τῷ Ξενοφῶντι δὲ, (Ἑλληνικ: Ε'.) ἡ Λεοντιάδος τῦ Θηβαίων Ἄρχοντος ἀκοίτη, ἐριυργῦσα περιεκάθητο.

Ἀλλὰ καὶ ἱςυργῦσα Ἑλένη, (Ἰλ: Γ'. ς. 125.)

„ . . . . . . ἱςὸν ὕφαινε
„ Δίπλακα, μαρμαρέην . . . . . . .

Ἔνθα πολλὺς τῶν Ἀχαιῶν τε καὶ Τρώων ἐνέπασσεν ἀέθλυς. Ἡ δ' Ἀνδρομάχη, (Ἰλ: Χ'. ς. 441.) ἐν δὲ θρόνα ποικίλ' ἔπασσεν· ἣ καὶ χειρὶ ἰδίᾳ ἐξειργασμένας ἐσθῆτας ἐδωρήσατο τῷ Αἰνείᾳ,

ὡς παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ: Γ':) παρίσαται. Ὡσαύτως ϗ Κίρκη, ϗ Καλυψώ, αἱ Νύμφαι περὶ τὰ τοιάδε ἐτύγχανον ἀσχολέμεναι ἔργα: (Ὀδυσσ: Ε'. ς. 264. καὶ Κ'. ς. 543.) Ἐπὶ πᾶσιν ὁ τῆς Πηνελόπης ἱςὸς ἐδενὶ ἄδηλος, ὃν ἐπὶ τριετίας ἐξύφαινέ τε ϗ ἀπεξύφαινεν. Τῷ γε μὴν ἱςῷ τέτῳ τῆς Πηνελόπης, παραπλήσιος παρὰ Πλετάρχῳ καθισόρηται (εἰς Βίον Ῥωμύλε) καὶ ὁ τῶν Ταρχητίε θυγατέρων τε Ἀλβανῶν Ἄνακτος. Ἀλλὰ ὑπὸ Πηνελόπης παρὰ τὸν ῥηθέντα, παρεσκεύαςο ϗ ἱςὸς ἄλλος, εἰς περιβολὴν κηδεύσιμον Λαέρτῃ τῷ πενθερῷ ὑπεργήσων τεθνηξομένῳ· ὥσπερ ἐν, ϗ ὁ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ: Θ'.) ὑπὸ τῆς μητρὸς Εὐρυάλῳ τῷ υἱεῖ προεξύφαςο.

Τοιγαρὲν τὰ τῶν ἀνδρῶν ἱμάτια ὑπὸ τῶν γυναικῶν ὑφαίνοντο ϗ ἐράπτοντο, οἷα δὴ τὰ τῷ Ἕκτορι ἐν τοῖς μεγάροις ἦν ἀποκείμενα: (Ἰλ: Χ'. ς. 511.)

„ Λεπτά τε ϗ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.

Καὶ αἱ (ἐν τῇ Οὐϊργιλ: Αἰνειάδι Βιβλ: Ζ'. ς. 248.)

Iliadum labor veſtes . . . . . . Ἐσθῆτες Ἰλιάδων ἔργα.

Ἀλλὰ καὶ ἡ Διδὼ χλαῖναν τῷ Αἰνείᾳ ἐδωρήσατο, τῇ ἰδίᾳ ἑαυτῆς χειρὶ ἐπεξειργασμένην: (ἐν τῷ Δ'. τῆς Αἰνειάδος.) ὥσπερ ϗ (παρ Ἡροδ: „ἐν τῇ Καλλιόπ:) Ἄμαςρις ἡ Ξέρξε ἄλοχος, ἐξυφήνασα φᾶ- „ρος μέγα τε ϗ ποικίλον, ϗ θέης ἄξιον διδοῖ Ξέρξῃ.

Ἀλλ' ἡ τῶν Περσῶν Ἄνασσα Σισύγαμβις, αἰχμάλωτος γενομένη, ὑπ' ἀνίας εἰς δάκρυα διεχύθη, ἔρια ταύτῃ ϗ πορφύραν: διαπεμφθῆναι „Ἀλεξάνδρε κελεύσαντος: πρὸς ἣν αὐτὸς: ὦ Μῆτερ (ἔφη) τὴν δ' ἥν „με καθορᾷς φέροντα τὴν ἐσθῆτα, αἱ ἀδελφαί μοι παρέ- „χον, ἐ μόνον δῶρον, ἀλλὰ ϗ ἔργον αὐτῶν. Οὕτω δὴ ϗ Αὔγεςος τάς τε θυγατέρας καὶ τὰς ἀδελφιδᾶς αὐτε ἐκέλευσεν εἰς ταλασίαν ἐθίζεσθαι, ὡς Σετώνιος γράφει, προθεὶς: Illum non-

alia veste, quam domestica usum: (μὴ ἄλλῃ ἐσθῆτι, ἢ οἰκιακῇ γε προσχρήσασθαι) Αὐτὸ τοῦτο καὶ Δομιτιανῷ τῷ Αὐτοκράτορ ἐπήυχετο ἡ Ῥώμη παρὰ Στατίῳ, ἐν τῷ Δ'. sylvarum:

Et properata tuae manibus praetexta Minervae.

„(Χλαμύς θ' ἥν σοι σπεῦσ', ἧς χερσὶν, ὕφηναι Ἀθήνη.)

Ἀρχαῖον τόδ' ἦν παρὰ Ῥωμαίοις τὸ ἔθος: ἐξ οὗ κἀν ταῖς λοιπαῖς τῶν γαμηλίων διατετυπωμέναις τάξεσιν, ἠλακάτην σὺν ἀτράκτῳ καὶ ἐρίοις, αἱ γαμεταὶ τοῖς συζύγοις προσῆγον, εἰς τὰ τούτων δώματα εἰσερχόμεναι· καὶ ταλάσια δὲ τὴν θύραν ἐπέστεφον, ὡς Πλούταρχός τε καὶ Πλίνιος παρέδωκαν ἱστορήσαντες.

Καὶ ἀρτοποιεῖν δ' εἰώθεσαν αἱ γυναῖκες, καὶ τ' ἄλλα παρασκευάζειν, τὰ εἰς σίτησιν ἥκοντα. Οὕτως ἐπὶ τῶν Ἀλκινόου μεγάρων, πεντήκοντα ὑπῆρχον ἀμφίπολοι, ἐξ ὧν τινὲς μὲν ἦσαν καὶ ἀλετρίδες, τινὲς δὲ καὶ ὑφάντιδες. (Ὀδυσ: Η'. ς 104.) Ἐν δὲ δὴ τοῖς Ὀδυσσέως δώμασιν αἱ ἀλετρίδες αἱ νυκτὸς ἀλήθουσαι, δώδεκα ἠριθμοῦντο: (Ὀδυσ: Υ'. ς. 101.) Καὶ Θεόφραστος δὲ, (ἐν τῷ περὶ Ἀγροικ.) ὁμοίως θεράπαιναν ἀλετρίδα εἰσάγει, ἢ καὶ ἔργον προστίθησιν. ἀνὴρ „ἀπειρόκαλος, κατ' ἀλέσας μετ' αὐτῆς ταῖς ἔνδον πᾶσι, „καὶ αὐτὰ τὰ ἐπιτήδεια. Οὕτω τοι καὶ Σιμωνίδης λέγει περὶ γυ„ναικός· ἡ δ' οὔλι' ἔργα, καὶ δύην περιτρέπει, κ' οὔτ' ἂν μυ„λης ψαύσειεν, οὔτε κόσκινον ἄρειεν. Καὶ εἰς τοῦτο δὴ φέρει, „τὸ ἐν Εὐαγγελίῳ (Ματθ: ΚΔ'.) Δύο ἀλήθουσαι ἐν τῷ μύ„λωνι· μία παραλαμβάνεται, καὶ μία ἀφίεται. Ἐνθεντοι Πολυδεύκης (ἐν τῷ Γ'. Βιβλ: Κεφ: Β'.) ἐπὶ τῶν τελουμένων, γάμων παρ' Ἕλλησι παρατετηρῆσθαι γράφει, καθ' ὃ καὶ ὕστερον ἐξε-

δίδȣν πρὸ τȣ̃ θαλάμȣ εἰωθότα τῇ νύμφῃ προσφέρεσθαι, παιδίσκης ἅμα δὴ καὶ κόσκινον φερέσης, σημεῖα ὡς εἰκὸς αὐτȣργίας. Καὶ ἐπὶ τῆς στρατιᾶς δὲ τῆς τȣ̃ Ξέρξȣ, γυναῖκες λέγονται γενέσθαι σιτοποιέȣσαι· (παρ' Ἡροδότῳ ἐν τῇ Πολυμν:) ὥσπερ καὶ ὑπὸ τȣ̃ Θȣκυδίδȣ (ἐν τῷ Β΄. Βιβλ:) ἐν Πλαταιεῦσι, δέκα ἐπὶ ταῖς ἑκατὸν γυναῖκες σιτοποιοὶ ἀριθμȣ̃νται.

Ἀλλὰ καὶ Ἡρόδοτος αὖ (ἐν τῇ Οὐρανίᾳ) διέξεισιν: ὅτι ἡ τῶν Μακεδόνων Ἄνασσα, καὶ αὐτοῖς τοῖς βασιλικοῖς ποιμέσι σιτοποιȣ̃„σα ἐτύγχανεν: Ἡ δὲ γυνὴ τȣ̃ Βασιλέως αὐτὴ τὰ σι„τία σφὶ ἔπεσσεν. Ὅθεν τῇ γυναικὶ τὸ σύνολον δέδοται, καὶ ἡ ταμιȣχία, ὥσπερ ἐν τοῖς Ὀδυσσέως μεγάροις τῇ Εὐρυκλείᾳ:

„Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρȣσα·
„Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
(Ὀδ: Α΄. ς. 140.)

Τὸ δ' αὐτὸ κρατεῖν ἔθος καὶ παρ' Ἀθηναίοις, Ἀριστοφάνης (ἐν ἐκκλησιαζ:) φησὶ:

„Ταῖς γὰρ γυναιξὶ φημὶ χρῆναι τὴν πόλιν
„Ὑμᾶς παραδȣ̃ναι· καὶ γὰρ ἐν ταῖς οἰκίαις
„Ταύταις ἐπιτρόποις καὶ ταμίαις χρώμεθα.

Ἀλλὰ καὶ ταῖς γυναιξὶν ἐκ τῆς κρήνης ἦν σύνηθες ὑδροφορεῖν: τȣ̃το δὲ τὰς ἀμφιπόλȣς κελεύει ποιεῖν ἡ Εὐρύκλεια. (Ὀδυσ: Υ΄. ς. 154.)

„ . . . . . . . . . . Ταὶ δὲ μεθ' ὕδωρ
„Ἔρχεσθε κρήνην δε, καὶ οἴσετε θᾶσσον ἰȣ̃σαι.

Θ θ

ΔΗΜΟΚΡ... ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

Καὶ αὐτ: ἐν ϛ. 158.)

„Αἱ μὲν ἐείκοσι βῆσαν ἐπὶ κρήνην μελάνυδρον·
„Αἱ δ' αὐτȣ̃ κατὰ δώματ' ἐπισταμένως πονέοντο.

Καὶ Ἕκτωρ δὲ περὶ Ἀνδρομάχῃ τῇ ἀλόχῳ ἐδεδίει, μήποτε αὐτȣ̃ τελευτήσαντος, αἰχμάλωτος γενομένη, ὑδροφορεῖν ἀναγκάζοιτο, ἢ ἱςὸν ἀλλότριον ἐξυφαίνειν, ἐν Ἄργει. (Ἰλ: Ζ'. ϛ. 457.)

„Καί κεν ὕδωρ φορέοις Μεσσηΐδος, ἢ Ὑπερείης,
„Πόλλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη.

Οὕτω Καμβύσης τὴν Ψαμμηνίτȣ τȣ̃ Αἰγυπτίων Ἄνακτος θυγατέρα, ὑπὸ δȣλικῇ ἐσθῆτι ὑδροφορήσȣσαν ἱςόρηται (παρ' Ἡροδ: ἐν Θα-„λείᾳ) ἐξαποςεῖλαι ἐπὶ ὕδωρ, ἔχȣσαν ὑδρήϊον, πικρὸν „κλαίȣσαν. Ἀλλὰ γὰρ αὐτὸς Ἡρόδοτος (ἐν Ἐρατοῖ) τόδε τὸ ἔθος, καὶ τοῖς εὖ γεγονόσιν ἔτι κορασίοις ἀρχαιότατον εἶναι παρ' Ἀθηναίοις διδάσκει. Καὶ Ὅμηρος δὲ (Ὀδυσ: Κ'. ϛ. 105.) τὴν τȣ̃ Λαιςρυγόνων βασιλεύοντος θυγατέρα ὑδρεύȣσαν ἀπὸ τῆς κρήνης παρίςησιν.

## ΚΕΦΑΛ. Δ'.

## Περὶ τῆς Μȣσικῆς.

Καὶ ταῦτα μὲν αὐτοῖς ἦν ἔργα τῶν ἀναγκαίων· ἀλλ' ἦν ἄρα καὶ τὰ καθ' ἡδονὴν, ἢ πρὸς τρυφὴν ἐγχειρȣ́μενα, ἐν οἷς ἦν τὰ πρῶτα φέρον, το τῆς ᾠδῆς, καὶ τὸ τῆς ὀρχήσεως. Ἡ μὲν ȣ̃ν ᾠδὴ, ἤτοι διὰ τῆς φωνῆς ἐτελεῖτο, ἢ διὰ τῶν ὀργάνων, ἃ μȣσικὰ λέγεται. Τȣ́των δὲ, τὰ

μὲν εἰσὶ Φυσητικὰ, ἅττα ἐνδιαπνεῖται: οἷαπερ αὐλὸς, σύριγξ, κάλαμος· (Ἰλ. Κ'. ς. 13.) τὰ δὲ ἐντατικὰ, τὰ διὰ χορδῶν ἐντεινόμενα· οἷα Κιθάρα ἢ κίθαρις, Φόρμιγξ, λύρα, ἣν μίαν τε εἶναι καὶ τὴν αὐτὴν διδάσκει ὁ Πολυδεύκης· ὃ καὶ αὐτὸς Ὅμηρος ἀριδήλως ἐμφαίνει, ἐπειδὰν φράζει, Φόρμιγγι κιθαρίζειν· (Ἰλ: Σ'. ς. 569.) καὶ λύρῃ κιθαρίζειν: ὡς ἐν τῷ εἰς τὸν Ἑρμῆν ὕμνῳ· (ς. 422.) Ἔνθα ταῖς φωναῖς ταῖς δε κέχρηται ἀδιαφόρως. Ὁ δὲ Εὐστάθιος γράφει, ὅτι κὴ χέλυς ἐκαλεῖτο πᾶσα κιθάρα.

Ἐντεινόμενα δ' ἦν τὰ τοιαῦτα ὄργανα ἐν ἑπτὰ χορδαῖς, αἱ τὰ πλεῖστα ἐξ ἐντοσθίων ἦσαν προβάτε: ὅθεν Ὅμηρος (Ὀδυσ: Φ' ς. 408.) ἀποκαλεῖ τὴν χορδὴν: Ἐϋστρεφὲς ἔντερον οἰός. Ἀλλὰ καὶ ἐκ λίνε προσέτι τὴν χορδὴν συστῆναι, οἴεται ὁ παλαιὸς Σχολιαστής, (Ἰλ: Σ'. ς. 570.) ἐν οἷς εἴρηται: λίνον δ' ὑπὸ καλὸν ἄειδε.

Τὰς ἓν χορδὰς ἑπτὰ εἶναι ἐν τῇ ὑπὸ τε Ἑρμε κατασκευασθείσῃ χελώνῃ διδάσκει Ὅμηρος (ἐν τῷ εἰς Ἑρμ. ὕμν: ς. 51.)

„ Ἑπτὰ δὲ συμφώνες οἰῶν ἐτανύσσατο χορδάς.

Ὅπερ Ὡράτιος ὅτως ἐξέφρασεν (ἐν τῷ Α'. Βιβλ: Ὠδ: Β'.)

Tuque teſtudo reſonare ſeptem
Callida nervis.

„ ( Σὺ δὲ χελώνη ἐξηχεῖν ἑπτὰ
„ Νεύροις εἰδυῖα.)

Διὸ Πίνδαρος (Πυθ. Β'.) Φόρμιγγα ἑπτάτυπον ὀνομάζει· καὶ (Νεμ: Ε'.) ἑπτάγλωσσον.

Ε᾽ψαλάσσοντο δ᾽ αἱ χορδαὶ πλήκτρῳ (ἐν Ὕμν: τῷ εἰς τὸν Ἑρμ: ς. 53.)

„ Πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος, ἡ δ᾽ ὑπὸ χειρὸς
„ Σμερδαλέον κονάβησε. . . . . . . . . .

Ταυτὶ συχνάκις ἐπαναλαμβάνεται παρὰ τῷ Λυρικῷ Πινδάρῳ, καὶ δὴ καὶ παρὰ τῷ Ἀνακρέοντι:

„Ἐλεφαντίνῳ δὲ πλήκτρῳ λιγυρὸν μέλος κροαίνων·

Ὡς καὶ παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ. ς΄. ς. 647.)

Et pectine pulsat eburno.

„ . . . . . Καὶ πλήκτρῳ δὲ κροαίνει, τῷ ἐξ ἐλέφαντος.

Ὅθεν Ἀριστοτέλης (ἐν Α΄. Πολιτικ.) Εἰ αἱ κερκίδες ἐκέρκι„ζον αὐταὶ, καὶ τὰ πλῆκτρα ἐκιθάριζεν. Τοσαύτη δ᾽ ἦν περὶ τοῦτο ἡ παρατήρησις, ὥστε οἱ Λακεδαιμόνιοι, ἐπιμαρτυροῦντος Πλου„τάρχου, ψάλτην ἐπιδημήσαντα ἐζημίωσαν, ὅτι δακτύλοις „κιθαρίζει. Τὸ δὲ τοιοῦτον πλῆκτρον, μὴ οὕτω λεπτὸν ὑπάρξαι, δῆλον ἐξ ὧν Αἰλιανὸς (ἐν Βιβλ: ΙΒ΄.) γράφει: ὅτι τῷ πλήκτρῳ τὸν Λῖνον Ἡρακλῆς διεχρήσατο, ὑφ᾽ οὗ τὴν Μουσικὴν ἐδιδάσκετο. Καὶ ἐξ ὧν Στρατόνικος (παρὰ τῷ Ἀθηναίῳ ἐν τῷ Η΄. Βιβλ.) φησὶν: ὅτι διαφέρει τὸ πλῆκτρον τοῦ σκήπτρου: Ἕτερον, ὦ Βασιλεῦ, σκῆπτρον, ἕτερον δὲ πλῆκτρον· ὡς εἴτις καὶ τουτωνὶ μέσον χωρείη ἐμφέρεια.

Συνῆπτον δὲ τῇ τῆς κιθάρας ἠχῇ τὴν ἐκ τῆς φωνῆς: ὡς Ἑρμῆς (ἐν τῷ εἰς αὐτὸν Ὕμνῳ. ς. 424.)

„ . . . . . Τάχα δὲ λιγέως κιθαρίζων
„ Γηρύετ᾽ ἀμβολάδην, ἐρατὴ δέ οἱ ἕσπετο φωνή.

Παραπλησίως (Ἰλ: Α΄. ς. 603.) τοῦ Ἀπόλλωνος τὴν φόρμιγγα πλήσσοντος, αἱ Μοῦσαι

„ . . . . . . Ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.

Καὶ τοῖς Ἀργοναύταις δ' Ὀρφεὺς :

„ . . . . . . Ἑλὼν Φόρμιγγα λιγεῖαν,
„ Ἐκ ςόματος μελίγηρυν ἱεὶς ἀπέπεμπεν ἀοιδήν.

Ἄειδον δὲ ᾄδοντες, διαφόρων πέρι, θείων τε δὴ πραγμάτων, καὶ ἀνθρωπίνων. Οὕτως Ἑρμῆς ἀνύμνει Θεοὺς ἀθανάτους, καὶ γῆν, καὶ ὅπως ἕκαςα ἐπὶ τοῦ παντὸς ἐγένετό τε, καὶ διατέτακται. Ὡσαύτως Ὀρφεὺς, παρὰ τῷ Κενταύρῳ Χείρωνι, περὶ τῆς ἀρχῆς ἠδὲ τῶν ὄντων, καὶ ὅσα συνέκυρσεν ἀνέκαθεν ἄξια μνήμης. Παρὰ δὲ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ: Δ': ς. 744.)

. . . . . . . . . . . . Citharâ crinitus Iöpas
Perfonat auratâ, docuit quae maximus Atlas:
Hic canit errantem lunam, folisque labores. κξ.

„ . . . . . . (Κιθάρῃ δὲ κομήτα Γώπας
„ Χρυσέῃ ἐξῆχει, τὰ μέγας μυθέσκετο Ἄτλας·
„ Μήνην πλαγκτὴν μέλπεν, ἰδ' ἠελίοιό τε μόχθους. κξ.)

Καὶ ἡ Ἑλένη δὲ ὁμοίως παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλλ: ΙΗ'.) ἐγέραιρε τὰς Θεάς :

„ Ἄρτεμιν ἀοίδοισα, καὶ εὐρύςερνον Ἀθάναν.

Ὁ δὲ Δημοδόκος (Ὀδυσ: Θ'. ς. 266.) τὴν Ἄρεως καὶ Ἀφροδίτης μέλπει κλεψιγαμίαν. Καὶ τόγε νεῖκος τὸ Ὀδυσσέως τε καὶ Ἀχιλλέως (αὐτ: ς. 75.) καὶ τὰ περὶ τοῦ ἐπὶ Τροίας δουρείου ἵππου: (αὐτ: ς. 502.) Καὶ Φήμιος δὲ ᾖσε τὰ περὶ τῆς τῶν Ἀχαιῶν ἐπανόδου. (Ὀδυσ. Α'. ς. 325.) Ἀχιλλεὺς δὲ ἄειδε κιθαρίζων, κλέα ἀνδρῶν (Ἰλ. Ι'. ς. 189.) ὡς φησὶ καὶ Κικέρων ἐν τοῖς Τουσκουλανικοῖς. Καὶ ὁ Κέν-

ταῦρος δὲ Χείρων περὶ τῆς μάχης ᾄδει τῆς Λαπιθῶν καὶ Κενταύρων. Ὡσαύτως ἐν τῷ Θ'. τῆς Αἰνειάδ. (ς. 277.) Κρηθεύς:

Semper equos, atque arma virûm pugnasque canebat.

„ ( . . Ἵππους τ' ἀνέρων ᾔειδε, καὶ ὅπλ' ἰδὲ δῆρεις.)

Ὅλως δὲ παρὰ τοῖς ἀρχαίοις ἐκράτει τὸ ἔθος, τοῦ ἐπὶ τῶν μνήμης ἀξίων μολπὰς συντιθέναι· οἷον ἦν τὸ ἀρχαιότατον ᾆσμα ὁ Λῖνος, περὶ οὗ Εὐστάθιος (Ἰλ: Σ'. ς. 570.) καὶ Παυσανίας (ἐν τοῖς Βοιωτικοῖς.) Τοιάνδε καὶ γὰρ ἔσεσθαι τὴν ᾠδήν, φησὶν Ὅμηρος (Ὀδυσ: Ω'. ς. 199.) περὶ τῆς Ἀγαμέμνονος φονοκτονίας, τῆς ὑπὸ Κλυτεμνήστρης:

„ Στυγερὴ δὲ ἀοιδὴ ἔσσετ' ἐπ' ἀνθρώπους.

Ὡσαύτως δὲ καὶ περὶ τοῦ Ὀρέστου, τοῦ Κλυτεμνήστραν ἀνῃρηκότος, καὶ Αἴγισθον. (Ὀδυσ: Γ'. ς. 204.)

„ Οἴσουσι κλέος εὐρὺ, καὶ ἐσσομένοισιν ἀοιδήν.

Τὸ τοιοῦτον δ' ἔθος οἷον ἱερὸν παρατηρεῖσθαι τοῖς Λακεδαιμόσι τὸν „ἐς ἀεὶ χρόνον, φησὶν Ἀθήναιος (βιβλ: ΙΔ'.) Τηροῦσι γε νῦν „τὰς ἀρχαίας ᾠδὰς ἐπιμελῶς· πολυμαθεῖς τε εἰς ταύτας „εἰσὶ, καὶ ἀκριβεῖς. Αἰτιᾶται δὲ ὑπὸ ἀκολασίας ἀν' Ἑλλάδα την ἀρχαίαν μουσικὴν παραφθαρῆναι· ἀτὰρ εὐχῆς ἄξιον τίθεται τὸ κατὰ τὴν τῶν παλαιοτέρων συνήθειαν τοὺς Θεῶν ὕμνους, καὶ τὰς Ἡρώων ἀνδραγαθικὰς πράξεις, δι' ᾠδῆς αἰνίζεσθαι.

Ἐν ταῖς ἐπιφανεστέραις τῶν Θεῶν ἱεροτελεστίαις ἡ περὶ ἧς ὁ λόγος μελπωρὴ χώραν εἶχεν, ὡς πάρεστιν ἰδεῖν ἐν τῷ εἰς τὸν Ἀπόλλωνα ὕμνῳ· ἐν ᾧ δὴ Ἰάονες λέγονται σὺν γυναιξί τε καὶ τέκνοις συναγείρεσθαι ἐπὶ τῆς Δήλου, καὶ ἐν μολπαῖς τὸν Ἀπόλλωνα ἐπιτέρπειν: καὶ

πρό γε δὴ τῶν ἄλλων οἱ Δηλιάδες νεάνιδες, οἱ τῦ Ἑκατηβελέταο θεράπαιναι. (ϛ. 157.)

„ Αἵ τ' ἐπεὶ ἄρ πρῶτον μὲν Ἀπόλλων' ὑμνήσωσιν,
„ Αὖτις δ' αὖ Λητώ τε καὶ Ἄρτεμιν ἰοχέαιραν,
„ Μνησάμεναι ἀνδρῶν τε παλαιῶν, ἠδὲ γυναικῶν
„ Ὕμνον ἀείδουσιν, θέλγουσι δὲ φῦλ' ἀνθρώπων.

Ὕμνους οὖν τὸ τοιόνδε εἶδος τῶν ἀσμάτων ἐκάλουν: οὓς ὁ Θεόκριτος (ἐν Εἰδυλ: ΙΖ'.) ἀθανάτων γέρας ἐπονομάζει. Θεοῖς δὲ τῶν τοιῶνδε ὕμνων ἄλλοις ἄλλοι ἀνῆκον, ὡς ἐν ἰδιαιτέροις ὀνόμασι διακρίνονται „παρὰ Πολυδεύκει (ἐν Α'. Βιβλ: Κεφ: Α'.) Παιᾶνες μὲν γὰρ „ οἱ εἰς Ἀπόλλωνα ὕμνοι ἀπεκαλοῦντο· ὕπιγγοι δὲ, ἢ οὔπιγγοι, „οἱ εἰς Ἄρτεμιν οἱ Διονύσου Διθύραμβοι· οἱ Δήμητρος „ Ἴουλοι· καὶ οἱ παραπλήσιοι. Ἐγκρίνεται δὲ ὁ τῦ Ἀπόλλωνος, ἐξ οὗ καὶ οἱ λοιποὶ Παιᾶνες προσείρηνται. Ἐκείνῳ δ' οὖν οἱ Ἀχαιοὶ προσεχρήσαντο, ἐπὶ τῆς δημοτελοῦς, ἧς προσήνεγκαν τῷ Ἀπόλλωνι θυσίας: (Ἰλ: Α'. ϛ. 472.)

„ Εὖ τε πανημέριοι μολπῇ Θεὸν ἱλάσκοντο,
„ Καλὸν ἀείδοντες παιήονα . . . . . . . . . .

Ἦν δὲ ἄρα τοῖς πάλαι Ἥρωσιν ἡ περὶ τὴν Μουσικὴν σπουδὴ συνήθης καὶ φίλη, ὡς καταφανὲς ἐστὶν ἐξ Ἡρακλέους, καὶ Ἀχιλλέως, καὶ Ἠετίωνος τοῦ Θηβῶν βασιλεύοντος· καὶ ἐκ τοῦ Χείρωνος, καὶ ἐξ ἄλλων. Ἀλλὰ καὶ ἐφεξῆς ἐν ὑστέροις χρόνοις ἡ Μουσικὴ, τοῖς ἐν ἀρχαῖς οὖσιν ἀνδράσιν ἦν περισπούδαστος· ἧπερ ἐκ Θεμιστοκλέους δῆλον, ὃς παραιτηθεὶς ἐπιχειρῆσαι τῇ λύρᾳ, ἐν ἀπαιδεύτοις λελόγισται. Οἱ δὲ Μουσικοὶ,

ὓς περ ἀοιδὲς Ὅμηρος ὀνομάζει, ἐν παντὶ εἴδει σοφίας ἐτύγχανον ἐνασκέμενοι, ὃ σαφὲς ἐκ τῦ Φημίε καθίςαται, ὃν ἡ Πηνελόπεια (Ὀδυσ: Α΄. ς. 338.) ἔφη πάντα ἐπίςαθαι:

„ Ἔργ' ἀνδρῶν τε Θεῶν τε, τά τε κλείεσιν ἀοιδοί.

Ὅθεν αὐτὸν Εὐςάθιος, Θείων τε ϗ ἀνθρωπίνων πραγμάτων ἐπιςήμονα ὀνομάζει· τῷ ὄντι δὲ οἱ Μεσικοὶ τὸ πάλαι τῆς τῶν Φιλοσόφων ἀπήλαυον ἐπωνυμίας, ὡς ἐπιμαρτυρεῖ ὁ Σχολιαςής: (Ὀδυσ: Γ΄. ς. 270.) Τὸ ἀρχαῖον οἱ ἀοιδοὶ Φιλοσόφων τάξιν ἐπεῖχον. Καὶ Αἰσχύλος δὲ αὐτὲς Σοφιςὰς καλεῖ:

„ Εἶτ' ὖν Σοφιςὴς καλὰν παραπαίων χέλυν.

Καὶ Πίνδαρος (Ἴσθμια Ε΄.)

„ . . . . Μελέταν δὲ σοφιςαῖς
„ Διὸς ἕκατι πρόσβαλλον σεβιζόμενοι.

Ὅ τε Σχολιαςὴς ἐπιφέρει: Σοφιςὰς καὶ Σοφὲς ἔλεγον τὲς Ποιητάς. Ὅτι δὲ σωφροσύνης αὐτοὶ καὶ ἀρετῆς ἁπάσης καθηγηταὶ ὑπῆρχον, μάρτυς ἐςὶν Ἀθήναιος (ἐν Βιβλ: Α΄.) Σῶφρον δέ „τι ἦν τὸ τῶν ἀοιδῶν γένος, ϗ φιλοσόφων διάθεσιν ἐπέχον. Διὸ καὶ Ἀγαμέμνων ἀποδημῶν, παρέλιπε τῇ Κλυταιμνήςρῃ, ἀοιδὸν φύλακα, ϗ παραινετῆρα τινά. (Ὀδυσ: Γ΄. ς. 270.) ὃς ἀρετὰς γυναικῶν διερχόμενος, ἀνῆψε τινὰ αὐτῇ πρὸς τὰ καλὰ φιλοτιμίαν, καὶ ταύτῃ συνδιατρίβων, ἀπὸ τῶν φαύλων ἀπῆγε λογισμῶν καὶ διενθυμήσεων· διόπερ Αἴγισθος ἐ πρόσθεν διέφθειρε τὴν γυναῖκα, πρὸ τῦ τὸν ἀοιδὸν ἀποκτεῖναι ἐν Νήσῳ ἐρήμῃ: τοιγάρτοι ἐν γένει ὁ αὐτὸς Ἀθήναιος (ἐν Βιβλ: ΙΔ΄.) ἀποφαίνεται τὴν ἀρχαιοτάτην τῶν „Ἑλλήνων σοφίαν ἐν τῇ Μεσικῇ μάλιςα ὑφεςηκέναι: τὸ δὲ ὅλον

„ἔοικε (φάσκων) ἡ παλαιὰ τῶν Ἑλλήνων σοφία τῇ Μουσικῇ „μάλιστα δεδομένη· ἐξ οὗ καὶ ἡ Ὀρφέως, καὶ Μουσαίου, καὶ Λίνου **Θεολογία**, ἐν ῥυθμοῖς μουσικοῖς ὑπῆρχε συντεταγμένη, καθ' ὃν τοῦ ζῆλον καὶ ἡ Ὁμήρου πᾶσα (φησὶ) κατεσκεύασται Ποίησις· ὃς διὰ τὸ „μεμελοποιηκέναι πᾶσαν αὐτοῦ τὴν ποίησιν, ἀφροντιστὶ τοὺς „πολλοὺς ἀκεφάλους ποιεῖ στίχους, καὶ λαγαρούς, ἔτι δὲ „μειούρους.

Τὰ δ' ἄλλα κοινὴ ἦν ἡ Μουσικὴ ἐν χρήσει ἐπὶ τῶν ἑστιάσεων, ὡς ἐξ ὧν προείρηται φανερόν· διὸ καὶ Ὅμηρος τὴν κιθάραν τοῖς εὐωχουμένοις οἷον συνεταιρίζεται, (Ὀδυσ: Ρ΄. ς. 271.)

„ . . . Ἣν ἄρα δαιτὶ Θεοὶ ποίησαν ἑταίρην.

Ὁ Διογενιανὸς ἀναφέρει παρὰ Πλουτάρχῳ (Συμποσ: Βιβλ: Ζ΄ Κεφ: Η΄.) Καὶ Πίνδαρος (Ὀλυμπ: Ὠδῇ Α΄.)

„ Οἷα παίζομεν φίλαν
„ Ἄνδρες ἀμφὶ θαμὰ
„ Τράπεζαν . . . . . .

Ὁ καὶ Ὡράτιος περὶ τῆς χελώνης ἔφη, ὡς αὕτη ἐστί:

Grata nunc, & divitum menſis, & amica templis,

„ ( Νῦν χαρίεσσ' ἀφένων δαίταις, νηοῖσι Θεῶν τε. )

Ἀλλὰ καὶ ἐν ἄλλαις ἡ ἀοιδὴ ἐπεπόλαζεν: οἷον ἐν ταῖς παρεμβολαῖς ταῖς τῶν Τρώων: (Ἰλ: Κ΄. ς. 13.) ἤχει

„ Αὐλῶν, συρίγγων τ' ἐνοπὴ . . . . . . . . . . . . .

Κἀν τοῖς ἀγροῖς δὲ, ἐν καιρῷ τρυγητοῦ (Ἰλ: Σ΄. ς. 569.)

„ Τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
„ Ἱμερόεν κιθάριζε . . . . . . . . . . . . .

Καὶ οἱ νομεῖς δ᾽ αὐτόθι: (ς. 526.) δίηγον τερπόμενοι σύριγξιν. Ἀλλὰ καὶ Ἀγχίσης ἐν τῷ σταθμῷ βουκολέων κιθαρίζει. Εἰς τόδε δ᾽ ἀνήκει, καὶ τὰ Θεοκρίτου βουκολικά, καὶ τὰ Μόσχου, καὶ τὰ Οὐϊργιλίου, καὶ ἄλλων.

## ΚΕΦΑΛ. Ε΄.

## Περὶ Ὀρχήσεως.

Ἐκ γειτόνων τῇ ἀοιδῇ ἦν ἡ ὄρχησις: ὑφ᾽ ᾧ δὴ ὀνόματι Πλάτων (ἐν τῷ Θεαγένει:) τὴν Μουσικὴν ὁρίσας, ταύτην εἶναί φησιν, ἣ τῶν „ᾀδόντων ἐπιστάμεθα ἐν τοῖς χοροῖς ἄρχειν. Διὸ καὶ παρ᾽ Ὁμήρῳ ἐς ἀεὶ μονονουχὶ συνάπτονται, ἐξόχως ἐν ἑστιάσεσιν, ὧν περ αὐτὰς ἐπαγλαΐσματα ὀνομάζει. (Ὀδυσ: Α΄. ς. 152.)

„Μολπή τ᾽ ὀρχηστύς, τὰ γάρ τ᾽ ἀναθήματα δαιτός.

Ἅτινα Διογενιανὸς ἀκροάματα ὀνομάζει παρὰ Πλουτάρχῳ· ἔνθεν τοι Ἀθήναιος, περὶ τῶν Ὁμηρικῶν λέγων Ἡρώων φησίν: Ἐχρῶν-„το ἐν ταῖς συμποσίοις καὶ κιθαρῳδοῖς δὲ ὀρχησταῖς: καθ᾽ ὃν δήπου τύπον καὶ Δίων ὁ Χρυσόστομος (ἐν Λόγ: τῷ πρὸς τοὺς Ἀλε-„ξανδρ.) τοὺς μὲν ἄλλους ἀνθρώπους ἡ μέθη πρὸς ᾠδὴν τρέπει „καὶ ὄρχησιν· παρ᾽ ὑμῖν δὲ τοὐναντίον· ἡ γὰρ ᾠδή, μέθην „ἐμποιεῖ καὶ ὄρχησιν.

Κἀν τοῖς ἱεροῖς δὲ τῶν Θεῶν τὴν ὄρχησιν τῇ ἀοιδῇ συνῆπτον, ὡς ἴσμεν τῷ Ἀπόλλωνι γίνεσθαι εἰωθὸς ἐν Δήλῳ· (ἐν ὕμν. ς. 149.) Διηνεκῆ γὰρ ἐκεῖ τελεῖσθαι τὴν ὄρχησιν Λουκιανὸς διδάσκει· (ἐν τῷ περὶ Ὀρχήσ:) οὗ δεῖγμα τὸ παρὰ Πλουτάρχῳ, (εἰς Βίον Θησ:)

„ὅτι ἐχόρευσε μετὰ τῶν ἠϊθέων χορείαν, ἣν ἔτι νῦν ἐπιτε-„λεῖν Δηλίες λέγεσιν. Οὕτω καὶ αἱ Ἀτθίδες Θυάδες ἐπὶ τὰ ἐν Δελφοῖς ἱερὰ Βάκχε κατ' ἐνιαυτὸν προσφοιτῶσαι, καθ' ὁδὸν ὀρχεῖσθαι εἰώθεσαν, ἐξόχως ἐπὶ τῆς Πανόπης, ἣν Ὅμηρος καλλίχορον ἀπεκάλεσεν· (Ὀδυσ: Λ'. ς. 580.) καθάπερ σημειοῖ Παυσανίας. (ἐν τοῖς Φωκικ.) Ἀλλὰ τὲς τῶν Ἑλλήνων ἀρχαίες, εἰς Θεῶν τιμὴν χορείας συγκροτεῖν εἰωθέναι ἐπὶ τῶν δημοτελῶν μάλιστα πανηγύρεων, ὑπὲρ ἀριθμὸν εἰσὶν οἱ μαρτυρῦντες ἐν τοῖς ἰδίοις αὐτῶν συγγράμμασιν.

Διττὰ δ' ὀρχήσεως εἴδη παρατετηρηκὼς ἐστὶν Ἀθήναιος παρ' Ὁμή-„ρῳ: Ὀρχήσεις γάρ εἰσὶ (φησὶ) παρ' Ὁμήρῳ, αἱ μέν τινες „τῶν Κυβιστητήρων, αἱ δὲ διὰ τῆς σφαίρας. Ὁ μὲν ὖν Κυβιστητὴρ, τὸν αὐτὸν ᾧ καὶ ὁ πεταυριστὴς τρόπον, ἐπὶ κεφαλῆς περιεκυλίετο, σπειροειδῶς περιστέλλων τὸ σῶμα, καὶ πόδας δὲ καὶ χεῖρας ἔνθεν τε καὶ ἔνθεν διεξάγων, καθάπερ Ὀδυσσείας ἐν Δ'. ς. 18)

„. . . . Δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτὲς
„Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσον.

Ἀλλά γε διὰ σφαίρας ὀρχησαμένη ἀναγινώσκεται Ναυσικάα: (Ὀδυσ: Ζ'. ς. 100.) σὺν ταῖς ἑαυτοῖς συμπαίζεσα ἀμφιπόλοις. Ἀγαλλὶς δὲ ἡ Κερκυραία, ἡ τε τρόπε τῆς τοιᾶς δε χορείας εὑρέτις ᾄδεται, ὡς Ἀθήναιος μαρτυρεῖ. Παρὰ δ' ὖν Φαίαξιν (Ὀδυσ: Θ'. ς. 3 2. κξ.) ἡ διὰ τῆς σφαίρας παιδιὰ ἤσκηται, συνεπισυναπτομένης ἅμα καὶ τῆς ὀρχήσεως. Καί περ ἀπὸ θατέρας θατέραν Ἀθήναιος ἐστὶ διαστέλλων· δείκνυσί τε χωρὶς τὲς Φαίακας συνιόντας ἐναλλὰξ συνορχεῖσθαι, ἐν ᾧ ἄλλοι ὄρθιοι ἱστάμενοι τὲς ῥυθμὲς τῇ τῶν δακτύλων συνεπικροτήσει ἐξῆχεν.

Ἐστι δ' ἐπίδηλον κἀκεῖνο, ὅτι καὶ σφαίρας ἄτερ τὰς ὀρχήσεις συνιστῶν, αἰζηοί τε ἅμα καὶ παρθενικαὶ χερσὶν ἐναλλήλως ζευγνύμενοι, ἐπὶ τῆς χοροστασίας, τῆς πρὸς παράδειγμα τὸ τε Δαιδάλε παρὰ τὴν

Κνωσσὸν περιγεγραμμένης, ἐν τῇ τȣ̃ Ἀχιλλέως Ἀσπίδι. Παρατηρεῖ τοίνυν ἐν τȣ́τοις Εὐςάθιος, κοινῇ τȣ̀ς πλείςȣς ἡγεῖσθαι, ὅτι πάλαι μὲν ἦν ἔθος τȣ̃ χωρὶς τȣ̀ς ἄνδρας, καὶ τὰς γυναῖκας ἐν μέρει κροτȣ̃ντας τȣ̀ς χορȣ̀ς· τὸ δὲ δὴ πρῶτον, τȣ̀ς συνάμα τῷ Θησεῖ διαταχθέντας ἑπτὰ νεανίσκȣς, καὶ τὰς ἰσαρίθμȣς νεάνιδας ἀναμὶξ συνεχορεύσασθαι, ὑφ' ἡγεμόνι τε καὶ χοροςάτῃ τῷ Δαιδάλῳ. Ὁ δ' Ἁλικαρνασσεὺς Διονύσιος (ἐν τῷ Ζ' Βιβλ: τῶν Ῥωμαϊκῶν Ἀρχαιολογ:) προσεπισημιȣ̃ται, ἀρχαῖον ἀν' Ἑλλάδα γενέσθαι τὸν τύπον, τȣ̃ νεανίσκον ὀρχεῖσθαι ἔνοπλον, ἥνπερ χορείαν πυῤῥίχην εἶπον· ἐν γȣ̃ν τῇ τοιᾷδε ὀρχήσει χρύσεα „ἔφερον ξίφη, οἱ δὲ, μαχαίρας εἶχον χρυσείας, ἐξ ἀργυ„ρέων τελαμώνων ἐξηρτημένας. Τȣ̃το δ' ἄρα Κρησὶν ὑπῆρχε „πάτριον, ἣ μαρτυρεῖ Νικόλαος παρὰ τῷ Στοβαίῳ. Οἱ δὲ Κρητῶν „παῖδες ἀγελάζονται κοινῇ, καὶ τὴν ἐνόπλιον πυῤῥίχην „ἐκπονȣ̃ντες, ἥν τινα πρῶτος εὗρε Πύῤῥος, Κωτονιάτης „Κρὴς τὸ γένος. Φέρει δὲ τὰ παραπλήσια καὶ ὁ τȣ̃ Ὁμήρȣ Σχο„λιαςής. (Ἰλ: Π'. ϛ. 617.) Ἐπυῤῥίχιζον γὰρ (φησὶ) τοῖς ὅ„πλοις οἱ Κρῆτες πρὸς ἄσκησιν τῶν πολεμικῶν.

Τὸν τοίνυν τρόπον τόνδε, ἡ ὄρχησις τοῖς παλαιοῖς, οἷον πολεμικήτις ὑπῆρχεν ἄσκησις, προγύμνασμα ȣ̃σα τȣ̃ πολέμȣ, φησὶν Ἀθήναιος περὶ τῶν Λακεδαιμονίων λέγων: παρ' οἷς, καὶ μετὰ τȣ̀ς ἄλλȣς τῶν Ἑλλήνων ἐπιδιέμεινε. (Βιβλ. ΙΔ'.) Διὸ Σωκράτης τȣ̀ς ἀρίςȣς „ὀρχȣμένȣς, ἀρίςȣς εἶναι ἀπεφήνατο τȣ̀ς αὐτȣ̀ς κἀν τῇ μάχῃ. Οἳ δὲ „Θεȣ̀ς χοροῖς κάλλιςα τιμῶσιν, ἄριςοι ἐν πολέμῳ. Ταύτῃ τοι καὶ Αἰνείας τὴν Μηριόνȣ ἰσχὺν μεγαλύνει, διότι ὀρχηςὴς ἀγαθὸς ὑπῆρχεν. (Ἰλ: Π'. ϛ'. 617.)

„Μηριόνη, τάχα κέν σε, καὶ ὀρχηςήν περ ἐόντα
„Ἔγχος ἐμὸν κατέπαυσε διαμπερὲς, εἴ σ' ἔβαλόν περ.

Ἀλλὰ γὰρ Πρίαμος τοὺς ἰδίους υἱοὺς κατελέγχει, (Ἰλιάδ: Ω΄. ς΄. 261.) καθότι ἦσαν:

„Ψεῦσαι τ᾽, ὀρχησαί τε, χοροιτυπίῃσιν ἄριστοι.

Αὐτοῖς γεμὴν τρυφερὰν τινα καὶ θηλυπρεπεστέραν τὴν ὄρχησιν ταύτην ἐπεγκαλεῖ, οἷα καὶ τῷ Πάριδι τὴν κιθάραν ὁ Ἕκτωρ: (Ἰλ. Γ΄. ς. 54.) Ἀμέλει τοι, ὡς μὴ τὰ κλέα τῶν Ἡρώων δι᾽ αὐτῆς ᾄδοντι, „καθάπερ Ἀχιλλεὺς· ἀλλὰ ἀκόλαστα ἔπη, μέλη μοιχικά τινα, „καὶ οἷα αἱρεῖν γυναῖκας καὶ θέλγειν: ὡς Αἰλιανὸς φησὶν, (ἐν τῷ Θ΄. Βιβλ. Κεφ. ΛΗ΄.)

## ΚΕΦΑΛ. ς΄.

## Περὶ Γυμνασίων παντοίων.

Ὑπῆρχον δὲ παρ᾽ Ἕλλησι καὶ γυμνασίων γένη παντοῖα: οἷον τὸ Ἅλμα, ὁ Δρόμος, ὁ Δίσκος, ἡ Πάλη, ἡ Πυγμή· τὰ εἰς τιμὴν Θεῶν μάλιστα συνιστάμενα, ἐν δημοτελέσιν Ἑορταῖς τε καὶ Πανηγύρεσιν, ὡς αὐτοὶ ἐξωνόμαζον· ἥπερ (ἐν τῷ εἰς τὸν Ἀπόλλ: ὕμν:) περὶ τῶν Ἰώνων εἴρηται.

„Οἱ δέ σε πυγμαχίῃ τε, καὶ ὀρχηθμῷ, καὶ ἀοιδῇ
„Μνησάμενοι τέρπουσιν, ὅταν στήσωνται ἀγῶνα.

Τὸ δ᾽ αὐτὸ χώραν εἶχε καὶ Ὀλυμπιάσιν εἰς τιμὴν Διὸς (Ἰλ. Γ΄.) καὶ Πυθοῖ δὲ, καὶ ἐν Νεμέᾳ, καὶ Ἰσθμοῖ, εἰς τιμὴν Ἀπόλλωνος καὶ Ποσειδῶνος· ἢ (ὡς ἄλλοι φασὶν) Παλαίμονος καὶ Ἀρχεμόρου· ἐν οἷς δὴ τέτταρσι τόποις τῶν συνελεύσεων, ἀγωνίσματα ἐτελεῖτο εἴδει διαφέροντα, ἐπάθλων τοῖς ἀριστεύουσι προκειμένων, ἅπερ Λουκιανὸς συμπερι-

„λαβὼν, ἐν τῷ **περὶ Γυμνασίων**: Ὀλιμπιάσι μὲν (φησὶ) ςέ-
„φανος ἐκ κοτίνȣ· Ἰσθμοῖ δὲ, ἐκ Πίτυος· ἐν Νεμέᾳ δὲ, Σε-
„λίνων πεπλεγμένος· Πυθοῖ δὲ, μῆλα τῶν ἱερῶν τȣ̃ Θεȣ̃.
Ἀλλὰ καὶ ταῖς Νεκρικαῖς κηδεύσεσιν ἀνδρῶν τινῶν τῶν ἐν ἀρχαῖς ἐπιφανεςέρων, ἔθος ἐκράτει, τοιάδε γυμνάσματα ἐπικαθιςᾶν· ὡς ἰδεῖν ἐςὶν (Ἰλ: Ψ΄. ς.) δι᾽ ὅλης τῆς Ῥαψωδίας γεγονὸς ἐπὶ Πατρόκλῳ. Καὶ ξένȣ δέ γε χάριν τῶν τινος λαμπροτέρȣ ἐπιδημȣ̃ντος, ποικίλοι ἆθλοι παρὰ τῶν ἀρχόντων ἐπετελȣ̃ντο: ὡς Ὀδυσσεῖ συνέβη παρὰ τοῖς Φαίαξιν: (Ὀδ: Θ΄. ς. 258.) Ἔνθα ἐννέα τὸν ἀριθμὸν διὰ κλήρων ἐτάχθησαν, οἱ καλῶς ἕκαςα ἀγωνοθετήσοντες.

„ **Αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέςαν,**
„ **Δήμιοι, οἳ κατ᾽ ἀγῶνας ἐυπρήσσεσκον ἕκαςα.**

Ἀλλ᾽ ἐν τοῖς Πατρόκλȣ κηδευτικοῖς ἀγῶσιν, Ἀχιλλεὺς αὐτὸς ἦν ὁ ἕκαςα διατιθεὶς· αὐτὸς γὰρ ἐν λάχει τȣ̀ς ἀγωνισομένȣς ἀντιπαρεξάγων ἀλλήλοις, τὰ προτεθέντα ἔπαθλα ἐπιβραβέυει τοῖς ἀριςέυȣσιν.

Ἅλματι παρὰ τοῖς Φαίαξιν Ἀμφίαλον διενεγκεῖν εἴρηται τῶν ἄλλων· (Ὀδ: Θ΄. ς. 128.)

„ **Ἅλματι δ᾽ Ἀμφίαλος προφερέςερος ἦεν.**

Τȣ̃ δὲ δρόμȣ, τȣ̃ μὲν πεζικȣ̃, τȣ̃ δὲ ἱππικȣ̃ τελȣμένων, πεζοὶ μὲν ἠγωνίσαντο ἐκ τῶν Φαιάκων ἐκεῖ: Λαοδάμας, Ἅλιος, καὶ Κλυτόνηος:

„ **Τοῖσιν ἀπὸ νύσσης τέτατο δρόμος·** (αὐτ: ς. 121.)
Ὧν δὴ ὁ ἔχατος προέβη πρῶτος (αὐτ: ς. 123.) Παραπλήσιον δὲ συνέβη, Αἴαντί τε τῷ Ὀϊλέως, καὶ Ὀδυσσεῖ, (Ἰλ: Ψ΄. ς. 754.) ἄλλοτε συμπαραθέȣσιν: ὅτε Ὀδυσσεὺς φθάσας προῆλθε, τȣ̃ Αἴαντος μέντοι παρολισθήσαντος: (αὐτ: ς. 774.)

Καὶ ἐν συνωρίδι δὲ ἵππων πλείονες ἠγωνίζοντο ἅρματι. Ὅρος δὲ αὐτοῖς διφρελατῦσι, ξύλον ἱδρυτὸ ἀπὸ δρυὸς, ἢ πίτυος, πηχυαῖον τῷ μήκει, ὄρθιον ἑστηκὸς, ᾧ πέτραι δύο προσέκειντο ἑκατέρωθεν: Ὁ δὲ πρῶτος ἀνακάμπτων ὑπὲρ τὸν ὅρον, τὴν νίκην ἤρετο. Ἀλλ' ἐχρῶντο οἱ παλαιοὶ τοῖς ἵπποις καὶ ἁπλῶς ἄνευ δίφρυ, οἷς συνεζευγμένοις ἐποχύμενοι, ἀπὸ θατέρυ ἐπὶ θάτερον ἐναλλὰξ ἐν τῷ τρέχειν μετέβαινον· τῦτο δὲ κελητίζειν ἔλεγον· ὡς ἐν Ἰλ: (Ο'. ς. 683.) Ἔνθα καὶ τέτταρες ἵπποι, ὑφ' ἑνὸς ἀνδρὸς, ὕτως ἐπὶ δρόμον ἐλαύνονται.

„ . . . . . Ὁ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
„ Θρώσκων, ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται: οἱ δὲ πέτονται.

Ἔστι δὲ Δημήτριος, ὁ παραδὺς τῇ μνήμῃ, ἑωρακέναι ποτὲ τὸν οὕτω μεθιππαζόμενον. Defultores, τὺς ταύτῃ γε κελητίζοντας οἱ Ῥωμαῖοι ἐκάλυν· (οἷον εἰπεῖν, μεταθρώσκοντας.) Ἀλλ' ἵπποις προσεχρῶντο ἐπὶ τύτῳ, μόνον δυσὶν, ὡς ἰδεῖν ἐστὶ παρὰ Πομπηΐῳ τῷ Σέξτῳ. Ἀλλὰ γὰρ Εὐσταθίῳ δοκεῖ, τυτὶ κατὰ πρόληψιν ὑπὸ Ὁμήρυ γεγράφθαι· ἐν γὰρ τοῖς Τρωϊκοῖς οἱ τοιοίδε Κελητισαὶ ὕπω δῆλοι ἐτύγχανον, ὃ καὶ Γελλίῳ σεσημείωται· (Βιβλ: Ι'. Κεφ: Ις'.)

Ἦν δὲ καὶ ἄλλο ἀγώνισμα, τὸ, σῶμα ἐποιοῦν βάρος ἔχον, ἀφιέναι· ὅπερ Ὅμηρος δίσκον ἐκάλει. Ὁ γὰρ δίσκος βαρὺς ἦν λίθος (κατὰ τὸν Σχολιαστὴν) ὃν ἔριπτον οἱ γυμναζόμενοι: ὃς ἂν δηλονότι πορρωτέρω ἀφήσειε, πρὸς ἀλλήλυς ἐρίζοντες· τῦθ' ὃ καὶ σημείοις προστεθεῖσι δῆλον ἐπικαθιστῶν. Οἷον δὴ Ἐπεὸς, καὶ Αἴας ὁ Τελαμώνιος, καὶ Πολυποίτης πρὸς ἀλλήλυς ἐρίσαι λέγονται, ἐκείνυς τῦτυ ὑπερακοντίσαντος. Καὶ Ὀδυσσεὺς δίσκῳ πάντας Φαίακας ὑπερέσχεν (Ὀδυσ: Θ'. ς. 106. κξ.) Καὶ τῦ Ἀχιλλέως δὲ τὰ πλήθη, (Ἰλ: Β'. ς. 773.) --

„ . . . . . . . Παρὰ ῥηγμῖνι θαλάσσης
„ Δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες.

Καθὰ καὶ οἱ Πηνελόπης μνηστῆρες, πάροιθεν Ὀδυσσῆος μεγάροιο: (Ὀδυσ: Δ'. ς. 625.) Προσέκειτο δ' αὐτῷ καὶ ἀκόντια καὶ ἕτερα δόρατα, καὶ βέλη τόξοις ἀφιέμενα, οἷον κατὰ τῆς Πελειάδος τῆς ἀπὸ ἱστῷ νηὸς, μηρίνθῳ ἀνηρτημένης. (Ἰλ: Ψ'. ς. 850.) Καὶ κατὰ τῶν πελέκεων διὰ τῆς ὀπῆς διοϊστευόμενα: (Ὀδ: Φ'. ς, 76. καὶ 421.)

Ἦν δ' ἐν χρήσει τοῖς ἀρχαίοις, καὶ ἡ περὶ τὴν παλαισμοσύνην ἄσκησις· τοιάδε ἦν ἡ μέσον Αἴαντος καὶ Ὀδυσσέως συστᾶσα πάλη· οἳ χερσὶν ἀλλήλων ἀντιδραξάμενοι, τῇ καὶ τῇ διεκρούσθησαν φιλονεικοῦντες, πότεροι χαμάζε τὸν ἀντιπαλαίοντα προσουδίσειεν. (Ἰλ: Ψ'. ς. 710.) Ὡσαύτως δὲ διεπαλαίσαντο, Ὀδυσσεύς τε καὶ Ἶρος, ὃς ὑπ' ἐκείνου ἄπνους μονονουχὶ καταβέβληται (Ὀδυσ: Σ' ς. 91. κξ.)

Ἡ δὲ πυγμαχία ἐξησκεῖτο, τῶν χειρῶν πὺξ τὰ ἄκρα συστελλομένων, καὶ ἱμᾶσι βοείοις περιασφαλιζομένων, αἷς τισιν ἀμφοτέραις ἀλλήλους πλήσσοντες ἔκοπτον: ὡς ἰδεῖν ἐστὶν, Εὐρυάλου τε μεταξὺ καὶ Ἐπωοῦ γεγονὸς (Ἰλ: Ψ'. ς. 660. κξ.) Ὁ μὲν οὖν Θεόκριτος (ἐν Εἰδυλ: ΚΒ'.) φοβερὸν ἔφη ἐν πυγμαχίαις ὑπάρξαι τὸν Πολυδεύκην:

„ Χεῖρας ἐπιζεύξαντα μέσοις βοέεσσιν ἱμᾶσιν.

Ὅπερ ἀριδηλότατα φαίνεται, ἐπὶ τῆς μετὰ Ἀμύκου αὐτοῦ πυγμαχίας. παραπλησίως δὲ καὶ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ: ἐν Ε'. ς. 401.)

In medio geminos immani pondere ceſtus
Projecit, quibus acer Eryx in proelia ſvetus.
Terre manum, dextroque intendere brachia tergo.

„ ( Αἰνὸς βριθοσύνῃ κεςὸς δύο ῥίψ᾽ ἀνὰ μέσσον,
„ Τοῖς κρατερὸς ποτ᾽ Ἔρυξ ἐν πυγμαχίῃσιν ἐώθει
„ Ἀθλῶν σὺν τρηχύσσιν ἱμᾶσι βραχίονα τείνειν.)

Τὸ μὲν οὖν πάλαι, ἱμάντας εἶχον οἱ πυγμάχοι, ἐκ δέρματος ὠμοῦ βοείου συμπεριπλεκομένους, οἳ ἐπὶ τῷ καρπῷ συνεσφίγγοντο, τῶν δακτύλων γυμνῶν λειπομένων, ὡς ἂν τοῖς ὄνυξιν αὐτοῖς ἐξείη διασπαράττειν ἀλλήλους καὶ περιδρύπτειν. Μείλιχας (ἴσ: κατ᾽ ἀντίφρασιν:) οἱ παλαιοὶ εἶπον· ὕςερον δ᾽ οἱ κεςοὶ ἐν χρήσει ἐγένοντο, εἰς ὀξὺ τοῦ ἱμᾶντος ἐκλεπτυνθέντος, οὓς δὴ πρὸς τὸν ἀμφοτέρας τῆς χειρὸς καρπὸν ἀμφιπεριδοῦντο, ὡς ὁ Παυσανίας γράφει ἐν τοῖς Ἀρκαδικοῖς. Ἀλλὰ γὰρ Πολυδεύκης (ἐν Βιβλ: Β'. Κεφαλ: Λ'.) φησὶν, ὅτι καὶ βαλάνοις μολυβδίναις ἐνερραμμέναις οἱ κεςοὶ ἐπετραχύνοντο σκληρυνόμενοι· διὸ καὶ τοὺς πύκτας ἔφη σφαιρομαχεῖν.

Τοιγαροῦν ἐπί τε τῆς πάλης, κἀπὶ τῆς πυγμῆς ἀποδυόμενοι τὴν ἐσθῆτα, μέσον τὸ σῶμα περιεζώννυντο. Οὕτω καὶ γὰρ περὶ Ὀδυσσέως τε καὶ Αἴαντος, τῶν εἰς πάλην ἀλλήλοις ἀντεξελευσομένων, Ὅμηρος φθέγγεται: (Ἰλ: Ψ'. ς. 710.)

„ Ζωσαμένω δ᾽ ἄρα τώγε βάτην εἰς μέσσον ἀγῶνα.

Καὶ Ὀδυσσεὺς δὲ συμπαλαίσων Ἴρῳ (Ὀδ: Σ'. ς. 66.)

„ Ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, φαῖνε δὲ μηροὺς
„ Καλούς τε μεγάλους τε· φάνεν δὲ οἱ εὐρέες ὦμοι,
„ Στήθεά τε, ςιβαροί τε βραχίονες. . . . . .

Προσεμπεδοῖ δὲ τὸ τῆς Ἑλλάδος τόδε ἀρχαῖον ἔθος, ὁ Ἁλικαρνασσεὺς Διονύσιος ἐν ταῖς Ῥωμαϊκαῖς αὐτοῦ ἀρχαιολογίαις, (Βιβλ: Ζ'.) „Τὰ δὲ πρὸ τούτων, δι᾽ αἰχύνης εἶχον ἅπαντες οἱ Ἕλληνες,

„ὅλα γυμνὰ φαίνειν ἐν ταῖς ἀγωνίαις τὰ σώματα, ὡς „Ὅμηρος τεκμηριοῖ, μαρτύρων ἀξιοπιςότερός „τε καὶ ἀρχαιότατος, ὡς ζωννυμένες τὲς Ἥρωας ποιῶν. Πρῶτος ὤφθη ἑαυτὸν ὅλον ἐν τῷ ςαδίῳ ἀπογυμνώσας Ἄκανθος ὁ Λακεδαιμόνιος ἐπὶ τῆς ΙΕ΄. Ὀλυμπιάδος, ὡς ὁ αὐτὸς Διονύσιος ἱςορεῖ. Καὶ Θεκυδίδης δὲ ἐν τῷ Α΄. Βιβλ. δίεξεισι, πρώτες τὲς Λακεδαιμονίες ὁλοσχερῶς ἀπογυμνωθῆναι, τῶν ἀθλητῶν τὸ πρότερον διαζώμασι τὴν „αἰδῶ καλυπτόντων: Ἐγυμνώθησάν τε πρῶτοι, καὶ εἰς τὸ φα„νερὸν ἀποδῦντες, λίπα μετὰ τε γυμνάζεσθαι „ἠλείψαντο· τὸ δὲ πάλαι καὶ ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι „διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθλη„ταὶ ἠγωνίζοντο: Καὶ προςίθησιν, ὅτι καὶ τῶν βαρβάρων πολλοὶ, καὶ μάλιςα οἱ ἀνὰ τὴν Ἀσίαν περιεζωσμένοι ἐν τοῖς ἀγῶσι προήρχοντο: ὅπερ δὴ ἔθος, καὶ παρὰ τοῖς Ῥωμαίοις κρατεῖν, ἐκ ἄδηλον.

Παρὰ γὲν τὰ ῥηθέντα, προσῆν καὶ ἄλλα τοῖς παλαιοῖς Ἕλλησιν, ἐν χρήσει ὄντα παιδιᾶς ἐξασκήματα: οἷοι φέρε, οἱ ἀςραγάλων πεττοὶ, οἷς φησὶ Πάτροκλος (Ἰλ: Ψ΄. ς. 88.) ὅτι κατέκτανε τὸν Ἀμφιδάμαντος παῖδα ἐν ἀςραγάλων παιδιᾷ:

„Νήπιος, ἐκ ἐθέλων, ἐν ἀςραγάλοισι χολωθείς.

Ἦν γὰρ τῷ ὄντι μειρακιῶδες τὸ τοιόνδε παίγνιον, ὡς μαρτυρεῖ Παυσανίας (ἐν τοῖς Ἠλειακοῖς) ἔνθα διηγεῖται, τῶν χαρίτων τὴν „μέσην, σὺν ἀςραγάλῳ ζωγραφεμένην: τὸν ἀςράγαλον εἶναι „λέγων μειρακίων τε καὶ παρθένων, οἷς ἄχαρι ἐδέν„πω πρόσεςιν ἐκ γήρως. Τέτων γὰρ εἶναι τὸν ἀςρά„γαλον παίγνιον. Ὅθεν καὶ παρὰ τῷ Ἀπολλωνίῳ (ἐν τοῖς Ἀργοναυτικ:) ὅτε Ἔρως καὶ ὁ Γανυμήδης ἀςραγάλοις ἐπαίζετον.

„ . . . . . . Ἀμφ' ἀστραγάλοισι δὲ τῶδε
„ Χρυσείοις, ἅτε κῦροι ὁμηθέες ἐψιόωντο.

Οὐδ' ἐκεῖνο δ' ἄδηλον τὸ τῦ Διονυσίυ (παρὰ Πλυτάρχῳ ἐν τῷ περὶ „ τῆς Ἀλεξάνδρ: τύχης.) Τὸ τὺς μὲν παῖδας ἀστραγάλοις, „ τὺς δὲ ἄνδρας ὅρκοις ἐξαπατᾶν. Ἀλλὰ γὰρ οἱ Πηνελόπης μνηστῆρες: (Ὀδυσ: Α'. ς. 107.)

„ Πεσσοῖσι προπάροιθε θυράων θυμὸν ἔτερπον.

Περὶ ὃ Ἀθήναιος ἐν Βιβλ: Α'.)

# ΚΕΦΑΛ. Ζ'.

## Περὶ Πολέμυ.

Ἐπὶ τὰς πολεμικὰς τελευταῖον μεταβῶμεν ἀσκήσεις, ὧν αἱ λοιπαὶ ὑπῆρχον οἱονεὶ προγυμνάσματα καὶ προπαίδειαι. Ἐν ἑνὶ γὰρ τύτῳ οἱ πάλαι Ἕλληνες τὴν ἀρετὴν πᾶσαν ἐτίθεντο, ὡς καλῶς γρά„φει Ἀθήναιος. (Ἐν Βιβλ: ΙΔ'.) Οἱ παλαιοὶ τὴν ἀνδρείαν ὑπε„λάμβανον εἶναι μεγίστην τῶν πολιτικῶν ἀρετῶν, καὶ ταύτῃ „τὰ πολλὰ προσνέμειν, ὐ τοῖς ἄλλοις. Ἅπας δ' ὁστισοῦν ἄριστος εἴρηται, ὁ τῷ Ἄρει κατ' ἐξοχὴν διαπρέπων· ἀνθ' ὅτυ γε καὶ διὰ παντὸς εἰώθυν ὁπλοφορεῖν, ὡς γράφει Θυκυδίδης, (ἐν „Προοιμ: τῆς Ἱστορ:) Πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει· διὰ „τὰς ἀφράκτυς τε οἰκήσεις, καὶ ὐκ ἀσφαλεῖς παρ' ἀλλή„λοις ἐφόδυς· καὶ συνήθη τὴν δίαιταν μεθ' ὅπλων ἐποιή„σαντο, ὥσπερ οἱ Βάρβαροι. Ὃ δὴ τοῖς Πέρσαις ἰδιαίτερον ἀναγράφει Ἀμμιανὸς ὁ Μαρκελλῖν: (ἐν Βιβλ: ΚΓ'.) Ἅπαντες ὖν ἀνα-

μὶξ, κἂν συμποσίοις καὶ ἑορταῖς ἐζωσμένοι ξίφεσι καθορῶνται, ὅπερ οὖν ἔθος ἀρχαῖον ἐν Ἕλλησιν ὄν, πρώτους Ἀθηναίους ἀποβαλέσθαι, αὐτὸς ἐςὶ Θουκυδίδης μάρτυς διασημότατος.

Τοῖς δ᾽ ὅπλοις τούτοις κεχρῆσθαι, οὐχ ὅπως πρὸς ἰδίαν ἑαυτῶν ἄμυναν, ἀλλὰ καὶ πρὸς ἑτέρων ἐπήρειαν, σύνηθες καὶ τοῦτο ἐν τοῖς πάλαι χρόνοις ἐκείνοις ὑπῆρχε, καὶ μὲν δή, καὶ φέρον εἰς ἔπαινον. Τὸ γάρ τοι βίαν ἐπιφέρειν τοῖς ἀλλοτρίοις χειρὶ ἐνόπλῳ, ἐφ᾽ ᾧ καταχέεσθαι ἁπανταχοῦ παρ᾽ Ὁμήρῳ φαίνεται: Κἀντεῦθεν ἀνέφυσαν οἱ πόλεμοι, ὧν πλέα ἐςὶ τῆς Ἑλλάδος τὰ παλαιὰ ὑπομνήματα. Οὕτως Ὀδυσσεὺς ἐπὶ Ἴλιον πλέων, τὴν Κικόνων ἐλεηλάτησε πόλιν, καὶ παρὰ τούτων αὖθις ἀντιπολεμηθεὶς πολλοὺς τῶν ἑταίρων ἀπέβαλεν. (Ὀδυσ: Ι'. ς: 39. κξ.) Ὡσαύτως δὲ (Ὀδ: Ξ'. ς. 263.) αὐτὸς περὶ ἑαυτοῦ διέξεισιν, ὅτι κατάρας εἰς Αἴγυπτον, μετὰ τὸν ἀμφ᾽ αὐτὸν, ἀγροὺς τοὺς ἐκεῖ κατεπόρθησε, καὶ πάντα ἐσύλησεν, ἄνδρας ἀνῃρηκὼς οὐκ ὀλίγους. Διὰ δὲ τοῦτο καὶ ἐν ᾅδου διεπυνθάνετο Ἀγαμέμνονος, πῶς ἄρ ἔθανε; μήποτε ὑπὸ ἀναρσίων ἀναιρεθεὶς ἀνδρῶν; (Ὀδυσ: Λ'. ς. 401.)

„Βοῦς περ ταμνόμενος, ἠδ᾽ οἰῶν πώεα καλά;

Οὕτω καὶ Νέςωρ τοῖς ἐξ Ἤλιδος διεμαχέσατο ἀμφὶ βοηλασίῃν. (Ἰλ: Λ'. ς. 671.) Διὸ καὶ Ἀχιλλεύς, (Ἰλ: Α'. ς. 154.) μηδὲν αὐτῷ εἶναι ἔλεγεν, ὅτιπερ ἂν τὸν κατὰ Τροίας πόλεμον ἀναλαβέσθαι αὐτὸν ἐναγάγοι:

„Οὐ γάρ πώποτε (φησὶν) ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους.

Καὶ Πλούταρχος δὲ (ἐν τῷ Θησεῖ) ἐκδιηγεῖται, ὑπὸ Πειριθόου αὐτὸν ὅπλοις ἀπελαθῆναι, διὰ τὸ ἀπαγαγεῖν τὰς ἐκείνου βοῦς. Ὁμοίως παρ᾽ Ἡσιόδῳ (ἐν τῇ Ἀσπίδι). Ἀμφιτρύων λέγεται Ἠλεκτρύωνα τὸν Θηβῶν Ἄνακτα ἀνῃρηκέναι βίᾳ δαμέντα, χωσάμενος περὶ βουσί.

Καὶ ἡ βοῶν ἄρα ἀπαγωγὴ καθίςατο τοῖς ἀρχαίοις πολέμων κυριώτατον αἴτιον.

Ἀλλὰ καὶ ἡ διαρπαγὴ τῶν γυναικῶν, οὐδέν τι ἧττον κατ' ἐκείνους τοὺς χρόνους, συνεχεῖς μάχας ἀπέτικτεν· οἵαν δὴ, τὴν περὶ ἧς Ὅμηρος ὅλην ἀναγεγραφώς ἐςιν Ἰλιάδα ταύτην. Ἐπειδὴ γὰρ Ἀλέξανδρος ὁ τοῦ Πριάμου, Ἑλένην τὴν Μενελάου ἄλοχον ἐκ Λακεδαίμονος εἰς Τροίαν ἀπήγαγεν, οἱ ἄριςοι, καὶ τῶν ἀν' Ἑλλάδα δυναςευόντων πρόκριτοι, Τυνδάρεω τοῦ τῆς ἁπαχθείσης τοκέως, ἐν ὅρκοις αὐτοὺς συγκαταναγκάσαντος, ὑφ' ἡγήτορι Ἀγαμέμνονι ἐπὶ τὸ Ἴλιον, ἔπλευσαν, καὶ μετὰ πολλάς τε καὶ διαφόρους μάχας, ἅσπερ ἀλλήλοις συνέβαλον, ἐν ἐνιαυτῷ τελευταίῳ δεκάτῳ ἐκπορθήσαντες τὴν πόλιν ἐκ βάθρων ἀνέτρεψαν. Καὶ ταύτην ἀρχὴν γενέσθαι, τῶν μέσον Ἑλλήνων τε καὶ τῶν Ἀσιατικῶν συςάντων πολέμων, οἱ Πέρσαι (παρ' Ἡροδότῳ ἐν τῇ Κλειοῖ) ἀπεφήναντο. Οἳ δὴ, καὶ τὸ μὲν τὰς ἀλλοτρίας ἁρπάζειν γυναῖκας, ὑβριςῶν τε εἶναι ἀνδρῶν καὶ ἀδίκων ἐνόμισαν· τὸ δὲ τὰς ἁρπαγείσας ἀνταπαιτεῖν ἀμυνομένους, ἀφρόνων· Σωφρονούντων δὲ εἶναι, τῶν τοιούτων μηδὲν ἀλεγίζειν· οὐ γὰρ ἂν τὴν ἁρπαγὴν αὗται μὴ ἐνδιδοῦσαι, ὑπέςησαν. Ὡσαύτως δὲ καὶ Δούριος, (ἐν Β'. βιβλ. τῶν ἱςορ:) τὸν παρ' Ἕλλησιν ἱερὸν λεγόμενον πόλεμον καθιςορεῖ συμβῆναι, διὰ γυναῖκα τινὰ Θηβαίαν, Θεανὼ καλουμένην, τὴν ὑπό τινος Φωκαέως ἁρπαγεῖσαν. Καὶ Καλλισθένης δὲ περὶ τοῦ ἱεροῦ γραφει πολέμου, τὸν Κιῤῥαϊκὸν ἐντεῦθεν τὴν ἀρχὴν εἰληφέναι, διὰ τὸ τοὺς Κιῤῥαιεῖς Μεγιςθώ, τὴν πελάγοντος τοῦ Φωκαέως θυγατέρα, καὶ ἄλλας δὲ πρὸς αὐτῇ Ἀχαΐδας, ἀπὸ τοῦ Πυθικοῦ τεμένους ἐπανιούσας, πρὸς βίαν ἀπαγαγέσθαι. Τελευταῖον δὲ καὶ Ὡράτιος, ἐν τῇ Γ'. τῶν Σατυρῶν, (Βιβλ: Α'. ϛ. 101.)

. . . . . Fuit ante Helenam cunnus teterrima belli
Caufa; fed ignotis perierunt artibus illi,
Quos Venerem incertam rapientes more ferarum,
Viribus editior caedebat, ut in grege Taurus.

„ (Κἀυτῆς πρόσθ' Ἑλένης Cunnus μιαρὴ πρόφασίς γε
„ Γέντο μάχης: ἀΐδηλοι ὄλοντο δὲ τὰς γὰρ ἄδηλον
„ Κύπριν ἀφαρπάζοντας ὁμοίως θήρεσι Ταῦρος
„ Φέρτερος ἰχύϊ, ἐιν ἀγέλῃ θρώσκων τις κόπτεν.)

Καὶ τοίνυν Ἀγαμέμνων συνέιλοχε τὸ Ναυτικόν: ἅτε δὴ αὐτὸς μάλιστα τῶν ἐν Πελοποννήσῳ Ἑλλήνων τὸ τηνικαῦτα προέχων· ὄ τοι τοσούτῳ, διὰ φόβον Τυνδάρεω, τῶν πλειόνων τῆς Ἑλένης μνηστήρων τὴν ἐκστρατείαν ἀναδεξαμένων. Καὶ γὰρ Θουκυδίδης, ἐν τῷ Α'. τῆς ἱστορίας „ παρέδωκε· τὴν στρατιὰν (τὸν Ἀγαμέμνονα) οὐ χάριτι τὸ „ πλεῖον, ἢ φόβῳ, συναγαγόντα ποιήσασθαι. Καὶ πολλοὶ δὲ δήπου, οἱ οὐχ' ἑκόντες ἐπὶ Τροίας στρατεύσαντες ὤφθησαν, ὡς ἐκ τοῦ Ὀδυσσέως δῆλον· ὅνπερ ἐμυθεύσαντο, ἐφ' ᾧ μὴ στρατεῦσαι σὺν τοῖς ἄλλοις, τὸν παραπαίοντα προσποιήσασθαι. Ὅπου γε καὶ Ὀδυσσεὺς αὐτὸς, υἱὸς εἶναι Κάστορος τοῦ Κρητὸς πλαττόμενος, σὺν Ἰδομενεῖ ἔφασκε προελθεῖν Ἴλιόνδε ἐπὶ τὸν πόλεμον, μὴ ἐξὸν αὐτῷ ἀπανήνασθαι. (Ὀδυσ: Ξ'. ϛ. 238.)

„ . . . . . . . . Οὐδέ τι μῆχος
„ Ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δήμου φῆμις.

Ἀλλὰ γὰρ ἔμπης (Ἰλ: Λ'. ϛ. 766. κ.ξ:) Ὀδυσσεὺς φέρεται συνάμα τῷ Νέστορι, διὰ πάσης ἰὼν τῆς Ἑλλάδος, καὶ τοὺς στρατευσομένους κελεύσει τοῦ Ἀγαμέμνονος ἐπαθροίζων, καὶ τὸν Ἀχιλλέα δὲ τῶν Πηλέως ἀνακτόρων ἀπεξάγων. Ὁ δ' Ἀχιλλεὺς ἄλλως, κἂν τῷ Λυκομήδους γυναικῶν, τῷ ἐν Σκύρῳ ἱστόρηται ταῖς θηλείαις ἀνάμικτος παραδοθῆναι συνδιάγειν κρυπτόμενος, ὡς δῆθεν τοὺς ἡγεμόνας Ἑλλήνων λήσων. Ὅτι δὲ ἄρα, καὶ διὰ κλήρων βαλλομένων τοὺς υἱεῖς ἀφ' ἑκάστων οἴκων μετεπέμποντο, φανερὸν γίνεται ἐκ τῆς Ω'. Ῥαψωδίας (τῆς Ἰλιάδ. 5. 400.) ἐν οἷς ἑαυτὸν Ἑρμῆς Πολύκτορος υἱὸν λέγει τοῦ Μυρμιδόνος: ἅπερ, υἱῶν ἑπτὰ ὄντων, εἰς τὸ Ἀχιλλεῖ αὐτὸν συνεσπέσθαι λαχὼν ὁ κλῆρος ἐσήμηνε.:

„Τῶν μεταπαλλόμενος κλήρῳ λάχον ἐνθάδ' ἕπεσθαι.

Τῷ Πριάμῳ δὲ τὰ πλήθη, ἐκ συμμάχων τὸ πλεῖστον μέρος συνέκειτο τῶν ἐγγύθεν περιοικούντων· καίτοιγε, καὶ ἀπὸ τῶν πορρωτέρω τινὲς προσκέκληντο, οἵτινες (Ἰλ: Ι'. ς. 233. καὶ Μ'. ς. 108.) τηλέκλητοι Ἐπίκουροι ἦκουσαν. Οἷος Μέμνων ἦν ὁ Αἰθιόπων Ἄναξ: (Ὀδυσ: Λ'. ς. 521.) ὃν Παυσανίας (ἐν τοῖς Φωκικοῖς) ἱστορεῖ, ἀπὸ Σούσων πόλεως Περσικῆς, μετὰ δυνάμεως πολυαρίθμου, ἐς Ἴλιον παραγενέσθαι. Τὰ δ' ἄλλα οἱ στρατοὶ ὅλοι, ὅ, τε τῶν Ἑλλήνων, καὶ ὁ τῶν Τρώων, σύν τε τοῖς Ἡγεμόσι, καὶ σὺν ταῖς αὐτῶν ἴλαις ἑκάτερος, ἐπ' ἀκριβὲς καταγεγράφαται ἐν τῷ Β'. τῆς Ἰλιάδος ς. 701. κξ. κξ.

## ΚΕΦΑΛΗ Η'.

## Περὶ Κόρυθος, καὶ Θώρακος, καὶ Κνημίδων, καὶ Ἀσπίδος.

Τῶν ὅπλων, τὰ μὲν εἰς ὀχύρωσιν τοῦ σώματος κατὰ τῆς ὁρμῆς τῶν πολεμίων συνέφερε, τὰ δὲ εἰς ἐπιλάβησιν τῶν ἀντεπιόντων: καὶ τοῦ μὲν πρώτου γένους εἰσὶν ἡ Κόρυς, ἤτοι τὸ Κράνος: ὁ Θώραξ, αἱ Περικνημῖδες, ἡ Ἀσπὶς, ἤγουν ὁ Θυρεός. Τὴν μὲν οὖν Κόρυθα ἐπὶ κεφαλῆς ἐφόρουν, ἣν κυνέην συνεχῶς Ὅμηρος ὀνομάζει, διὰ τὸ πάλαι τὸ τοῦ ποταμίου κυνὸς δέρμα, εἰς κεφαλῆς σκέπας ἐν χρήσει „γενέσθαι, ὥς φησιν Εὐστάθιος: Δορὰ κυνὸς ποταμίου σκέπουσα „τὰς κεφαλὰς τοῖς παλαιοῖς. Παρέμεινε δ' οὖν τοὔνομα ἐφεξῆς, καὶ τῆς ὕλης μεταμειφθήσης, (Ἰλ: Κ'. ς. 257.)

„ Α᾽μφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε
„ Ταυρείην . . . . . . (Καὶ ς. 335)
„ Κρατὶ δ᾽ ἐπὶ κτιδέην κυνέην. . . . . . . .

Κόρυθα δηλονότι, ἐξ Ἴκτίδος δέρματος πεποιημένην, κατὰ τὸν Σχολιαςήν. Ἐ᾽πῆσαν δὲ τὰ πολλὰ τῇ Κυνέῃ, ἐπικείμενοι λόφοι: ἤτοι χαῖται ἵππειοι εἰς κορυφὴν ἐξαιρόμεναι: (Ἰλ: Γ. ς. 336.)

„ Κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
„ Ἵππȣριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευε.

Καὶ ἐν Ἰλ: Τ΄. ς. 381.)

„ . . . . . . Ἡ δ᾽ ἀςὴρ ὡς ἀπέλαμπεν
„ Ἵππȣρις τρυφάλεια· περισσείοντο δ᾽ ἔθειραι
„ Χρύσεαι, ἃς Ἥφαιςος ἵει λόφον ἀμφὶ θαμειάς.

Οὕτω καὶ Θεόκριτος, περὶ Ἱέρωνος τȣ̃ Α᾽νακτος λέγων: (ἐν Εἰδυλλ: Ις΄.)

„ Ἵππειαι δὲ κόρυν σκεπάȣσιν ἔθειραι.

Καὶ παρὰ τῷ Α᾽ριςοφάνει (ἐν Α᾽χαρνεῦσι ς. 1108.) περὶ Λαμάχȣ τȣ̃ Α᾽ρχηγȣ̃:

„ Τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.

Οὕτω καὶ Οὐΐργίλιος (Αἰνειάδ: Γ΄. ς. 468.) τὰς Ἑλλαδικὰς λοφιὰς κλέζει:

Et conum inſignis galeae, criſtasque comantes
Arma Neoptolemi . . . . . . . . . . . .

„ ( Δαιδαλέȣ τε κράνȣς κόνον, ἠδὲ λόφȣς κομόωντας,
„ Ὅπλα Νεοπτολέμȣ . . . . . . . . . .

Καὶ ( Αἰνειάδ: Ζ'. ς. 785. ) περὶ τȣ̃ Τύρνȣ λέγων:

Cui triplici crinita juba galea alta Chimaeram,
Sustinet Aetnaeos efflantem faucibus ignes.

„ (Τȣ̃ χαίτῃ τριλόφῳ κράνος αἰπὺ χίμαιραν ἀνίσχει,
„ Πῦρ ἀπερευγομένην Αἰτνήϊον ἐκ ῥα φαρύγγων.)

Σύνηθες δὲ πάλαι τȣ̃τ' ἦν ἔθνεσι πλείστοις, οἷον τοῖς Καρσὶ παρὰ Πλȣτάρχῳ (ἐν Ἀρταξέρξῃ:) Καὶ γὰρ αὐτȣ̀ς τȣ̀ς Κᾶρας, ἀλεκτρυόνας οἱ Πέρσαι, διὰ τȣ̀ς ἐκόσμȣν τὰ κράνη λόφȣς, ἐκάλȣν. Τῷ αὐτῷ δὲ λόγῳ καὶ παρὰ Σȣετονίῳ (ἐν τῷ Καίσαρι:) ὁ Γαλλικὸς Λεγεὼν alauda (Κορυδαλὸς) προσείρηται. Τὴν τοίνυν Κυνέην ἱμᾶντι ἔφερον συνδȣμένην ὑπὸ τῷ ἀνθερεῶνι, ὃν ἱμάντα Ὅμηρος ὀχέα κατονομάζει, (Ἰλ: Γ'. ς. 371.) λέγων περὶ τȣ̃ Πάριδος:

„ Ἄγχε δέ μιν πολύκεστος ἱμὰς ἁπαλῆς ὑπὸ δειρῆς,
„ Ὅς οἱ ὑπ' ἀνθερεῶνος ὀχεὺς τέτατο τρυφαλείης.

Ὁ δὲ Θώραξ περὶ τὸ στῆθος ἐτίθετο: ἧπερ (Ἰλ: Γ'. ς. 332.) εἴρηται, ἔνθα περὶ τȣ̃ Πάριδος αὖθις ὁ λόγος:

„ Δεύτερον αὖ, θώρηκα περὶ στήθεσσιν ἔδυνεν.

Παραπλήσια δὲ περὶ τȣ̃ Ἡρακλέȣς, καὶ Ἡσίοδος (ἐν τῇ Ἀσπίδι) προήνεγκε. Καὶ ὁ Ξενοφῶν δὲ ὁμοίως ἔφη: „ Θώραξ μὲν γὰρ περὶ τὰ στέρνα ἁρμόζων ἑκάστῳ ἔσται. Ὁ δ' Ἡσύχιος Λωρί-

κιον ἑρμηνεύει, λατινίδι φωνῇ, ὡς μὴ πάνυ τὸν Θώρακα τῶν Ἑλλήνων, τῆς Ῥωμαίων Λωρίκης (Loricae) ἀπεοικέναι δοκεῖν. Ὁ μέν τοι Ἀπολλώνιος (ἐν τῷ Γ΄. τῶν Ἀργοναυτικ:) προσάπτει τῷ στέρνῳ. Θώρηκα στάδιον: προμήκη δὴ τοῦτον καὶ ὄρθιον αἱρόμενον, ἤπερ οἴονται: ὁπότε τῶν θωρήκων οἱ ἄλλοι ἐφέροντο ἁλυσίδετοι. Πόρπαις, ἢ ἀγκιστρίοις συμπεπλεγμένοι, οἷος ἦν ὅνπερ Οὐϊργίλιος περιάδει: (Αἰνειάδ: Γ΄. ϛ. 239.)

Levibus . . . . . hamis consertam, auroque trilicem Loricam . . . . . . . . . . . . . . . . .

„(. . . Λεπτοῖς ἀγκίστροις χρυσέοις συναρηρόσι τριπλῆ
„ Θώρακα. . . . . . . . . . . . . . .

Τὰ πολλὰ ὁ θώραξ ἐκ μετάλλου συνέκειτο στερεωτέρου, οἷον ἐκ χαλκοῦ· διὸ καὶ συνεχῶς Θώρηξ χάλκεος παρ' Ὁμήρῳ ἀκούει: (Ἰλ: Ν. ϛ. 371. καὶ 397.) Ἄλλοτε δὲ συνεκπέπλεκτο καὶ ἐκ λίνου· (Ἰλ: Β΄. ϛ. 529.) ὡς περὶ τοῦ Αἴαντος εἴρηται τοῦ Ὀϊλῆος, ὅτι

„ . . . . . Ὀλίγος μὲν ἔην λινοθώρηξ.

Καὶ ὑπὸ τοῦ Ἀλκαίου δ΄. ἐπαινοῦνται: Θώρηκές τε νέῳ λίνῳ.

Οἷά πε καὶ παρὰ Ξενοφῶντι ἀναφέρεται: λινοῦς θώραξ. Καὶ τοιῷδε ἄρα λόγῳ καὶ Ὅμηρος, χιτῶνα τοῖς ὁπλίταις περιάπτει, ὃν χάλκεον ὀνομάζει, καὶ στρεπτὸν· ὡς εἶναι θώρακα τὸν τοιοῦτον (ex annulis tortis) ἐκ δακτυλίων περιστρέπτων:) συγκείμενον. (Ἰλ: Β΄. ϛ. 416.

„ Ἐντόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι
„ Χαλκῷ ῥωγαλέον . . . . Καὶ Ἰλ: Κ΄. ϛ. 131.)

ὁ Ἀγαμέμνων . . . . Ἔνδυνε περὶ ϛήθεσσι χιτῶνα. Ὁ δ' αὐτὸς προσεπενδύσατο καὶ δορὰν λεόντιον. ( Αὐτ : ϛ. 23. )

„ Ἀμφὶ δ' ἔπειτα δαφοινὸν ἑέσσατο δέρμα λέοντος
„ Αἴθωνος μεγάλοιο, ποδηνεκὲς . . . . . . .

Ὡσαύτως δὲ καὶ Μενέλαος: ( αὐτ : ϛ 29. )

„ Παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ κάλυψε
„ Ποικίλῃ . . . . . . . . . . . . . .

Ὅπερ οὖν καὶ Πίνδαρος ( ἐν Ὠδ': Θ'. Πυθ: ) προσάπτει Πελία τῷ Ἄνακτι, παρδαλέαν. Καὶ ὡσαύτως δὲ καὶ Ἡρακλῆς, δορὰν λεόντιον περιβάλλεται παρὰ τῷ Θεοκρίτῳ ( ἐν Εἰδυλ: ΚΔ'. κζ. ) ὅπως ἂν ᾖ ἕρκος ἐνυαλίου. Καὶ παρὰ τῷ Ὀρφεῖ δὲ, Ἀγκαῖος ἄρκτου δέρμα ἐφόρει:

„ Ἄρκτου λάσιον ϛέρνοις ἀμπίσχετο δέρμα.

Καὶ παρὰ τῷ Ἀπολλωνίῳ ( ἐν τῷ Α'. τῶν Ἀργοναυτικ: ) ὁ Ἄργος ἐνδέδυτο δέρματι Ταύρου:

„ Δέρμα δ' ὁ μὲν ταύροιο ποδηνεκὲς ἀμπέχετ' ὤμους
„ Ἄργος Ἀγαςορίδης λάχνῃ μέλαν . . . . .

Ἔνθ' ὁ Σχολιαςὴς, κοινὸν γενέσθαι τουτὶ τὸ ἔθος, τοῖς παλαιοῖς Ἥρωσι πᾶσι παρέδωκε: Σύνηθες ( λέγων ) τοῖς Ἥρωσι τὸ δερματοφορεῖν· τῷ δ' αὐτῷ λόγῳ καὶ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ: Ε'. ϛ. 37. ) Ἀκέςης παρίςαται:

Horridus in jaculis et pelle Libyſtidis urſae
„(Ἐκπάγλος βελέεσσι, δορᾷ τ' ἄρκτοιο Λιβύσσης.)

Ἐν δὲ τῷ Η΄. τῆς Αἰνειάδος (ϛ. 552:) παρίστησιν ὁ αὐτὸς Οὐΐργίλιος τὸν Αἰνείαν:

Quem fulva leonis
Pellis obit totum, praefulgens unguibus aureis.

„ ( Τὸν πάντῃ ἀμπεῖχε δαφοινὸν δέρμα λέοντος,
„ Χρυσείοις ὀνύχεσσι διαπρεπὲς ἀγλαέεσσι.)

Προσήπτετο δ' ἐπὶ τούτοις καὶ ζωστὴρ, ᾧ τὰς ὀσφύας τὰς αὐτῶν οἱ ὁπλοφόροι συνεῖχον: Ζώνην Ὅμηρος ὀνομάζει καὶ μίτρην. Οὕτως (Ἰλ.: Ε΄. ϛ. 857.) ὁ Ἄρης ἐτέτρωτο:

„ Νείατον ἐς κενεῶνα, ὅθι ζωννύσκετο μίτρην.

Καί γε Ἰφιδάμας τὸν Ἀγαμέμνονα: (Ἰλ: Λ΄. ϛ. 234.)

„ Ἔνυξε . . . κατὰ ζώνην, θώρηκος ἔνερθεν.

Ἀλλὰ καὶ Μενελάῳ, Πανδάρου τετοξευκότος: (Ἰλ: Δ΄. ϛ. 186. καὶ 216.) ὁ ζωστὴρ ἐπήμυνε, τοῦ μὴ τῷ βέλει τὴν γαστέρα διαπαρῆναι:

„ Εἰρύσατο ζωστήρ τε πανάιολος, ἠδ' ὑπένερθεν
„ Ζῶμά τε καὶ μίτρη, τὴν χαλκῆες κάμον ἄνδρες.

Κατὰ γὰρ τὸν Σχολιαστὴν „χαλκῆ τις ὑπῆρχε λεπὶς, ἣν „ἐζώννυντο περὶ τὸν κενεῶνα χάριν πλείονος ἀσφαλείας. Ἀλλ' (ἐν Ἰλιάδ: Π΄. ϛ. 419.) Ἀμιτροχίτωνες προσείρηνται,

„ Οἳ ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμέντες·

Οὕς περ ἀζώστους ἑρμηνεύει Ἀθήναιος. (ἐν Βιβλ: ΙΒ΄) Ἐζώννυντο μέντοιγε οἱ ἐπὶ τὴν μάχην παρασκευαζόμενοι: (Ἰλ: Λ΄. ϛ. 15.)

„ Ἀτρείδης δ' ἐβόησεν, ἰδὲ ζώννυσθαι ἄνωγε:

Τοῦτο δ' ἦν ὁπλίζεσθαι: ὅθεν ὁ Παυσανίας (ἐν τοῖς Βοιωτικ:)

„Τὸ δὲ ἐνδῦναι τὰ ὅπλα, ἐκάλουν ἄρα οἱ παλαιοὶ ζώννυσθαι·
„καὶ δὴ Ὅμηρον, Ἄρει τὸν Ἀγαμέμνονα ποιήσαντα ἐοικέ-
„ναι τὴν ζώνην, τὴν τῶν ὅπλων σκευὴν, φασὶν, εἰκάζειν.

Τον αὐτὸν δὲ τρόπον καὶ τοὺς Ῥωμαίους εἰωθέναι ζώννυσθαι, ἐξ ἄλλων τε δὴ ξυγγραφέων, καὶ ἐκ τοῦ Πλουτάρχου δῆλον, ὃς (ἐν Βίῳ τῷ „Κοριολαν.) γράφει οὕτως: Ἦν δὲ τότε τοῖς Ῥωμαίοις ἔθος, „εἰς τάξιν καθισαμένοις, καὶ μέλλουσι τοὺς θυρεοὺς λαμβά-„νειν, καὶ περιζώννυσθαι τὴν Τήβεννον. Μετὰ δὲ τὴν συμβολὴν ἀπετίθεντο τὴν ζώνην. Διὸ καὶ Ξέρξης καθ' Ἡρόδοτον (ἐν Οὐρανίᾳ) φεύγων ἀθήνηθεν, ἐν Ἀβδήροις ἱστόρηται ἀπολύσασθαι τὴν ζώνην, ὡς ἐν χώρᾳ τῇ ἀπὸ τῶν πολεμίων ἐν ἀσφαλείᾳ καθισαμένῃ: ὡς ἐν ἀδείᾳ ἐών.

Ὡσαύτως δὲ καὶ τὰς κνήμας ὀχύρουν οἱ Παλαιοὶ κνημῖδας περιβαλλόμενοι, καθάπερ Ὅμηρος ὀνομάζει, τὸν Πάριδός τε καὶ Ἀχιλλέως ἐνοπλισμὸν περιγράφων: (Ἰλ: Γ'. ϛ. 330. καὶ Π'. ϛ. 131. καὶ Σ'. ϛ. 459. καὶ Τ'. ϛ. 369.)

„Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
„Καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας.

Ἐν πόρπαις ἀργυραῖς δηλονότι συνηρμοσμένας ταῖς κνήμαις. Οὕτω δὲ καὶ Ἡρακλῆς παρ' Ἡσιόδῳ (ἐν τῇ Ἀσπίδι ϛ. 122.)

„. . . . . Κνημῖδας ὀρειχάλκοιο φαεινοῦ
„Ἡφαίστου κλυτὰ δῶρα περὶ κνήμῃσιν ἔθηκε.

Καὶ Ἀλκαῖος παρὰ τῷ Ἀθηναίῳ (Βιβλ: ΙΔ'.) περὶ τοῦ δώμα-„τος, ὃ φησὶ τῷ Ἄρει ἠυτρεπίσθαι: Χάλκειαι δὲ πασσάλοις κρυπ-„τοῖσι περικείμεναι λαμπραὶ κνημῖδες.

Ἐπὶ πᾶσι τῷ Θυρεῷ τὸ σῶμα ὅλον ἐπέσκεπον·

„Μηροὺς τε, κνήμας τε κάτω, καὶ στέρνα, καὶ ὤμους·
„ Ἀσπίδος εὐρείης γαστρὶ καλυψαμένης.

Ἤ φησὶ Τυρταῖος. Ἐκ δέρματος δὲ βοείου τὰ πολλὰ συνέκειτο: διὸ καὶ ἀσπίδας βοείας συνεχῶς Ὅμηρος ὀνομάζει: (Ἰλ: Ε΄. ς. 453. καὶ Μ΄. ς. 426.) Πολλαπλοῦν δ' ἐπετίθετο δέρμα, ἵνα αἱ ἀσπίδες ἀντέχοιεν ἰσχυρότερον, ἔτι καὶ χαλκείου ἐλάσματος προσυπερεπαγομένου, ὃν τρόπον ὁ Ποιητὴς τὴν Σαρπηδόνος ἐστὶ περιγράφων Ἀσπίδα· (Ἰλ: Μ΄. ς. 294.)

„ Αὐτίκα δ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσε ἴσην
„ Καλὴν, χαλκείην, ἐξήλατον, ἣν ἄρα χαλκεὺς
„ Ἤλασεν· ἔντοσθεν δὲ βοείας ῥάψε θαμειὰς,
„ Χρυσείης ῥάβδοισι διηνεκέσιν περὶ κύκλον.

Οὕτως ἂν αὐτὸς φαίην τὴν Αἴαντος ἀσπίδα ἑπταβόειον εἶναι, ἑπταπλασίαις δηλονότι δοραῖς βοείοις πεπυκασμένην· ἐφ' αἷς ἔλατος ἦν ὁ χαλκὸς ὄγδοος. (Ἰλ: Η΄. ς. 222.)

„ . . . . Σάκος αἰόλον ἑπταβόειον
„ Ταύρων ζατρεφέων, ἐπὶ δ' ὄγδοον ἤλασε χαλκόν.

Ἀλλ' ἡ τοῦ Αἰνείου ἀσπὶς, πτύχας ἦν ἔχουσα πέντε: δύο μὲν χαλκοῦ, δύο δὲ κασσιτέρου, μίαν δὲ χρυσοῦ. (Ἰλ: Υ΄. ς. 276.)

„ Λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός . . . . .

Πέντε δὲ λέγονται εἶναι καὶ τῆς Ἀχιλλέως ἀσπίδος αἱ πτύχες περὶ ἧς (Ἰλ: Σ΄. ς. 481.)

„ Πέντε δ' ἄρ αὐτῷ ἔσαν σάκεος πτύχες.

Καὶ Τεῦκρος δ' ὡσαύτως (Ἰλ: Ο΄. ς. 479.)

„ . . . . Ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον.

Καθ' Ἡσύχιον, τετράπτυχον, ἐκ τεσσάρων πτυχῶν τεθειμένον: ἢ, ἐκ τεσσάρων δερμάτων συνεςὸς: ὡς ὁ Σχολιαςὴς φησὶν. Σχήματος δὲ ἦν κυκλοειδῦς: ὅθεν καὶ εὐκύκλους ἀσπίδας ὠνόμασεν Ὅμηρος (Ἰλ: Ε'. ς. 453.) Καὶ ἄντυγα πανταχοῦ κλείζει τὴν ἐκτὸς περιφέρειαν· ἢ καὶ ποικίλη ἦν καὶ πολλαπλῆ τις, τοῦ δέρματος κατὰ τὸ ἄκρον προεξέχοντος, ὡς περὶ τοῦ Ἕκτορος εἴρηται: (Ἰλ: Ζ'. ς. 117.)

„Ἀμφὶ δέ μιν σφυρὰ τύπτε, καὶ αὐχένα δέρμα κελαινὸν
„Ἄντυξ, ἢ πυμάτη θέεν ἀσπίδος ὀμφαλοέσσης.

Προσῆπτο δὲ καὶ ἱμὰς, ὃν Ὅμηρος τελαμῶνα καλεῖ· ὅν περ καὶ ἀργυροῦν ἐν τῇ Ἀχιλλέως ἀσπίδι φημίζει. (Ἰλ: Σ'. ς. 479.)

„ . . . . . Περὶ δ' ἄντυγα βάλλε φαεινὴν,
„ Τρίπλακα, μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα.

Ἀπηώρητο δὲ ἡ ἀσπὶς ἀπὸ τῶν ὤμων (Ἰλ: Π'. ς. 303.)

„ . . . . . . Αὐτὰρ ἐπ ὤμων
„ Ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα.

Ἦν δ' ἐπὶ τὰ ἀριςερὰ κλίνουσα, ὡς ἂν τῇ δεξιᾷ χειρὶ ἐλευθέρᾳ οὔσῃ ἐπεμβαίνοιεν τῷ πολεμίῳ· (Ἰλ: Π'. ς. 106.) ὡς περὶ τοῦ Αἴαντος εἴρηται:

„ . . . . . . . . Ὁ δ' ἀριςερὸν ὦμον ἔκαμνε
„ Ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον . . . . .

Ἔνθεντοι καὶ παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ: Β'. ς. 672.) Ἀἰνείας:
Hic ferro accingor rurſus, clypeoque ſiniſtram
Inſertabam aptans . . . . . . . . .

„ (Ἔνθαδὶ δεξιτερὴν ἐπὶ ὥπλισα χεῖρα σιδήρῳ,
„ Λαιὴν δ' ἄρσα σάκει.) . . . . . . . . .

Ταύτῃ δὲ καὶ Αἰλιανὸς (ἐν Βιβλ: ΙΑ'. Κεφ: Θ'.) διέξεισιν, ὅτι Σκιπίων τῷ ϛρατιώτῃ ἔφη, τῷ ἐνεργῇ τὴν ἀσπίδα ἐπιδεικνυμένῳ: „τό, μὴ ἐπὶ τῇ λαιῇ, ἀλλ' ἐπὶ τῇ δεξιτερῇ, Ρώμαῖον ἄνδρα „δεῖν πεποιθέναι. Πλίνιος δὲ (ἐν Βιβλ: ΛΓ'. Κεφ: Α'. γράφει: Qui annuli ufum primus inftituit, cunctanter id fecit, laevisque manibus ac latentibus induit, cum fi honos fecurus fuiffet, dextra fuerit oftentandus. Quod fi impedimentum aliquod in ea potuit intelligi, etiam infertorii ufu argumentum eft majus, „in laeva fuiffe, qua fcutum rapitur. (Ὁ πρῶτος „τὴν τοῦ δακτυλίου χρῆσιν εἰσενεγκών, σχολῇ τόδ' ἐποίησε, χερσὶν ἐνάρσας λαιαῖς τε καὶ λανθανέσαις· τὸ γὰρ „εἰς τιμὴν βεβαίαν οὖσαν, τῇ δεξιᾷ ἔδει παρεπιδείκνυσθαι. „Ὡς εἴγε τι τὸ κωλύον ἐν ταύτῃ εἶχεν ὑπεννοεῖσθαι, κἂν „αὐτῇ τῇ Χρήσει τοῦ τελαμῶνος (infertorii) ὁ λόγος ὁ τοῦ „κωλύματος μείζων ἐν τῇ λαιᾷ εἴη, δι' ἧς περ τὸ σάκος „αἴρεται.) Infertorium δὲ δήπου Πλίνιος ὀνομάζει, τὸν καθ' Ὅμηρον τελαμῶνα: εἰ μὴ βουλοίμεθα νοεῖν αὐτὸν τοὺς Κανόνας, οὓς ἐν τῇ Ἀσπίδι καλεῖ, τῇ τοῦ Ἰδομενέως ἐκείνῃ (Ἰλ: Ν'. ϛ. 407.) ἥν,

„ Δινωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν.

Καὶ (Ἰλ: Θ'. ϛ. 192.) ἐν τῇ τοῦ Νέϛορος, ἣν ἐξαίρει:

„ Ἀσπίδα Νεϛορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει·
„ Πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν.

Τὰς γὰν τοιάτας Κανόνας, ὁ μὲν Σχολιαςής, ῥάβδας εἶπεν, αἷς ἐκράτουν τὰς ἀσπίδας. Ὁ δὲ Εὐςάθιος, ἐξ ἀρχαιοτέρων δόξης, ῥάβδας ἀναφορέας τῆς ἀσπίδος: ὅπω γὰρ εὕρητο τὰ ὄχανα: τυτέςιν, οἱ δι' ἱμάντων πόρπακες. Ὁ δὲ Ἡσύχιος, Κανόνες, φησὶν, αἱ τῆς ἀσπίδος ῥάβδοι, ἀφ' ὧν ὁ τελαμὼν ἐξῆπτο.

## ΚΕΦΑΛ. Θ'.

### Περὶ δόρατος, καὶ ξίφας, καὶ τόξα, καὶ ἄλλων ὅπλων.

Ἐν τοῖς εἰς λώβην τὰ πολεμία συντελᾶσιν ὅπλοις πρῶτον τέτακται τὸ δόρυ, ὑφ' ὃ μόνα τῇ κλήσει καὶ τὰ λοιπὰ πάντα πολλάκις ὑποσημαίνεται. Υ'φίςατο δὲ τᾶτο ἐκ ξύλα τὰ πολλὰ Μελίνης: ὅθεν Μελίην τὸ δόρυ ὁ Ποιητὴς συνεχῶς ὀνομάζει: ἰδίᾳ δὲ τὸ τᾶ Ἀχιλλέως· (Ἰλ: Τ'. ς. 390.)

„ Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων·
„ Πηλία ἐκ κορυφῆς, φόνον ἔμμεναι Ἡρώεσσιν·

Ἔνθεν τοι Πλίνιος (Βιβλ. Ιϛ'. Κεφ. ΙΓ'.) περὶ Μελίας τᾶ δένδρα λέγων: Procera haec ac teres, pennata et ipſa folio, multumque Homeri praeconio, et Achillis haſta nobilitata.

„(Πρόμηκες (φησὶ) τὸ φυτὸν τῦτο, ϗ ϛρογγύλον, πτι-
„λωτόν τε ἔχον τὸ φύλλον, ἐν λόγῳ πολλῷ καθεϛὼς, ἐπί-
„σημον ὑπό τε Ὁμήρυ, ϗ διὰ τὸ Ἀχιλλέως δόρυ.) Ἡ δὲ αἰχμὴ ἡ τῦ δόρατος ἦν χαλκίνη, ἐξ ὗ ϗ χάλκεον ἔγχος τὸ ὅλον προσείρηται. Ἦν δὲ τύτυ ϗ τὸ κάτω ἐκ χαλκῦ εἰς ὀξὺ ἀπολῆγον, ὡς ἂν τῇ γῇ τὰ δόρατα ἐμπηγνύμενα ὄρθια ἱϛῶνται. Σαυρωτῆρα Ὅμηρος ὀνομάζει: (Ἰλ: Κ'. ϛ. 153.) Ἡσύχιος δὲ, τὸ ἔσχατον σιδήριον τῦ δόρατος· ϗ ὕτω δὲ ϗ Πολυδεύκης: (Βιβλ. Α'. Κεφ: Ε'.) Εὐϛάθιος δὲ, ὑπὸ τῶν ἀρχαίων φησὶν εἰρῆσθαι: τὸ ἐν ἑτέρῳ ἄκρῳ τῦ δόρατος ἔσχατον ὀπίσθιον
„σιδήριον: προϛίθησι δ' αὐτὸς, ὅτι τὸ σιδήριον κοῖλον ἦν ἐξ
„ἄκρυ ὀξύ· ᾧ ἐντιθέμενον τὸ ὀπίσω ἄκρον τῦ δόρατος, ὀρ-
„θὸν αὐτὸ ἐξᾶγαι πρὸς τὸ, πηγνύμενον κατὰ γῆς: (πάντως δὴ) κατὰ σκόλοπα, ἤγυν ϛαυρόν· ὥϛε εἶναι, οἷον τινὰ ϛαυρωτῆρα. Ὅπως ἂν ὖν ϗ ἔχοι τὸ περὶ τύτυ, ἀλλ' ἐκεῖνο γε δῆλον, τὸ Σαυρωτῆρι τὺς παλαιὺς εἰωθέναι τὰ δόρατα ὄρθια ἐφιϛάνειν, ὁσάκις ἂν τῦ πολεμικῦ μόχθυ παύσαιντο· ὡς ἰδεῖν ἐϛὶ Διομήδην τε, ϗ τὺς ἀμφ' ἐκεῖνον καθεύδοντας, ἔνθ' εἴρηται:

„ . . . . . . . . . . Ἔγχεα δέ σφιν
„ Ὀρθ' ἐπὶ σαυρωτῆρος ἐλήλατο. . . . .

Ταυτὰ τηρεῖσθαι τοῖς Γλυρεῦσι ἐπ' αὐτῦ παρέδωκεν Ἀριϛοτέλης, (ἐν τῷ περὶ τῆς Ποιητικ. Τέχν.) Καὶ παραπλήσιόν τι δὲ, ϗ παρ' Ἑβραίοις κρατῆσαι, ἐκ τῆς Α'. τῶν Βασιλ: εὔδηλον. Ἄλλως τε δὲ, ϗ ἐπὶ τῶν δοράτων ἵϛαντο οἱ ὁπλῖται ἐπικλινθέντες, ὥσπερ Ἀχιλλεὺς ἤδη κατάκοπος: (Ἰλ: Χ'. ϛ. 225.)

„ Στῆ δ᾽ ἄρ᾽ ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς.

Ἦν δὲ δοράτων τὸ εἶδος διττόν: τὸ μὲν, ᾧπερ ἐγγύθεν, τὸ δ᾽ ᾧ „πόῤῥωθεν ἀπεμάχοντο ( Στράβ: ἐν Βιβλ. Ι΄.) Διττὴ γὰρ ἡ τῶν „δοράτων χρῆσις: ἡ μὲν ἐκ χειρὸς, ἡ δ᾽ ὡς παλτοῖς. Παρ᾽ Ὁμήρῳ οὖν οἱ Εὐβοεῖς ἐπαίνε πολλȣ͂ τυγχάνουσιν, (Ιλ: Β΄. ς. 543) ἐν οἷς περιᾴδονται.

„ Αἰχμηταὶ, μεμαῶτες ὀρεκτῇσι μελίῃσι
„ Θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσσι.

Τὸ δ᾽ Ἀχιλλέως δόρυ τοιοῦτον ἦν, οἷον οὐδεὶς εἶχε δονεῖν πλὴν αὐτοῦ μόνου. Ἐκ δὲ τοῦ ἑτέρου εἴδους ὑπῆρχε τὸ Ἕκτορος ἔγχος, ὃ κατ᾽ Ἀχιλλέως προῆκεν: (Ἰλ: Χ΄. ς. 293.)

„ Στῆ δὲ κατηφήσας, οὐδ᾽ ἄλλ᾽ ἔχε μείλινον ἔγχος.

Τῷ τοι καὶ δραξάμενος τοῦ ξίφους, αὐτῷ ἐπενέβη. Οὕτω δὲ δὴ καὶ Πάρις τε καὶ Μενέλαος ἐν ἀλλήλοις λαχόντες, πότερος πρότερος ἀφίοι τὸ δόρυ: ἐπεὶ ἐγένετο ἑκατέρωθεν, συνέβαλον ξίφει· (Ἰλ: Γ΄. ς. 340. κξ: ) ὡσαύτως παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: ΚΒ΄: ) Κάστωρ καὶ Λυγκεὺς συνέστρεψαν μὲν ἀμοιβαδὸν τὰ δόρατα πρὸς ἀλλήλους· τῶν δ᾽ ἐν τοῖς ὀμφαλοῖς τῶν ἀσπίδων διαθραυσθέντων, τὰ ξίφη ἐσπάσαντο.

„ Τὼ δ᾽ ἄορ ἐν κολεοῖσιν ἐρυσσαμένω φόνον αὖτις
„ Τεῦχον ἐν ἀλλήλοισι. . . . . . . . .

Τὸ δέ τοι ξίφος ἔφερον ἀπὸ ὤμων ἱμάντι ἀπηρτημένον: (Ἰλ: Β΄. ς. 45. καὶ Λ΄: ς. 29.) ὡς περὶ Ἀγαμέμνονος εἴρηται:

„ Ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισι βάλλετο ξίφος ἀργυρόηλον: καὶ (Ὀδυσ: Β΄: ς. 3.) περὶ τοῦ Τηλεμάχου:

„ . . . . . Περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ·

Ἡσίοδος δ' ἐν τῇ τῦ Ἡρακλέυς Ἀσπίδι (ϛ. 222.) ἔχει:

„ Ὤμοισιν δέ μιν ἀμφὶ μελίνδετον ἄορ ἔκειτο

„ Χάλκεον ἐκ τελαμῶνος. . . . . . . .

Ἀπέληγε δὲ τὸ ξίφος ἐπὶ τῆς πλευρᾶς· διὸ καὶ πανταχῦ εἴρηται τὺς πολεμιςὰς σπᾶσθαι τὸ ξίφος παρὰ μηρῦ· ὡς ἐν Ἰλ: Ά. ϛ. 190.) καὶ ἄλλοθι.

„ . . . . Φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηρῦ.

Οὕτω δὲ καὶ παρὰ Ὀυϊργιλίῳ (Αἰνειάδ: Ί. ϛ: 124.)

Αἰνείας . . . . . . Ocyus enſem

Eripit a femore.

„ . . . . Ὦκα μάλ' ἄορ

„ Παῤ μηρῦ σπάσατο. . . . . . . .

Καὶ (ἐν τῷ Ή: δὲ τῆς Αἰνειάδος ϛ. 459.) ὁ Τύρνος:

Lateri atque humeris Tegaeum ſubligat enſem ;

„ (Ἀμφ' ὤμοισιν ἑοῖσι Τεγαῖον βάλλετο ἄορ.)

Ἀπὸ δὲ τῦ κυλεῦ τῦ ξίφυς, ἀπηρτημένην ἔφερον μάχαιραν, ὥσπερ Ἀτρείδης: (Ἰλ: Γ'. ϛ. 272.)

„ Ἀτρείδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν

„ Ἥ οἱ παρ ξίφεος μέγα κυλεὸν αἰὲν ἄωρτο·

„ Ἀρνῶν ἐκ κεφαλῶν τάμνε τρίχας. . . . .

Εἰκὸς δ' αὐτὺς, καὶ ἐπὶ τῆς δαιτὸς τῷ μαχαιρίῳ τῷ δε προσκεχρῆσθαι, μηδεμιᾶς παρ' Ἕλλησι φωνῆς ἄλλης, εἰς τὴν τέτυ δήλωσιν δεξιῶς ἐχύσης. Τὸ δ' ἔθος τῦτο τοῖς παλαιτέροις Γάλλοις Ποσειδώνιος

ἀπονέμει παρ' Ἀθηναίῳ: (ἐν Βιβλ: ΙΔ' :) ὅπερ ἂν ᾖ καθ' ἡμᾶς πολλοῖς τῶν στρατευομένων ἴσμεν ἐν συνήθει.

Μετὰ δὴ τὸ ξίφος ἥκει τὸ τόξον, ὃ παραπλησίως ἀπὸ τῶν ὤμων ἔφερον ἠρτημένον, μετὰ τῆς Φαρέτρας, τῆς τοὺς ἰοὺς φερούσης· οἷόσπερ Ἀπόλλων ἀνεφάνη: (Ἰλ: Α'. ς. 45.)

„Τόξ' ὤμοισιν ἔχων, ἀμφηρεφέα τε Φαρέτρην.

Οὕτω δέ τοι καὶ Ἡρακλῆς παρ' Ἡσιόδῳ (ἐν τῇ Ἀσπίδι ς. 131.)

„ . . . . Κοίλην δὲ περὶ στήθεσφι Φαρέτρην,
„Καββάλετ' ἐξόπιθεν.

Καὶ παρὰ Οὐϊργιλίῳ δὲ, τῇ τε παρθενικῇ Καμίλλῃ (Αἰνειάδ: ΙΑ'. ς. 652.) καὶ τῷ τῆς Κυβέλης Ἱεροπόλῳ τῷ Χλωρεῖ: (Αὐτόθ: ς. 774.)

Aureus ex humeris sonat arcus
„Κλάγγε τε ἐξ ὤμοιν χρυσοῦς βιός. . . . .

Τῆς δὲ δὴ τοξείας ὑπογραφική τις εἰκὼν παρίσταται, (Ἰλ. Δ. ς. 104.) ἔνθα Μενέλαον ἔτρωσε τοξεύσας ὁ Πάνδαρος. Τὰ μὲν οὖν τοῦ τόξου κέρα Αἰγὸς ἦν ἀγρίας, χρυσῇ δ' ἐπέκειτο κορώνη, ἐν ᾗ ἐνετίθεντο οἱ οἰστοί· ἡ δὲ δὴ νευρὰ ἑτέρωθεν ἦν ἐκ βοός. Ὁ γοῦν τοξεύσων αὐτὴν τῷ μαζῷ προσάγει, ἥπερ εἰώθεσαν καὶ αἱ Ἀμαζόνες. Τὰ νῦν μέντοιγε ἄχρι καὶ ὠτὸς τοῦ δεξιοῦ προσεφέλκεται, φησὶν Εὐστάθιος. Ὃ δὴ καὶ Πέρσας ποιεῖν ἐπιμαρτυρεῖ Προκόπιος (ἐν τῷ Α'. Βιβλ. τοῦ „Περσικ. Πολέμου.) Ἕλκεται δὲ αὐτοῖς κατὰ τὸ μέτωπον „ἡ νευρὰ, παρ' αὐτὸ μάλιστα τῶν ὤτων τὸ δεξιόν. Τὸ γοῦν βέλος σίδηρον Ὅμηρος μετονομάζει, ἀπὸ τῆς ἀκμῆς δηλονότι τῆς σιδήρῳ ἐποξυνομένης πρὸς τὸ ἀσφαλέστερον. Ἄλλως γε μὴν καὶ φαρμάκῳ ἐπεχρίετο τὰ βέλεμνα δηλητηρίῳ, ὡς δῆλον (ἐκ τῆς Α': Ὀδυσ. ς. 261.) Ἔνθ' Ὀδυσσεὺς, εἰς Ἔφυραν λέγεται ἀπελθεῖν,

„ Φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
„ Ἰὺς χρίεσθαι χαλκήρεας . . . . . .

Οὕτω δὴ καὶ Οὐϊργίλιος (Θ΄. τῆς Αἰνειάδ. ς. 772.) τὸν θηρολέτην εἰσάγεται Ἄμυκον . . . . Quo non felicior alter Ungere tela manu, ferrumque armare veneno.

„ ( . . . . . . Τοῦ φέρτερος ὄυτις
„ Ἤδει χάλκεα τόξα χυμοῖς δηλήμοσι χρίειν.)

Τὐτὶ μέντοι Παρθυαίοις μᾶλλον καὶ Σκύθαις συνηθέστερον ἦν, ἢ Ἕλλησιν. Ἀλλὰ γὰρ ὐ μόνοις οἰστοῖς, τοῖς ἐκ τόξυ προϊεμένοις ἐτύγχανον χρώμενοι, ἀλλὰ καὶ βελέμνοις ἑτέροις, μάλιστα τοῖς ἀκοντίοις, ὥσπερ Ὅμηρος ὀνομάζει τοῖς ἐκ χειρὸς βαλλομένοις. *)

Προσεχὴς ἦν ἡ Σφενδόνη τῷ τόξῳ: ἣν ὁ Ποιητὴς ἀποκαλεῖ ἐύστροφον οἰὸς ἄωτον (Ἰλ: Ν΄. ς. 599. καὶ ς. 716.) Ἔνθα τὐς Λωκρὐς, φησὶ, μηδαμῶς ἀσπίσι κεχρῆσθαι, μηδ' ἔγχεσιν, ἀλλὰ τόξοις τε καὶ σφενδόναις. Τῷ δ' αὐτῷ ἐρίῳ ἡ χεὶρ Ἀγήνορος περιδέδετο, ἔγχει τραυματισθεῖσα.

„ Αὐτὴν δὲ ξυνέδησεν ἐϋστρόφῳ οἰὸς ἀώτῳ
„ Σφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.

Δὐλικώτερον δ' ὖν τοῦ ὁπλισμὐ τὐτὐ τὸ εἶδος εἶναι ὁ Κῦρος ἔφασκε, παρὰ τῷ Ξενοφῶντι, ἐν τῷ Ζ΄. τῆς Κυροπαιδείας, καὶ τῷδε χρῆσθαι ἐβὐλετο τὸν ὄχλον τὸν ἄοπλον.

*) Ἢ ἀφιεμένοις

Οʹ δὲ Μακεδὼν Αʹλέξανδρος, παρὰ τῷ Κερτίῳ (ἐν Βιβλ. Δʹ.) τὰ τῶν πολεμίων ςίφη ἐξαίρων: Intuerentur (φησὶ) barbarorum inconditum agmen, aliud nihil praeter jaculum habere; alium fundâ faxa vibrare, paucis jufta arma effe. „(Ἴδοιεν ἂν τὸν ἀκατάσκευον ςρατὸν τῶν βαρβάρων: „τὸν μὲν, μηδὲν ἢ ἀκόντιον ἔχειν, τὸν δὲ σφενδόνῃ πέτρας „ἀναπάλλειν· ὀλίγοις ὅπλα τάγε εἰκότα παρεῖναι.)

Αʹλλὰ καὶ οἱ Ἥρωες αὐτοὶ λίθους συνέςρεφον ἀπὸ χειρὸς σφενδονίζοντες: οὕτω καὶ γὰρ Αʹγαμέμνων (ʹΙλ. Νʹ. ς. 265. καὶ 541.) μαχόμενος παρίςαται:

„Ἔγχεσί τε, ἄορί τε, μεγάλοισί τε χερμαδίοισι:

Καὶ Αἴας δὲ τὸν Ἕκτορα (Ἰλ: Ηʹ. ς. 268. καὶ Ξʹ. ς. 410.)

Πέτρῳ μυλοειδεῖ βάλλεν. Καὶ Ἕκτωρ τὸν Εʹπειγέα: (Ἰλ: Πʹ. ς. 571.) καὶ Πάτροκλος Σθένελον: (Ἰλ: Πʹ. ς. 587.) Οὕτω δὲ καὶ παρὰ Πινδάρῳ (Ὠ'δῇ: Δʹ. Νεμ.) Πέτρῳ ἀπεκτάνθησαν δυοκαίδεκα Ἥρωες. Καὶ τὸν Μαρδόνιον δὲ, Αʹνὴρ Σπαρτιάτης ἐν τῇ μάχῃ ἀπέκτεινε, λίθῳ τὴν κεφαλὴν πατάξας, ὡς ἐςὶ παρὰ Πλουτάρχῳ μαθεῖν (ἐν βίῳ Αʹριςείδ:) Αʹπὸ δὲ τῶν τειχέων μάλιςα εἰώθεσαν πέτρας κατὰ τῶν ἐπιόντων πολεμίων ἐπαφιέναι: καθάπερ οἱ Δαναοί: (Ἰλ. Μʹ. ς. 154.)

„ . . . . Χερμαδίοισιν ἐϋδμήτων ἀπὸ πύργων
„ Βάλλον, ἀμυνόμενοι σφῶν τ' αὐτῶν, καὶ κλισιάων,
„ Νηῶν τ' ὠκυπόρων. . . . . . . . . . . .

Καὶ παρὰ Οʹυϊργιλίῳ δὲ (Αἰνειάδ. Θʹ. ς. 512.) οἱ Τεῦκροι: Saxa quoque infefto volvebant pondere.

„(Πρὸς δ' ἐπὶ καὶ βρίθει μάλ' ἀναιδεῖς λᾶας ἐκυλίνδων.)

Ἱστορεῖ δὲ καὶ Ἡρόδοτος (ἐν Οὐρανίᾳ) τοὺς Ἀθηναίους, κατὰ τῶν τοῖς πυλῶσι τοῦ Ἄστεος ὑποδυομένων βαρβάρων λίθους μυλοειδεῖς ἐπικυλίσαι. Καὶ τόνδε δὴ τὸν τρόπον ἐν Ἄργει ἀνῃρῆσθαι Πύῤῥον τὸν Ἠπειρώτην φησὶν Ἰουστῖνος ἐν Βιβλ: ΚΕ΄. Qui dum Antigonum in urbem clausum expugnare conatur, inter confertissimos violentissime dimicans, saxo de muris ictus cecidit.
„(Ὅστις ἐν ᾧ Ἀντίγονον ἐγκαθειρχθέντα τῷ Ἄστει ἐκπο-
„λεμῆσαι ἐπείγεται, ἐν πυκνοτάταις ἴλαις σφοδρότατα
„μαχόμενος, πέτρῳ ἀπὸ τῶν τειχέων βληθεὶς πέπ-
„τωκεν.)

Ἐχρῶντο δὲ καὶ πελέκεσιν, ὥσπερ ἀξίνας Ὅμηρος ὀνομάζει. Τοιῷ δὲ δὴ ὅπλῳ Πείσανδρος ἀπήντησεν Ἀγαμέμνονι ξιφήρει ἐφορμηκότι: (Ἰλ: Ν΄. ϛ. 612.) Καὶ ἐν τῇ διαμάχῃ δὲ τῇ παρὰ τὸν στόλον (Ἰλ: Ο΄. ϛ. 711.)

„Ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο.

Ἔνθα καὶ κοντοῖς προσεχρήσαντο: (ϛ. 388.)

„Μακροῖσι ξυστοῖσι, τά ῥα σφ' ἐπὶ νηυσὶν ἔκειτο.
„Ναύμαχα, κολλήεντα, κατὰ στόμα εἱμένα χαλκῷ.

Τελευταῖον δὲ καὶ ῥοπάλῳ ἐν πολέμοις κέχρηνται, οἷον Ἀρηΐθοος, ὅτῳ Κορυνήτης τοὐπίκλην, ὅτι οὐχὶ τόξῳ, οὐδ' ἔγχει ἐμάχετο, ἀλλὰ σιδηρέῳ ῥοπάλῳ (Ἰλ. Η΄. ϛ. 141.)

„Ἀλλὰ σιδηρείῃ κορύνῃ ῥήγνυσκε φάλαγγας.

Τοιοῦτος ἦν καὶ περιφήτης ἐκεῖνος ὁ Κορυνήτης ἐπικληθεὶς παρὰ Πλουτάρχῳ, ὁ μόνῳ ἐνωπλισμένος ῥοπάλῳ, ὅπερ αὐτοῦ ἀφεῖλε Θησεὺς νικήσας, ὡς διέξεισι καὶ ὁ Σικελιώτης Διόδωρος, ἐν τῷ Δ΄. Βιβλ.)

## ΚΕΦΑΛ. Ι.

### Περὶ τῆς ὕλης τῶν ὅπλων, καὶ τοῦ εἴδους αὐτῶν.

Τὰ πλείονα τῶν πάλαι Ηρώων ὅπλα, ἐκ χαλκοῦ Ομηρος κατασκευάζει: ᾧ καὶ τῶν ποιητῶν οἱ ἀρχαιότεροι Ελληνές τε καὶ Λατῖνοι παρηκολουθηκότες εἰσί. Πολὺς δὲ τοῦτο ἐπισυνιστῶν ἐστὶ καὶ Παυσανίας ἐν τοῖς Λακωνικοῖς. Καὶ χάλκεια μὲν ὑπάρξαι τὰ τῶν παλαιῶν ὅπλα ἐπιβεβαιοῦται ἐκ τῆς Πεισάνδρου ἀξίνης, καὶ ἐκ τοῦ πελέκεως τοῦ Μέμνωνος, τῶν ἐκ χαλκοῦ ὄντων καθ' Ομηρον (Ἰλ: Ν'. ϛ. 612.) Προσέτι δὲ, καὶ ἐκ τῆς Αχιλλέως Μελίας, τῆς ἐν τῷ κατὰ Φακέλιδα Ιερῷ τῆς Αθηνᾶς, ἀνατεθειμένης· καὶ δὴ καὶ ἐκ τοῦ Μεμνονείου ξίφους, τοῦ ἐν τῷ Ασκληπιοῦ τεμένει παρὰ τοῖς Νικομηδεῦσι περισωζομένου· τοῦ μὲν ξίφους ὁλοχάλκου πεφυκότος, τῆς δὲ Μελίας, τοῦ τε κατωτάτου μέρος, τὸ ἄκρον τὸ τῆς αἰχμῆς μόνον. Αλλὰ καὶ Πλούταρχος (ἐν τῷ Θησέως Βίῳ) διέξεισιν, ὅτι Κίμων ὁ Μιλτιάδου, τὸν Θησέως ἀνευρὼν τάφον, τὸν ἐν Σκύρῳ τῇ Νήσῳ, ἐντεῦθεν μετὰ τῶν λειψάνων, καὶ αἰχμῇ περιέτυχε παρακειμένῃ χαλκῇ, καὶ ξίφει, ἅπερ Αθήναζε ἐπὶ τριήρους μετεκομίσατο. Ομοίως δὲ Ηρόδοτος (ἐν τῇ Εὐτέρπῃ) εἰς μνήμην παρέδωκεν, Ιώνων τε καὶ Καρῶν τινὰς, κατὰ ληϊστείαν ἐπ' Αἰγύπτου προελθεῖν ὁπλισθέντας χαλκῷ. Εἰς τοῦτο δὲ φέρει, καὶ ὁ Διονύσιος ὁ Αλικαρνασσεὺς, (ἐν τῷ Δ'. τῶν Ρωμαϊκ: Αρχαιολ:) „γράφει: ὅτι Σέρβιος ὁ Τοῦλλος ἐκέλευσεν, ἐκκρίτῳ „τινὶ φυλῇ ὅπλα ἐπιδοθῆναι χαλκᾶ: Ασπίδας Αρ„γολικὰς, καὶ δόρατα, καὶ κράνη χάλκεα. καὶ θώ„ρακας, καὶ κνήμας, καὶ ξίφη. Ενθεντοι καὶ Λίβιος (ἐν τῷ Α'. Βιβλ:) Arma his imperata, galea, clypeus, ocreae, „lorica, omnia ex aere. (Οπλα τοῖς δ' ἐντέταλτο, κυνέ„ην ἔχειν, καὶ ἀσπίδα, καὶ κνημῖδας, καὶ θώρακα,

„πάντα ἐκ χαλκȣ̃.) Α᾽μέλει τοι γὰρ ἡ τȣ̃ χαλκȣ̃ χρῆσις προτέρα ἐν ἀνθρώποις ἦν τῆς τȣ̃ σιδήρȣ, ὡς Η᾽σίοδος μαρτυρεῖ: (ἐν τοῖς ἔργοις.) ἔνθα περὶ τῶν διαφόρων τȣ̃ Κόσμȣ ἡλικιῶν, ἤτοι χρονικῶν προόδων, πραγματεύεται:

„Τοῖς δ᾽ ἦν χάλκεα μὲν τεύχη, χάλκεοι δέ τε οἶκοι,
„Χαλκῷ δ᾽ ἐργάζοντο, μέλας δ᾽ ȣ̓κ ἔσκε σίδηρος.

Προσεμπεδοῖ δὲ τȣ̃το Λȣκρήτιος (ἐν τῷ Ε΄. Βιβλ:)

Arma antiqua manus, ungves, dentesque fuere,
Et lapides, et item ſylvarum fragmina rami,
Et flammaeque ignes, poſt quam ſunt cognita primum,
Poſterius ferri vis eſt, aerisque reperta;
Sed prius aeris erat, quam ferri cognitus uſus.

„(Ὅπλα πάλαι χεῖρες τ᾽, ὄνυχές τε, ὀδόντες τ᾽ ἔσσαν·
„Καὶ λᾶες θ᾽, ὑλᾶν τε θραύσματα αὐτὰρ πρέμνα·
„Καὶ πυρὸς φλόγες· ὡς τάδε πρῶτον δῆλα δὲ γέντο,
„Εἶτα σιδήρȣ δ᾽ ἐγνώσθη μένος, ἠδέ τε χαλκȣ̃·
„Χαλκȣ̃ δ᾽ ἡ χρῆσις προτέρη ἦν, ἠὲ σιδήρȣ.)

Ε᾽νθεν τοι καὶ μετὰ τὸ τὴν σιδήρȣ χρῆσιν ἐπικρατῆσαι, ἡ τȣ̃ χαλκȣ̃ τιμὴ προσέτι διέμεινε, καὶ τὰ τῶν Ἡρώων τεύχη ἐκ χαλκȣ̃ ἐτεκταίνετο: Μᾶλλον δὲ καὶ αὐτὸς ὁ σίδηρος τῇ τȣ̃ χαλκȣ̃ κλήσει ὑπεσημαίνετο: χαλκεὺς γὰρ προσείρηται καὶ ὁ τὸν σίδηρον κατεργαζόμενος, ὡ Α᾽ριστοτέλης φησὶν, ἐν τῇ Ποιητικῇ. Οὗ παρ᾽ Ο᾽μήρῳ (Ο᾽δυσ: Α΄. ϛ. 184.) ὑπόδειγμα ἡ τῶν μετάλλων θατέρȣ μετάληψις ἐπὶ θάτερον: Ε᾽ν οἷς Μέντης φησὶ περὶ ἑαυτȣ̃ ἔτι πλέων ἐπὶ οἴνοπα πόντον.

„ Ἐς Τεμέσην μετὰ χαλκὸν, ἄγω δ᾽ αἴθωπα σίδηρον·

Καὶ χαλκεὺς ὃν εἴρηταί πε, ἀξίνην σίζεσαν ἐν ὕδατι βάπτων . . . . . τὸ γὰρ αὖτε σίδηρόν γε κράνος ἐςὶ ὅ δή τινας ἐνήγαγεν, εἰς τὸ, Γεηρὰ, ἤτοι Κεράμεια ἑρμηνεῦσαι τὰ Κράνη, ἅπερ Ὅμηρος χάλκεα εἶπεν. Οὕτω καὶ Πλέταρχος (εἰς βίον Καμίλλε.) ἐχαλκεύσατο φησὶ, κράνη τοῖς πλείςοις ὁλοσίδηρα.

Ἀλλὰ γὰρ ἀπὸ τε χαλκε τὸν σίδηρον ὁ Ποιητὴς εὖ μάλα διέκρινεν ἐπὶ τῆς τῶν Ἡρώων ἐφοπλίσεως· Παρατετηρηκὼς γάρ ἔοικε· τὴν μὲν τε σιδήρε χρῆσιν ἐπὶ τοῖς ἀμυντηρίοις τῶν ὅπλων σχεδὸν συςέλλειν, τὸν δὲ χαλκὸν ἀναμὶξ καὶν τοῖς λοιποῖς ὑποτίθεσθαι. Ἀμέλει τοι γὰρ, ὡς μετ᾽ Ἀριςοτέλην γέγραφε Πλέταρχος, (ἐν Γ᾽. Βιβλ: τῶν συμποσιακ:) αἱ διὰ τε χαλκε τρώσεις ἧττον εἰσὶν ἀλγειναὶ, ῥᾶον δ᾽ ἀκέσιμοι· ὥςε τὲς μεγαλοψύχες ἐκείνες Ἥρως, χαλκῷ κατὰ τε πολεμίε ἐπιέναι, ἢ σιδήρῳ αἱρεῖσθαι. Προσῆν δὲ καὶ Κασσίτερος τῇ τῶν Ἡρώων ὁπλίσει, ὡς τῷ τε Ἀγαμέμνονος θώρακι, (Ἰλ: Λ᾽. ς. 25.) καὶ ταῖς Ἀχιλλέως κνημῖσι, (Ἰλ: Σ᾽. ς. 612.) καὶ τῇ Ἀινείε ἀσπίδι, καὶ τοῖς Διομήδες δὲ ἅρμασιν· (Ἰλ: Ψ᾽. ς. 503.) καὶ ἄλλοις τοιέτοις. Καὶ χρυσε δὲ, καὶ ἀργύρε, πολλή τις ἁπανταχε ἐπὶ τῶν Ἡρωϊκῶν ὅπλων ἐπιφαίνεται χρῆσις. Ἀλλὰ γὰρ (ἐν τῇ Ἰλ: Β᾽. ς. 872.) Ἀμφίμαχος διαψέγεται:

„ Ὃς καὶ χρυσὸν ἔχων, πόλεμόνδ᾽ ἴεν, ἠΰτε κέρη.
„ Νήπιος . . . . . . . . . . . . . . .

Οὕτω τοι καὶ τοῖς Πέρσαις ἐν μάχαις χρυσοφορῦσιν, εἰς ψόγον „τρέπεται παρὰ τῷ Πλυτάρχῳ (ἐν Βίῳ Ἀριςείδ:) Ἐσθῆτος „ποικίλματα, καὶ χρυσὸς, ἐπὶ σώμασι μαλακοῖς, καὶ ψυ-„χαῖς ἀνάνδροις. Κατ᾽ ἔθος γε μὴν τὸ ἐκείνων κεκοσμῆσθαι καὶ τὺς Ὁμηρικὺς Ἥρως Δίων φησὶν ὁ Χρυσόςομος (ἐν λόγ. Β΄. τῶν περὶ „Βασιλείας.) Οὔκυν μέντοι φαίνεται χρυσοφορίας ἐπαινῶν „Ὅμηρος, καὶ ταῦτα εἰς πόλεμον, ψελλίων τε καὶ ςρεπτῶν, „ἔτι δὲ χρυσῶν φαλαρίων, καὶ χαλινῶν, ὁπόσα τὺς Πέρ-„σας φασὶν ἐπιτηδέυειν.

Τῆς δὲ δὴ τῶν ὅπλων ςιλπνότητός τε καὶ αἴγλης λίαν ἐπιμελῶς εἶχον οἱ Ἥρωες, ὐχ ὖτω καλλωπισμῦ χάριν, ὡς εἰς τὸ κατάπληξιν τινὰ τοῖς ἐχθροῖς ἐμποιεῖν. (ὡς Ἰλ: Ν΄. ς. 340.) εἴρηται:

„ . . . . . . Ὄσσε δὲ ἄμερδεν
„ Αὐγὴ χαλκείη κορύθων ἀπὸ λαμπομενάων.

Ταύτῃ δέ τοι καὶ τὰ αὐτῶν ὅπλα διαφόροις γραφαῖς κατεποίκιλλον. Τοιῦτος ἦν ὁ τῦ Ἀγαμέμνονος θώραξ: ὃν δέκα μὲν οἶμοι ἐκ μέλανος κυανῦ μετάλλυ, δυωκαίδεκα δ᾽ ἐκ χρυσῦ, εἴκοσι δ᾽ ἐκ κασσιτέρυ διέςιζον:

„ Κυάνεοι δὲ δράκοντες ὠρορέχατο προτὶ δειρὴν
„ Τρεῖς ἑκάτερθεν . . . . . . . .

Ἐπί γε τῆς ἀσπίδος δὲ μάλιςα τυτὶ χώραν εἶχεν, οἵαν δὴ πρὸ τῶν ἄλλων Ὅμηρος ὑπέγραψε τὴν Ἀχιλλέως, ὑπὸ Ἡφαίςυ ἀπεξεργασθεῖσαν, καὶ εἰκόσι παντοίαις κατηγλαϊσμένην καὶ διαπρέπυσαν, (Ἰλ: Σ΄. ς. 478. κξ) ἢ τινι παραπλησίᾳ καὶ ἣν ἐν ἰδιαιτέρῳ ποιήματι (ὗ ἐπιγραφὴ ἀσπὶς Ἡρακλ:) Ἡσίοδος ἐφιλοτεχνήσατο. Καὶ ἣν προσέτι, καὶ τῷ Αἰνείᾳ ὑπὸ τῦ αὐτῦ Ἡφαίςυ τεκτονηθεῖσαν, Οὐίρ-

γίλιος ( Αἰνειάδος Η'. ς. 729. ) παρεστήσατο. Ἀλλὰ καὶ ἡ Ἀσπὶς τ τῦ Τύρνε τὴν Ἰὼ γεγραμμένην παρίστη, καὶ τὸν Ἄργον φρερὸν, καὶ τὸν ποταμὸν Ἴναχον, οἶνον προχέοντα. Οὕτω καὶ γὰρ εἰώθεν, ἐπὶ τῆς ἀσπίδος ἀεὶ διηνεκές τι προφέρειν σύμβολον. Γράφει δ' ὢν Σέρβιος, (ἐν τῷ Β': τῆς Αἰνειάδ:) ἐπὶ μὲν τοῖς Ἑλλήνων σάκεσι τὸν Ποσειδῶνα φιλεῖν εἰκονίζεσθαι, ἐπὶ δὲ τοῖς Τρώων τὴν Ἀθηνᾶν. Ἀλλὰ γὰρ Ὀδυσσέα, Δελφῖνα φέρειν ἐπὶ τῦ σάκυς ἐπίσημον, ὁ Πλέταρχος ( ἐν τοῖς περὶ ἀγχινοίας ) φησίν. Ἀγαμέμνονα δὲ τὸν Φόβον, Λέοντος κεφαλῇ φέρειν ἐξεικαζόμενον, Παυσανίας (ἐν τοῖς Ἡλειακοῖς) διηγεῖται. „Καὶ Πλέταρχος δ' αὖθις λέγει, ὅτι τὸν Ἀλκιβιάδην διεσήμαι„νεν ἀσπίδος διαχρύσε ἡ ποίησις, ἐδὲν ἐπίσημον τῶν „πατρίων ἐχέσης, ἀλλ' Ἔρωτα κεραυνοφόρον.

Πρώτιστοι δὲ τῦ τοιέτε ἔθες εὑρεταὶ λέγονται γενέσθαι Κᾶρες· Παρ' „Ἡροδότῳ ( ἐν τῇ Κλειοῖ. ) Καὶ γὰρ ἐπὶ τὰ κράνεα λόφες „ἐπιδέεσθαι, Κᾶρες εἰσὶν οἱ καταδείξαντες, καὶ ἐπὶ τὰς „ἀσπίδας τὰ σημεῖα ποιέεσθαι: καὶ ὄχανα ἀσπίσιν ἔτοι „εἰσὶν οἱ ποιησάμενοι πρῶτοι.

Καὶ ταῦτα μὲν περὶ τῆς τῶν πάλαι τῆς Ἑλλάδος Ἡρώων ἐξοπλίσεως ἐκ τῶν Ὁμήρε εἰρήσθω, οἷς οἱονεὶ Κορωνίδα προσαπτέον τὸ ὑπὸ Πλετάρχε σημειωθὲν: ὅτι τὲς γενναιοτάτες ἐκεῖνος ἄνδρας καὶ μαχιμωτάτες ἄριστα εἰς μάχην καθωπλισθέντας ἐξῆγεν, ὡς μὴ προπετῶς, μὴ δ' εἰκῇ τὸ ζῆν προΐεσθαι. Ὅθεν Ὅμηρος ( φησὶν ) ἀεὶ „τὲς θαῤῥαλεωτάτες καὶ μαχιμωτάτες ἄνδρας, „εὖ καὶ καλῶς ὡπλισμένες ἐξάγει πρὸς τὲς ἀγῶ„νας. ( ἐν Βίῳ Πελοπίδε.)

## ΚΕΦΑΛ. ΙΑ΄.

## Περὶ τῶν Ἵππων.

Καὶ τῶν ἵππων δὲ, πολλή τις ἦν τοῖς Ἥρωσιν ἐν πολέμῳ ἡ χρῆσις, διὸ πανταχȣ͂ ἱππόδαμοι προσείρηνται καὶ ἱπποκορυςαὶ ἐξ ὧν ἐπεξήσκȣν ἵππων, καὶ ποικίλοις καλλωπίσμασιν ἐπεκόσμȣν. Καὶ χρυσήνιοι δ' ἐνίοτε ἐπικέκληνται, διὰ τȣ̀ς χρυσέȣς χαλινȣ̀ς· οἷος ἦν ὁ τȣ͂ „Μασιςίȣ, ὅς τις καθ' Ἡρόδοτον (ἐν τῇ Καλλιόπῃ) ἵππον ἦν ἔχων „Νισαῖον χρυσοχάλινόν τε καὶ τ' ἄλλα καλῶς κε„κοσμημένον. Τῷ μέντοι Μύδωι τὰ χαλινὰ, ἐλέφαντι κατηγλάϊςο. (Ἰλ: Ε΄. ϛ. 583.)

„Ἡνία λευκ' ἐλέφαντι χαμαὶ πέσον. . . . .

Ἦν δὲ πȣ τοῖς ἵπποις τὸ Παρήϊον ἐλεφάντινον, καὶ φοινικȣ͂ν πορφυρόχρȣν: (Ἰλ.: Δ΄. ϛ. 142.) Βασιλεῦσι μάλιςα διαφέρον, ὡς λέλεκται: Βασιλῆϊ δὲ κεῖται ἄγαλμα. Ἦν δὲ ἡ σπαρτίον περίχρυσον, δι' ȣ̔ συνεςέλλοντο αἱ κόμαι, αἱ ἐπὶ τοῖς μετώποις τῶν ἵππων διαχεόμεναι· ὅπερ Ὁμήρῳ μὲν Ἄμπυξ ὠνόμαςο, (Ἰλ. Χ΄. ϛ. 469.) „Εὐςαθίῳ δὲ διηρμήνευτο: Σειρὰ κατάχρυσος, τὰς περὶ „τὸ μέτωπον τρίχας τῶν ἵππων συνδέȣσα (ἐξ ȣ̔ καὶ „οἱ ἵπποι χρυσάμπυκες ἤκȣσαν. (Ἰλ. Ε΄. ϛ. 358. καὶ ϛ. 720.) Καὶ μὲν δὴ, καὶ τὴν αὐτῶν χαίτην τὴν τῇ ζεύγλῃ περὶ τὸν ζυγὸν ἀναδȣμένην. (Ἰλ. Ρ΄. ϛ. 440. καὶ Τ΄. ϛ. 406.)

„ . . . . . . . . . Θαλερὴ δὲ μιαίνετο χαίτη,
„Ζεύγλης ἐξεριπȣ͂σα παρὰ ζυγὸν . . . . . . . . . . .

Τὰς δὲ δὴ τῶν ἵππων χαίτας ἢ ὕδατι εἰώθεσαν πλύνειν, ἐπιχέοντες ἔπειτα καὶ ἔλαιον, ὅπερ Ἀχιλλεὺς φησὶν ὑπὸ Πατρόκλε πολλάκις τοῖς ἑαυτῦ ἵπποις γενέσθαι: (Ἰλ. Ψ΄. ς. 281.)

„ . . . . Ὃς σφῶϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον
„ Χαιτάων κατέχευε λοέσσας ὕδατι λευκῷ.

Ἵν᾽ ὅτως θαλερώτεροί τε καὶ στιλπνότεροι φαίνοιντο. Ἐφέρβοντο δ᾽ αὐτοῖς οἱ ἵπποι, (Ἰλ.: Β΄. ς. 776.)

„ Λωτὸν ἐρεπτόμενοι, ἐλεόθρεπτόν τε σέλινον.

Οἱ δὲ τῦ Πανδάρε ἥδιον (Ἰλ: Θ΄. ς. 760.)

„ . . . . . . Κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.

Οἱ δὲ τῦ Διομήδες, καὶ σῖτον: (Ἰλ: Κ΄. ς. 569.)

„ . . . . . . Μελιηδέα πυρὸν ἔδοντες.

Ταυτὰ γέγραπται καὶ περὶ τῶν Ἕκτορος ἵππων· παρ᾽ ὅσον, ὅτι τέτοις παρείχετο εἰς ποτισμὸν καὶ οἶνος, ὃν Ἀνδρομάχη ἐνεκίρνα. (Ἰλ: Θ΄. 189.) Τὸ δὲ τοῖς κατίχναις τῶν ἵππων οἶνον ἐγκεραννύειν πιέσθαι καὶ Κολεμέλλας παρέδωκεν.

Ἐμάχοντο δὲ καὶ δι᾽ ἵππων, ἀλλ᾽ ἐκ ἄλλως, ἢ ἅρματι ἐπιζευκτῶν, καὶ τέτῳ διαφόροις ἐπικοσμήμασι διασήμῳ: οἷον (Ἰλ. Κ΄. ς. 438.) τὸ Ῥήσε φαίνεται:

„ Ἅρμα δέ οἱ χρυσῷ τε καὶ ἀργύρῳ εὖ ἤσκηται.

Οἷάπερ ἦν καὶ τὰ τῦ Διομήδες: (Ἰλ. Ψ΄. ς. 503.

„ Ἅρματα δὲ χρυσῷ πεπυκασμένα, κασσιτέρῳ τε.

Παραπλησίως καὶ παρὰ Κερτίῳ (ἐν τῷ Γ΄. Βιβλ.) τὰ Ὀρσῖνος τῦ Πέρσε ἅρματα χρυσῷ τε καὶ ἀργύρῳ κεκόσμητο: Καὶ παραπετάσ-

μασι δὲ ἐπεσκέπετο τὰ ἅρματα: (Ἰλ: Ε΄. ϛ. 193.) ὡς οἱ Λυκάονος ἕνδεκα δίφροι:

„ Καλοὶ, πρωτοπαγεῖς, νεοτευχέες· ἀμφὶ δὲ πέπλοι
„ Πέπτανται . . . . . . . . . . . . .

Καὶ τὰ Ἀχιλλέως δὲ, (Ἰλ: Β΄. ϛ. 777.) εἴρηται:

„ . . . . . Ἅρματα εὖ πεπυκασμένα. . . . .

Δύο δὲ τὰ πλεῖστα τοῖς ἅρμασι προσεζεύγνυντο ἵπποι, ὡς τοῖς τοῦ Λυκάονος: (Ἰλ. Ε΄. 195.)

„ . . . . . Παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι
„ Ἑστᾶσιν. . . . . . . . . . . . . .

Δύω δ' ὡσαύτως ἦσαν καὶ οἱ ἐν τῷ ἅρματι τοῦ Ἀχιλλέως, (Ἰλ: Τ΄. ϛ 400.) ἐπιζευγνύμενοι:

„ Ξάνθος, καὶ Βαλίας, τηλεκλυτὰ τέκνα Ποδάργης.

Παραπλησίως δὲ κἀν τῷ Ζ΄. Βιβλ. τῆς Αἰνειάδ: ϛ. 280.).

Abſenti Aeneae currum, geminosque jugales.
„ (Αἰνείᾳ δίφρον δ' ἀπεόντι, δύω ζυγίω τε.)

Προσετίθετο δ' ἐνίοτε καὶ τρίτος ἵππος, παρήορος Ὁμήρῳ καλούμενος· ὁ παρεζευγμένος, ἢ φησὶν Εὐστάθιος: (ἤγουν ὁ ἐγγὺς ὢν τῶν συζύγων, ἢ ζυγίων·) προστιθεὶς, ὅτι οὐ συνεσφιγμένας καὶ στεῤῥῶς οἱ παρήοροι τῷ ἅρματι συνεδοῦντο, ὥσπερ οἱ σύζυγες, ἄφετοι δὲ εἰώθεσαν παραείρεσθαι, ἢ παραζεύγνυσθαι. Τὸν δ' ἱμάντα ᾧ συνέχοντο παρηορίαν Ὅμηρος ἀπεκάλει: (Ἰλ: Θ΄. ϛ. 87.) ἥνπερ ἀποτέτμηκε Νέστωρ, τοῦ ἵππου δεινῶς αὐτῷ τρωθέντος, ἵνα μὴ καὶ τοῖς ἄλλοις γένηται κώλυμα:

„ Ὄφρ᾽ ὁ γέρων ἵπποιο παρηορίας ἀπέτεμνε
„ Φασγάνῳ ἀΐσσων . . . . . . . , .

Τοιοῦτος ἦν καὶ ὁ Σαρπηδόνος παραζύγιος ἵππος, ὃν ὡσαύτως ἐπιτρωθέντα φθάσας ἀπέκοψεν Αὐτομέδων, (Ἰλ: Π΄. ς. 474.)

„ Ἀΐξας ἀπέκοψε παρήορον. . . . . . . . .

Μέμνηται δὲ τοῦ τοιούτου ἔθους Διονύσιος ὁ Ἁλικαρνασσεὺς, (ἐν Ζ΄. τῶν „Ῥωμαϊκ: Ἀρχαιολογ.) Ἀρχαῖον (τοῦτο) ἐπιτήδευμα καὶ Ἡρωϊ„κὸν, ᾧ ποιεῖ τοὺς Ἕλληνας Ὅμηρος ἐν ταῖς μάχαις χρω„μένους. Δυσὶ γὰρ ἵπποις ἐζευγμένοις, ὃν τρόπον ζεύγ„νυται συνωρὶς, τρίτος παρείπετο σειραῖος ἵππος, „ῥυτῆρσι συνεχόμενος, ὃν ἀπὸ τοῦ παρηορῆσθαι καὶ „συνεζεῦχθαι, παρήορον ἐκάλουν οἱ παλαιοί. Προστίθησι δ᾽ οὖν, ὅτι ἐπ᾽ αὐτοῦ τόδε τὸ ἔθος κατήργητο, παρὰ δὲ τοῖς Ῥωμαίοις ἔτι διεσώζετο. Ἄλλως τε δὲ καὶ τέσσαρες ἵπποι, ἐν τῷ Ἕκτορος ἅρματι συνεζευγμένοι φαίνονται παρ᾽ Ὁμήρῳ: (Ἰλ: Θ΄. ς. 185.) Οὕτω γὰρ πρὸς αὐτοὺς Ἕκτωρ προσφθέγγεται:

„ Ξάνθε τε, καὶ σὺ Πόδαργε, καὶ Αἴθων, Λάμπε τε δῖε:

Ἀλλ᾽ οἱ παλαιοὶ τῶν Κριτικῶν οἴονται, τὰ πρότερα δύο τῶν ὀνομάτων, ἐπίθετα εἶναι τῶν δευτέρων· (οἱ δὲ φασὶ, τὰ Ξάνθε, καὶ Λάμπε εἶναι τὰ κύρια·) δισσοὺς μόνον ἐπιγινώσκοντες ὄντας τοὺς ἵππους, καὶ τοιῷδε λόγῳ ἐπερειδόμενοι: ὅτι ἐπὶ δυϊκῷ τῷ ἀριθμῷ Ἕκτωρ ἐλάλει: Νῦν μοι τὴν κομιδὴν ἀποτίνετον. Ἄλλοθεν μέντοι γε δῆλον, ὅτι καὶ ἡ τοῦ τετρώρου χρῆσις, οὐκ ἦν Ὁμήρῳ, ἀγνοουμένη, (ὡς ἐκ τῆς Ν΄. Ὀδυσ: ς. 81.) ἐστὶν ἰδεῖν: ἔνθα εἴρηται, τὴν Φαιάκων Ναῦν ῥίμφα θέειν·

„ Ἠδ᾽ ὥς᾽ ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι.

Εἰς τὸ γοῦν τοὺς ἵππους ἰθύνειν, ἐπὶ τοῦ δίφρου καθῆστο ὁ διφρελάτης, ἐλαύνων τῇ μάστιγι· παρὰ τούτῳ δ᾽ ὁ παραιβάτης ἵστατο,

μαχόμενός τε ἐκ τοῦ ἅρματος, καὶ ἅμα ὑπαγορεύων, οἷπερ ἂν ἄρα ἐκεῖνος τὸ ἅρμα τρέψαιτο, ὡς (ἐν τῇ Θ΄. Ἰλ.:) σημειοῖ Εὐςάθιος· Καὶ τόγε δὴ πρῶτον τῶν εἰρημένων δύο ἔργων ἐπλήρου, ἀνδρῶν τῶν ἐν ὑπεροχῇ τις: οἷον Πάνδαρος ὁ τοῦ Λυκάονος· καί τοι γε τῷ παραιβάτῃ Αἰνείᾳ κατά τινα λόγον ὑποχωρήσας: (ἐν Ε΄. Ἰλ: ς 230.) Καὶ Νέςωρ δὲ, ἐν τῷ Διομήδους ἅρματι: (Ἰλ: Θ΄. ς. 116.) Ὁμοίως δὲ καὶ οἱ δύο τῶν υἱῶν Πριάμου: ὅ τε Νόθος, καὶ ὁ Νόμιμος, ὧν ἐκείνου διφρελατοῦντος, οὗτος ἐμάχετο: (Ἰλ: Λ΄. ς. 103.) Ἀλλὰ καὶ Ἕκτωρ (Ἰλ: Ρ΄. ς. 430.) παντοίως ἔχαιρε διφρελατῶν:

„Πολλὰ μὲν ἂρ μάςιγι θοῇ τοὺς ἵππους ἐλάυνων,
„Πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ' ἀρειῇ.

Τό γε μὴν ἔργον τόδε, τοῖς Περσῶν Ἡγεμόσιν ἐλογίζετο οὐκ εὐπρεπὲς, νόμῳ αὐτοῖς ἐν βασιλικῷ ἀπηγορευμένον, τὸ ἅπτεσθαι τῶν χαλινῶν, ὡς ἐκ τοῦ Διοδώρου δῆλον, (Βιβλ: ΙΖ΄.) ἔνθα Δαρεῖος ὑπὸ ἀνάγκης ἀγόμενος τῆς ἐχάτης, τὰς τῶν ἵππων ἡνίας ἀνείλκυσε. Τἆλλα δὲ καὶ ἀπὸ τοῦ ἅρματος ἀπεπήδων, ὡς μαχεσόμενοι, καθὰ Μενέλαος κατὰ τοῦ Πάριδος: (Ἰλ: Γ΄. ς. 29.)

„Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε.

Ὡσαύτως δὲ καὶ Ἕκτωρ: (Ἰλ: Λ΄. ς. 211.)

„ . . . Ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,
„Πάλλων δ' ὀξέα δοῦρα, κατὰ ςρατὸν ᾤχετο πάντῃ.

Οὕτω δὲ καὶ παρ' Ἡσιόδῳ, (ἐν τῇ ἀσπίδι) Ἡρακλῆς τε καὶ Κύκνος πολεμησείοντες:

„ . . . Εὐπλεκέων δίφρων θόρον αἶψ' ἐπὶ γαῖαν.

Καὶ παρὰ Οὐϊργιλίῳ δὲ: (Αἰνειάδ: Ι΄. ς. 453.)

Defiluit Turnus bijugis, pedes apparat ire.

„(Τύρνος δ' ἐλθεῖν ἐκ δίφρου πεζὸς κατὰ ἆλτο.)

# ΚΕΦΑΛ. ΙΒ΄.

## Περὶ Νηῶν.

Ἐπὶ τῇ τȣ̃ πολέμȣ παρασκευῇ καὶ τὸ Ναυτικὸν ἐπανήκει· Ναυσὶ γὰρ Ἕλληνες ἔπλευσαν ἐπ᾽ ἐκπορθήσει Τροίας, ἑκατὸν ὀγδοήκοντα καὶ ἓξ ἐπὶ ταῖς χιλίαις, ὡς ἐκ τȣ̃ Καταλόγȣ, τȣ̃ ἐν τῇ Β΄. Ῥαψῳδίᾳ τῆς Ἰλιάδος πάρεστιν ἐκλογίσασθαι· καί τοι Θȣκυδίδης διακοσίας πρὸς ταῖς χιλίαις ἐξαριθμεῖ. Ἐν αὐταῖς ἓν ἐμάχοντο ὅπλοις προσχρώμενοι ναυτικοῖς, οἷα τὰ ξυστὰ ὑπῆρχε τὰ ναύμαχα: (Ἰλ: Ο΄. ς. 389.) Τῷ δ᾽ ὄντι Ἀχιλλεὺς ἔφη: (Ἰλ: Ι΄. ς. 328.) ὅτι πόλεις δυωκαίδεκα αὐτὸς τῷ ναυτικῷ τῷ ἑαυτȣ̃ ἐξεπόρθησε:

„ Δώδεκα δὲ σὺν νηυσὶ πόλεις ἀλάπαξ᾽ ἀνθρώπων.

Καὶ Ὀδυσσεὺς δ᾽ ἀνακηρύττει, ἐν ναυμαχίαις ἐννέα ἡγεμονεῦσαι· (Ὀδυσ: Ξ΄. ς. 230.)

„ Εἰνάκις ἀνδράσιν ἦρξα, καὶ ὠκυπόροισι νέεσσιν
„ Ἄνδρας ἐς ἀλλοδαπȣ̀ς . . . . . . . . .

Οὕτω δ᾽ οἱ πάλαι πειρατικοὶ, ναῦς ἁπανταχȣ̃ ἄγοντες παρεσκευασμένας παντοίων εἴδεσιν ὅπλων, ὧδε κἀκεῖσε περιήεσαν λωποδυτȣ̃ντες· καὶ μάχαις ἐπαχθεστάταις κατὰ γῆν τε καὶ θάλασσαν, ἄνω καὶ κάτω πάντα ἦγον τε καὶ ἔφερον, ὡς ἐκ τῶν Ὁμήρȣ πολλαχȣ̃ γίνεται δῆλον, καὶ ὑπὸ τȣ̃ Θȣκυδίδȣ δὲ ἐν Προοιμίοις τȣ̃ Α΄. Βιβλ: προσεμπεδȣ̃ται: ὃς δὴ καὶ παρέδωκε, κατὰ τὸν ἐκείνων τρόπον, καὶ τὰς τῶν Ὁμηρικῶν Ἡρώων νῆας κατεσκευάσθαι· ἤτοι δήπȣ σεσανιδωμένας, ἤτοι ȣ̓χὶ κεκαλυμμένας σανίσιν, ἀλλ᾽ ἀποκεκοιλωμένας ȣ̔́τως, ὥστε τὴν εἰς μάχην παρασκευὴν σὺν αὐτοῖς κάτω ἐν τῇ νηῒ ὑποκεῖσθαι, καθάπερ ὁ Σχολιαστὴς ἀναπτύσσει. Ἐκ μὲν ȣ̓̃ν τῶν τȣ̃

τοιὅτȣ γένȣς ἀνθρώπων αἱ ναυμαχίαι τὴν ἀρχὴν προῆλθον, αἱ ὕστερον ἐν Ἑλλάδι τεθρυλλημέναι. Τȣ́των πρώτην Ἴωνες μετῆλθον σὺν Κύρῳ, ἔπειτα δὲ Πολυκράτης διὰ τȣ́των νήσȣς πολλὰς ἑαυτῷ καθυπήγαγεν. Ἐφεξῆς δὲ Φωκεῖς Καρχηδονίȣς μάχῃ ναυτικῇ ὑπερέχον· εἰς ὃ τελευταῖον ἐπὶ τȣ̃ Μηδικȣ̃ πολέμȣ, Δαρείȣ τε δὴ καὶ Ξέρξȣ βασιλευόντων, ἐν στόλοις μείζοσιν οἱ ναυτικοὶ προήχθησαν πόλεμοι, ὡς διέξεισι Θȣκυδίδης. Ἀλλὰ τῶν νηῶν αἱ μὲν πρότεραι, προμηκέστεραί τε ὑπῆρχον, καὶ μακροτέραις ταῖς εἰρεσίαις προσελαυνόμεναι, αἳ καὶ ὁτὲ μὲν ἐν πλείοσιν, ὁτὲ δ᾽ ἐν ἐλάττοσι τῷ ἀριθμῷ κώπαις προήγοντο. Ἐν μὲν ȣ̃ν τῇ Ὀδυσσ: Ι΄. ϛ. 322.) μνεία γίγνεται νηὸς ἐεικοσόροιο. ἐν δὲ Ἰλιάδ: Β΄. ϛ. 719:) ἐρέται ἐν νηῒ ἑκάστῃ ἐνȣ̃σαν πεντήκοντα· οἱ αὐτοὶ καὶ τόξων εὖ εἰδότες μάχεσθαι, ἐπὶ τῶν γε τȣ̃ Φιλοκτήτȣ νηῶν. Αἱ δὲ δὴ τοιαῦται νῆες, πεντηκόντοροι παρ᾽ Ἕλλησιν ἐκαλȣ̃ντο, ἐν πολλῇ μάλα χρήσει κοινῇ τυγχάνȣσαι: ἐν οἷαις πρώτȣς τȣ̀ς Φωκαεῖς πλεῦσαι, Ἡρόδοτος ἱστορεῖ: (ἐν τῇ Κλειοῖ.) „Οἱ δὲ Φωκαεῖς ȣ̃τοι, ναυτιλίῃσι μακρῇσι πρῶτοι Ἑλλήνων „ἐχρήσαντο, καὶ τόν τε Ἀδρίην, καὶ τὴν Τυρσηνίην, καὶ „τὴν Ἰβηρίην, καὶ τὴν Ταρτησσὸν, ȣ̃τοι εἰσὶν οἱ καταδείξαν„τες. Ἐναυτίλλοντο δὲ, ȣ̓ στρογγύλῃσι νηυσὶν, ἀλλὰ πεντηκοντόροισιν. Τοιαύτη ἦν ἡ Ἀργὼ πεντηκόντορος, ὡς ἐκ τȣ̃ ἀριθμȣ̃ δηλȣ̃ται τῶν Ἀργοναυτῶν, οἵτινες ὑπῆρχον αὐτερέται. Καί τοιγε Θεόκριτος (ἐν τῷ Ὕλᾳ) τριακοντάζυγον λέγει ναῦν τὴν κώπαις δηλονότι τριάκοντα ἑκατέρωθεν προσωθȣμένην. Ἦν δὲ δήπȣ τῶν τοιῶνδε νηῶν τὸ εἶδος παρεμφερὲς τῇ Galcae (Τριήρει:) τῇ παρὰ πολλοῖς ἔθνεσι καθ᾽ ἡμᾶς ἐν χρήσει. Ἀλλ᾽ αἱ Τριήρεις αἷς οἱ παλαιοὶ θαμὰ προσεχρῶντο, ὕστερον τῶν Ἡρώων εὕρηνται, καὶ πρῶτον δὴ ἐν Κορίνθῳ, ὡς Θȣκυδίδης παρέδωκεν.

Αἱ τοίνυν νῆες εἰώθεσαν γράφεσθαι, καὶ χροιαῖς ποικίλαις διαλαμπρύνεσθαι· ὅθεν Ὅμηρος Μιλτοπαρήȣς ἐκάλεσεν (Ἰλ: Β΄. ϛ.

637.) καὶ Φοινικοπαρῄους (Ο'δυσ. Λ'. ς. 123. καὶ Ψ'. ς. 271.) Καὶ ἔτω δὲ καὶ Ο'υϊργίλιος (Αἰνειάδ : ἐν τῷ Η'. ς. 93.) Pictas carinas (γραπτὰς τρόπεις) ᾄδει. Ε'νθα Σέρβιος: Homerus meminit, quod naves pingebantur rubrica (Ο'μηρος μνημονεύει τὰς νῆας μίλτῳ κεχρῶσθαι.) Καὶ τὸ ἔθος δὲ „τόδε ἀρχαιότατον εἶναι φησὶν Η'ρόδοτος, (ἐν τῇ Θαλ:) Τὸ δὲ „παλαιὸν ἅπασαι αἱ νῆες ἦσαν μιλτοπάρῃοι. Κἀν τοῖς ὑςέροις δὲ χρόνοις κοινῇ ἐκράτησε τὰς ναῦς περιχρωματίζεσθαι. Ο' γὂν Σενέκας (ἐν Ε'πις. ΟΖ'.) Navis bona dicitur, non quae fpeciofis coloribus picta eft, nec cui argenteum roftrum eft, nec „cujus tutela ebore celata eft. (Ναῦς ἀγαθὴ λέγεται, „ὂχ ἡ εὐανθέσι χρώμασι καταγεγραμμένη, ὂθ' ἧς τὸ „ἔμβολον ἐςὶν ἀργυρὂν, ὂθ' ἧς τὸ σκέπας (ἢ τὸ πρόβλημα) „ἐλέφαντι διαγέγλυπται.) Εἰώθεσαν δὲ καὶ εἰκόνας τινὰς ταῖς νήεσιν ἐπιζωγραφεῖν, ἐξ ὧν ἂν παρείη καὶ ἐπονομάζεσθαι. Οὕτω παρὰ Ο'υϊργιλίῳ (Αἰνειάδ: Ε'.) αἱ νῆες, Πίςριξ τε, καὶ Κένταυρος, καὶ Χίμαιρα ἐπεκλήθησαν. Καὶ ἡ Ναῦς δὲ, ἐν ᾗ ἡ Ε'υρώπη διεπορθμεύθη, ὠνομάζετο Ταῦρος, ὡς ὑπὸ Α'γαθαρχίδȣ τȣ̃ Κνιδίȣ (ἐν τοῖς Εὐρωπαϊκοῖς) παραδέδοται. Οὕτω καὶ τὸ παρὰ τῷ Λȣκιανῷ πλοῖον ἑκατέρωθεν ἦν ἔχον, τὴν ἐπώνυμον τῆς νεὼς Θεὸν Ι'σιν. Α'λλ' εἰωθότες ἦσαν τὰς Θεῶν εἰκόνας ἐπὶ ταῖς ναυσὶ παριςᾶν, καὶ χάριν ἀσφαλείας τε καὶ προςασίας: ὡς τοῖς γε Φοίνιξιν οἱ Παταϊκοὶ προὖβάλλοντο· (παρ' Η'ροδότῳ ἐν τῇ Θαλ:) „τοῖς οἱ Φοίνικες ἐν τῇσι πρώρῃσι τῶν Τριήρεων περιάγȣσι. Παραπλήσιον δέ τι κἀν ταῖς Ο'μηρικαῖς Ναυσὶ, καὶ ὁ Σχολιαςὴς παρεσημειώσατο: (Ι'λ: Ι'. ς. 241.) ἔνθα Ε'κτωρ μεγαλαυχῶν καθηπείλει

„ἀποκόψειν τὰ τῶν νηῶν ἄκρα κόρυμβα. Ἐπειδὴ (φησὶν „ὁ Σχολιαστὴς) ἐπὶ τῶν ἀκροστολίων ἦσαν ἀγάλματα καὶ „εἰκόνες τῶν Θεῶν· ἐκκλίνων ἓν τὴν τῶν Θεῶν ὀργὴν τοῦτο „ποιεῖ. Ταῦτα μέντοιγε, κατὰ τὰς ναυμαχίας μάλιστα, οἱ παλαιοὶ εἰώθεσαν ἀφαιρεῖν: ὡς δῆλον ἐξ ὧν Διόδωρος φησὶν ὁ Σικελιώτης: (ἐν „Βιβλ: Κ΄.) ὅτι οἱ Ῥόδιοι ταχέως, τὰ μὲν ἀκροστόλια πε-„ριέσπασαν, ὕλην δὲ ξηρὰν, καὶ δᾷδας ταῖς ναυσὶν ἐνέν-„τες ἐνέπρησαν. Διδάσκει δ᾽ ὁ αὐτὸς, ὅτι καὶ τούτοις αἱ τὴν νί-„κην ἀράμεναι νῆες διεκοσμοῦντο: Αὐτὸς δὲ (ὁ νενικηκὼς) τὰς ἰδίας „ναῦς κοσμήσας τοῖς ἀκροστολίοις, καὶ τὰς ἁλούσας ἐφελ-„κόμενος, τὸν πλοῦν ἐποιεῖτο. Παραπλησίως καὶ παρὰ Πλου-τάρχῳ (ἐν Βίῳ Θεμιστοκλ:) ἱστορεῖται, ὅτι Λυκομήδης ὁ τῶν „Ἀθηναίων Τριήραρχος, τὴν πρώτην ἀφείλετο τοῦ Ξέρξου ναῦν: ἧς τὰ „παράσημα περικόψας, ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ.

## ΚΕΦΑΛ. ΙΓ΄.

## Περὶ τῆς Πολιορκήσεως.

Κατ᾽ ἀρχὰς, αἱ τῶν Ἑλλήνων ἅπασαι πόλεις ἀμοιροῦσαι τειχῶν, πολλαῖς εὐέφοδοι ὑπῆρχον διαρπαγαῖς, ἃς κατ᾽ ἀλλήλων τὸ πάλαι ἀμοιβαδὸν ἐποιοῦντο, καθάπερ ἐν τῷ Α΄. τῆς συγγραφῆς, Θουκυδίδης ἐπιμαρτυρεῖ. Κατὰ τῶν τοιούτων οὖν ἐφόδων ὕστερον, τείχη ἀνοικοδομεῖν ἐπεβάλοντο, πύργοις ἐνασφαλιζόμενοι, ὡς περὶ τῆς Θηβαίων πόλεως μάρτυς ἐστὶν Ὅμηρος, τῆς οὕτω κατοχυρωθείσης ὑπ᾽ Ἀμφιονός τε καὶ Ζήθου: (Ὀδυσ: Λ΄. ϛ. 262.)

„ Οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο,
„ Πύργωσάν τ᾽, ἐπεὶ ὂ μὲν ἀπύργωτόν γ᾽ ἐδύναντο
„ Ναιέμεν εὐρύχορον Θήβην . . . . . . . .

Α᾽μέλει τοι ὑπὸ τῶν Φλεγύων θαμὰ ἐπηρεαζόμενοι, καθάπερ ὁ Σχολιαςὴς φησί. Διὰ δὲ τοῦτο καὶ Λαομέδων τείχεσι περιβαλεῖν τὸ Τρώων ἄςυ ἠνάγκαςαι, εἰς ὅπερ δὴ, τὴν παρ᾽ ἑαυτοῦ ἐργασίαν καὶ Πο- „σειδῶν κατεβάλλετο: ὡς γὰρ ὁ Σχολιαςὴς Ο᾽μήρου διέξεισι, Πο- „σειδῶν, καὶ Α᾽πόλλων προςάξαντος Διὸς Λαομέδοντι θη- „τεῦσαι, ἐπὶ μισθῷ τεταγμένῳ, τὸ τεῖχος κατασκευάζουσι. Κοινῇ γοῦν Ο᾽μηρος τὰς πόλεις, εὐπύργους τε, καὶ εὐτείχεας χαίρει ἀποκαλῶν, διά τε τὸν περιτειχισμὸν καὶ τὰ πυργώματα, οἷς ὠχυροῦντο καὶ κατησφαλίζοντο. Εἰωθὸς δὲ ἦν ἔτι καὶ χῶμα ἐκ γῆς ἐπιφορεῖν ἐγγὺς τῶν τειχῶν· καὶ τοιοῦτον ἦν τὸ Τροίας, ἧς τὸ τεῖχος ἀμφίχυτον εἴρηται: (Ι᾽λ: Υ. ς. 145.)

Ε᾽ντεῦθεν αἱ πολιορκίαι, αἷς ἂν τὰ ἄςεα ἐκπολεμοῖτο. Τοιαύτη δ᾽ ἡ Τροίας ἡ ἐπὶ δεκαετίαν παρατείνασα: οὐχ᾽ οὕτω, φησὶ Θουκυδίδης, χήτει ἀνδρῶν, ἢ διὰ χρημάτων ἔνδειαν· ἐπεὶ ςρατὸν ἐπήγαγον ἐλάσ- σονα, ἢ ὅσον ἐκεῖ τραφήσεσθαι ἔχειν πολεμοῦντα ἐπίςευον· οὐδέ γε πά- σῃ προσεχρήσαντο τῇ τῶν δυνάμεων πληθύϊ, ὁπόση αὐτοῖς παρῆν, ἀλλ᾽ ἐπὶ τῆς χερρονήσου ἐτράποντο γεωργεῖν, καὶ εἰς τὸ λῃςεύειν, τοῦ ἐπισιτισμοῦ σφίσι μὴ ἐπαρκοῦντος.

Ε᾽κ τούτου τοίνυν οἱ Τρῶες ἐπὶ μακρὸν οὕτω τοῦ χρόνου ἀντέςησαν Ε᾽λλησιν, ἀνδρῶν ἀνθιςάμενοι διασκεδαννυμένων ὀλιγοςῷ πλήθει, οἷς ὑπῆρχον ἰσάριθμοι. Ε᾽λληνες δ᾽ ἐν τούτῳ τὰς πέριξ χώρας τὰς ὁμορού- σας ἔνθεν κἀκεῖθεν πορθοῦντες κατελῃΐζοντο, ἵνα μὴ τοῖς Τρωσὶν εἰς ἀν- τίληψιν ὦσιν, ἢ φησὶ Πλούταρχος, τὰ περὶ Ο᾽μήρου διεξιών. Τοιγαροῦν καὶ Α᾽χιλλεὺς, ὁ ἐν Ε᾽λλησιν ἡγεμονεύων, διεκαυχᾶτο, τῷ μὲν ναυτικῷ

πόλεις τῶν ἐναντίων ἐκπεπορθηκέναι δυωκαίδεκα, πεζομαχῶν δε, τῶν περὶ Τροίαν ἑτέρας ἕνδεκα: ἐν αἷς καὶ ἡ Λυρνησσὸς ἦν, ἀφ᾽ ἧς τὴν Βρισηΐδα ἐξηνδραπόδισεν. (Ἰλ: Τ'. ς. 60.)

Ἦν δ᾽ ἔθος καὶ τὰς παρεμβολὰς αὐτὰς τείχεσι περιβάλλειν καὶ περιφράττειν· τοῦτο γὰρ Ἕλληνας δράσαι αὐτίκα, ὡς ἐπὶ Τροίας ἀφίκοντο, Θουκυδίδης φησίν: Ἐπειδὴ δὲ ἀφικόμενοι μάχῃ ἐκράτησαν: δῆλον δὲ, τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο. Τοῦτο δ᾽ ὁ Σχολιαστὴς λέγει αὐτοὺς πεποιηκέναι, διὰ τὰς τῶν βαρβάρων ἐπιδρομάς. Τὸν αὐτὸν δὲ τοῦτον τρόπον, καὶ τὸ μέγα τεῖχος ἐκεῖνο, πρὸς τῷ τέρματι τῆς πολιορκήσεως ὑπὸ τῶν Ἑλλήνων κτισθῆναι διέξεισιν Ὅμηρος, (Ἰλ: Θ'. ς. 533.) ἐπεὶ ἐκ τῆς πόλεως οἱ Τρῶες ἐκθρώσκοντες ταῖς παρεμβολαῖς ταῖς αὐτῶν ἐπενέβαινον. Ἦν δὲ τὸ ὀχύρωμα τοιόνδε, οἷον Ὅμηρος (Ἰλ: Μ'. ς. 53. κξ.) αὐτὸ περιγράφει:

„ . . . . . . . . . . Τάφρος γὰρ ἦν
„ Εὐρεῖ᾽ οὔτ᾽ ἄρ ὑπερθορέειν σχεδὸν, οὔτε περῆσαι
„ Ῥηϊδίη· κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν
„ Ἕστασαν ἀμφοτέρωθεν· ὕπερθεν δὲ σκολόπεσσιν
„ Ὀξέσιν ἠρήρει, τοὺς ἕστασαν υἷες Ἀχαιῶν
„ Πυκνοὺς καὶ μεγάλους, δηΐων ἀνδρῶν ἀλεωρήν. κτ.

Καίτοι γὰρ οὔ με λανθάνει πλάσμα ὂν τόδε, οὕτω πως πρὸς Ὁμήρου ἐπινοηθὲν: (ᾗ τῶν παλαιῶν ἔδοξέ τισιν· οἷον Στράβωνι, (ἐν βιβλ: ΙΓ'.) παρ᾽ ᾧ Ἀριστοτέλης: Ὁ δὲ πλάσας Ποιητὴς ἠφάνισε, φησίν:) Ἀλλ᾽ ἐν αὐτῷ τούτῳ ὁ Ποιητὴς σαφὲς καθίστησιν, ὡς καὶ τοῖς ἀρχαίοις ἦν ἐν χρήσει τὸ ἔθος τοῦ τὰ στρατόπεδα οὕτω κατοχυροῦν καὶ κατασφαλίζειν, ἐν παραπλησίαις ταῖς περιστάσεσιν.

Ἐν δὲ ταῖς παρεμβολαῖς ἔτι ϗ κλισίαι ἵσαντο, ἐν αἷς οἱ Ἥρωες παρὰ ταῖς Ναυσὶ κετεσκήνου, οἵα περ ἦν ἡ τοῦ Ἀχιλλέως, ἡ ἐν τῇ Ω΄. Ῥαψῳδίᾳ τῆς Ἰλιάδος (ϛ. 448.) περιγραφομένη.

„ . . . . . . . . . . . . ἥνπερ ὑψηλὴν
„ . . . Μυρμιδόνες ποίησαν ἄνακτι,
„ Δοῦρ' ἐλάτης κέρσαντες ἀτὰρ καθύπερθεν ἔρεψαν
„ Λαχνήεντ' ὄροφον, λειμωνόθεν ἀμήσαντες·
„ Ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
„ Σταυροῖσι πυκινοῖσι· θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς
„ Εἰλάτινος. . . . . . . . . . . .

Αὐτᾷ δ' Ἀχιλλεῖ, ϗ τῷ Τελαμῶνος Αἴαντι, ἐν ἐχάτοις πέρασιν ἦν ἡ σκήνωσις: ὅτι (Ἰλ: Θ΄. ϛ. 226.) ὑπῆρχον οὗτοι τῶν λοιπῶν διαφέροντες.

„ . . . . Ἠνορέῃ πίσυνοι, ϗ κάρτεϊ χειρῶν.

Ὀδυσσεὺς δὲ καθεισήκει ἐν μέσῳ τῶν Νηῶν, ὡς ἐν τόπῳ ἀσφαλεσέρῳ, καί γε κατὰ τὴν ἐν αὐτῷ φρόνησιν εἰς τὸ περισώζεσθαι δεξιωτέρῳ. Πρὸ δὲ δὴ τῶν σκηνωμάτων σκοπὸς ἵσατο, ὅθεν ἂν πάντα προσορῷεν τὰ πράγματα, ὅπερ ἦν ἔργον τῷ Νέσορι: (Ἰλ: Ξ΄: ϛ. 8.)

„ Αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι εἰς περιωπήν.

Καὶ Φυλακαὶ δὲ νυκτὸς ἐγίνοντο ἐπιμελῶς, διατασσομένων διὰ τῆς παρεμβολῆς ἐγρηγόρων, ϗ πυρσῶν ἀπανταχοῦ ἐξαπτομένων, ὅπερ ἦν ἐπιτάσσων ϗ Νέσωρ (Ἰλ: Ι΄. ϛ. 65.)

„ . . . . . . . Φυλακτῆρας δ' ἕκασοι
„ Λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.

Α᾽λλὰ καὶ οἱ Ἡγεμόνες αὐτοὶ νυκτὸς διέτρεχον διὰ τῶν παρεμβολῶν ἐπισκοπήσοντες, εἰ ὀρθῶς αἱ φυλακαὶ εἶχον, ὁ Νέστωρ σὺν Ὀδυσσεῖ, καὶ Διομήδει ποιῦσιν. Ὡσαύτως δὲ κἀν τοῖς Ῥυτύλων παρεμβολαῖς παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ. Θ΄. ϛ. 166.)

Collucent ignes, noctemque custodia ducit
Insomnem ludo. . . . . . . . . . . . .

„ . . . . . . (Πυρὰ δ᾽ ἐκσελάγιζε.
„ Οὖροι δ᾽ ἐγρηγορτὶ ἀθύρμασι νύκτα διῆγον.)

Καὶ οὐδ᾽ οἱ πολιορκέμενοι δὲ ἄλλως ἔδρων: διεκελεύετο καὶ γὰρ Πρίαμος: (Ἰλ: Η΄. ϛ. 371.)

„ Καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ἕκαστος.

Ὁμοίως δὲ καὶ Ἕκτωρ (Ἰλ: Θ΄. ϛ. 517.) διὰ κηρύκων ἀγγέλλει

„ Παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας.
„ Λέξασθαι περὶ ἄστυ, θεοδμήτων ἐπὶ πύργων·
„ Θηλύτεραι δὲ γυναῖκες ἐνὶ μεγάροισιν ἑκάστη
„ Πῦρ μέγα καιόντων, φυλακὴ δέ τις ἔμπεδος ἔστω.

Καὶ ϛ. 529.)

„ Α᾽λλ᾽ ἤτοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς.

Καὶ κατὰ δὴ τόδε τὸ ἔθος, καὶ Ξενοφῶν (ἐν τῷ Γ΄. τῆς Κύρου παιδ.)
„ γράφει· Καὶ τότε μὲν δειπνοποιησάμενοι, καὶ φύλα-
„ κας καταστησάμενοι, καὶ πυρὰ πολλὰ πρὸ τῶν
„ φυλάκων καύσαντες, ἐκοιμήθησαν.

Πρὸς δ᾽ ἔτι καὶ κατάσκοποι ἑκατέρωθεν διεπέμποντο, διασκοπεύσοντες τὰ παρὰ τοῖς πολεμίοις διαπραττόμενα: ὡς ἐν τῷ Κ. τῆς Ἰλ:

ϛ. 526. καὶ 561. ἀναγινώσκομεν. Καὶ παρὰ Οὐΐργιλ: ἐν τῷ Θ΄. τῆς Αἰνειάδος, ὡσαύτως. Τοῖς δὲ Τρωσὶ, καὶ αὐλοὶ καὶ σύριγγες νυκτὸς περιηχεῖν εἴθιστο, ὧν (ἐν τῷ Κ΄. τῆς Ἰλ: ϛ. 13.) Ἀγαμέμνων ἤκουσε. Τοῖς γὰρ βαρβάροις τουτὶ πάλαι σύνηθες ὂν, ἐξ Ἡροδότου (ἐν τῇ Κλειοῖ) δῆλον, ἐν οἷς Ἀλυάττης ὁ Λυδῶν ἀνάσσων ἐστρατεύετο, „ὑπὸ συρίγγων τε καὶ πηκτίδων, καὶ αὐλοῦ γυναι- „κείου τε καὶ ἀνδρείου. Καὶ σάλπιγγος δὲ χρῆσιν ἐπὶ τῆς πολιορκίας ἐπισημειοῦται Ὅμηρος: (Ἰλ: Σ΄. ϛ. 219.

„Ὡς δ᾽ ὅτ᾽ ἀριζήλη φωνὴ, ὅτε τ᾽ ἴαχε σάλπιγξ,
„Ἄστυ περιπλομένων δηΐων ὑπὸ θυμοραϊστέων.

Ἀλλ᾽ ὁ Σχολιαστὴς βούλεται, τόδε κατὰ πρόληψιν ὑπὸ Ὁμήρου „εἰρῆσθαι: ἐπεὶ οὐδέπω ἡ σάλπιγξ εὕρητο παρὰ τοῖς „παλαιοῖς· κόχλῳ γὰρ θαλασσίῳ ἐσάλπιζον.

## ΚΕΦΑΛ. ΙΔ΄.

## Περὶ τῆς Μάχης.

Τὸ κύριον καθ᾽ αὑτὸ τοῦ πολέμου ὑφίστατο ἐν τῇ μάχῃ· ἐν ᾗ κρείττονας τῶν Τρώων ὀφθῆναι τοὺς Ἕλληνας αὐτίκα ἐγκαθορμισαμένους, Θουκυδίδης φησίν. Ὁ δὲ Πλούταρχος ἱστορεῖ, ὅτι ἐν ἐκείνῃ τῇ συμβολῇ ἀνῄρηται Πρωτεσίλαος: περὶ οὗ (Ἰλ: Β΄. ϛ. 698.) λέγεται. Μετὰ ταύτην οἱ διαπρεσβεύσοντες δεῖν τὴν Ἑλένην ἀποδοθῆναι, ἀπεστάλησαν, Μενέλαός τε καὶ Ὀδυσσεύς: (Ἰλ: Ῥαψῳδ: Π΄.) Τῶν δὲ Τρώων τὴν ἀπόδοσιν ἀπαρνησαμένων, εἰς μάχην αὖθις οἱ Ἕλληνες αὐτοὺς προσεκάλεσαν, ἐν ᾗ καὶ ταύτῃ κρείττους ἐγένοντο. Ἐντεῦθεν γοῦν τοῦ στρατοῦ ἀπομερισθέντος, πολλὰς συνεκρότηταν ὑσμίνας ἀλλήλοις, ἐν αἷς καὶ Τρῶες

θαμὰ ὑπερέχον, Α᾿χιλλέως μάλιϛα τοῦ πολεμεῖν ἀποχομένου, καὶ τοσοῦτον, ὥϛε καὶ τὸ πλεῖϛον μέρος τοῦ ἄϛεος προεξελθεῖν, καὶ τὴν αὐτῶν παρεμβολὴν τῇ τῶν Ἑλλήνων συνάψαι, καὶ κατηρειπότος τοῦ Ἑλληνικοῦ προτειχίσματος, τὰς ναῦς κατεμπρῆσαι παρασκευάσασθαι (Ι᾿λ: Θ΄. ϛ. 177.) Τὰς δὲ τοιαύτας εἰσβολὰς ὑπὸ τῶν πολιορκουμένων εἰωθέναι γίνεσθαι, Ὅμηρός τε αὐτὸς ἐϛὶ παριϛῶν: (Ι᾿λ: Θ΄. ϛ. 55. κἀν τοῖς ἑξῆς ἐν τῇ τοῦ Α᾿χιλλέως Α᾿σπίδι) καθάπερ οὖν καὶ ἐν τῇ τοῦ Ἡρακλέους Ἡσίοδος.

Πρὸ μὲν οὖν τοῦ τὴν μάχην συνάψαι, ἀριϛᾶν εἰώθουν, πρὸς τὸν ἐκ τοῦ πολέμου μόχθον ἐπιρωννύμενοι. Ἐπιτάσσει δὲ τοῖς Ἕλλησι τόδε Ὀδυσσεύς: παραινῶν γὰρ Α᾿χιλλεῖ (Ι᾿λ: Τ΄. ϛ. 156.)

„(Μὴ) νήϛιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν,
„Τρωσὶ μαχεσσομένους . . . . . προϛίθησιν (αὐτ: ϛ. 160.)
„Ἀλλὰ πάσασθαι ἄνωχθι θοῇς ἐπὶ νηυσὶν Ἀχαιοὺς
„Σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐϛὶ καὶ ἀλκή.

Ὃ δὴ καὶ Πλάτων ἐπιβεβαιοῖ, (ἐν τῷ Λ΄. τῶν Νόμων.) Καὶ Λίβιος δὲ, (ἐν τῷ Θ΄. τῶν αὐτοῦ.) γράφων: In Romanorum militaribus institutis fuisse positum, ut milites pasti educerentnr in aciem. „(Ἐν ταῖς Ῥωμαίων ϛρατιωτικαῖς „διατάξεσι τεθεσπίσθαι, τοὺς ϛρατιώτας τροφῆς ἤδη μετειληχότας ἐπὶ τὴν μάχην ἐξάγεσθαι.

Καὶ ἡ τῆς παρατάξεως δὲ διάθεσις, ἡ τοῖς τῶν Ἑλλήνων ἀρχαίοις συνήθης περιγράφεται: (Ι᾿λ: Δ΄. ϛ. 295.) ἔνθα Νέϛωρ:

„Ἱππῆας μὲν πρῶτα σὺν ἵπποις καὶ ὄχεσφι,
„Πεζοὺς δ᾿ ἐξόπιθεν ϛῆσεν, πολέας τε καὶ ἐσθλοὺς,

„Ἕρκος ἔμεν πολέμοιο· κακὸς δ' ἐς μέσσον ἔλασσεν,
„Ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίη πολεμίζῃ.

Ἀλλὰ γὰρ τοῦθ' ὑπὸ τῶν παλαιῶν διαφόρως ἐννοηθῆναι γράφει Εὐστάθιος: Οἱ μὲν γὰρ τὰ πρῶτα, ἀντὶ τοῦ δεξιοῦ κέρως ἐξεδέχοντο· τὸ δ' ὄπιθεν, ἀντὶ τοῦ ἀριστεροῦ· ἔλεγον δὲ τὴν φάλαγγα ἐπὶ μετώπου, οὐχὶ κατὰ βάθος τεταγμένην. Ἀλλ' Ἡρόδοτος, καὶ Ἀπίων, ἡγοῦντο τὴν τοιάνδε διάθεσιν γενέσθαι κατὰ πλινθίον· τουτέστιν ἐν τάξεσι μακραῖς ἰσαρίθμοις: ὧν μεταξὺ καὶ ὁδόν τινα χωρεῖν μέσην, δι' ἧς ἂν ἐξείη τοῖς βουλομένοις ἔρχεσθαί τε καὶ ἐπανέρχεσθαι.

Ὁ δὲ Πλούταρχος (ἐν τῷ περὶ Ὁμήρου) ὑπέθετο: ἡγεῖσθαι μὲν τοὺς ἱππεῖς, ἕπεσθαι δὲ ὄπισθεν τοὺς πεζούς, ὅπερ ἔοικεν ἀληθέστερον: τῷ δ' Εὐσταθίῳ ἔδοξε, δυοῖν μέσον στρατιωτῶν, ἕνα τῶν νωχελεστέρων τετάχθαι, ὡς ἂν πρὸς τῶν γενναιοτέρων ἐπὶ τὸ οἱ καθῆκον ἐφέλκοιτο. Εἶναι δὲ τοῦτο ὅπερ Ἀῤῥιανὸς ἔφη (ἐν τοῖς Ἰνδικοῖς) τὸ ἐπὶ τριῶν ταχθῆναι φάλαγγα. Τὸ δὲ δὴ τὸν στρατὸν κατὰ τὴν συμπλοκὴν ἐμπλατύνεσθαι, δῆλον ἐκ τοῦ (ἐν τῷ Ν'. τῆς Ἰλιάδ: ς. 308.) εἰρημένου: ὅτι Μηριόνης ἦν ἐνδοιάζων, πότερον ἐπὶ τὸ δεξιὸν, ἢ ἐπὶ τὸ ἀριστερὸν μέρος, ἢ ἐπὶ τὸ μέσον τοῦ Τρωϊκοῦ στίφους ἐπορεύσειεν.

„Ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους,
„Ἢ ἐπ' ἀριστερόφιν . . . . . . . . . . .

Ἐπὶ δὲ τὸ στενώτατον τοὺς στρατιώτας συνῆφθαι δείκνυσιν Ὅμηρος, ἐπειδὰν φησὶν: (Ἰλ: αὐτ: ς. 130.)

„Φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ·
„Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.

Ὅπερ οὖν κἀν τῷ Π'. τῆς Ἰλιάδ: ς. 215.) ἐπανείληπται, ἐν οἷς τὰ Ἀχιλλέως, στίφη ἐξάγεται. Οὕτω δέ τι καὶ Οὐϊργιλίῳ πέφρασται (Αἰνειάδ. Ι'. ς. 361.

Concurrunt; haeret pede pes, densusque viro vir.
„ (Πὸς ποδὶ δ' ἠρείριςο θαμειῶς, ἀνδρὶ δέ τ' ἀνήρ.)

Α'λλὰ καὶ Νέςωρ ὡσαύτως κελεύει τὸς ἵππους ἐν τάξει συνέχεσθαι, ὥςε μὴ τῷ πεζικῷ συναναθρεῖσθαι. Καὶ ὅτως ἄρα (Ι'λ: Λ'. ς. 150.

„ Πεζοὶ μὲν πεζὸς ὄλεκον φεύγοντας ἀνάγκῃ,
„ Ι'ππεῖς δ' ἱππῆας. . . . . . . . .

Τῆς μὲν ὖν συμβολῆς ἀρχομένης, ηὔχοντο τοῖς Θεοῖς ὁσίως ὑπὲρ τῦ νίκην ἄρασθαι, ὅπερ ἐπὶ πάσαις ἐςὶ μαρτυρόμενον ταῖς ῥήεσιν, ὅσαι τε ὑπὸ τῦ ςρατῦ σύμπαντος συνεκροτῦντο, καὶ ὅσαι ἰδιαίτερον ὑπό τινων τῶν ςρατευομένων. Πρὸστίθεντο δὲ κατὰ διάνοιαν εὐχόμενοι, καὶ τὰ τεύχη μάλιςα τὰ τῶν πολεμίων καθιερώσειν, ὡς ἐςὶ δῆλον ἀπό τε Ε'κτορος (Ι'λ: Η'. 82.) καὶ Ο'δυσσέως (Ι'λ: Κ'. ς. 292. καὶ ς. 459. καὶ 460.) καὶ διὰ τῦτο δὴ καὶ Ι'εροπόλοι, καὶ Μάντεις ἐπὶ τῦ ςρατῦ ἔχοντες ἦσαν, οἵπερ ἂν θύματα τοῖς Θεοῖς προσάγοιεν· ἐκ δὲ τῶν σπλάγχνων τῶν θυομένων, καὶ τῆς πτήσεως τῶν οἰωνῶν, καὶ τῶν ἄλλων μαντευμάτων τὸ βόλημα τὸ τῶν Θεῶν ἐκδιδάσκοιεν. Ἦν δ' ἔθος προσέτι, καὶ τὸν Μαντιπόλον αὐτὸν δάφνῃ τε περιεςεμμένον, καὶ δᾷδα φέροντα ἐπὶ τῆς συμβολῆς προηγεῖσθαι· οὐ μέντοι ἀπεχόμενοι οἱ πολεμιςαὶ διετέλυν, ὡς Ε'υςάθιος παραδίδωσιν (ἐν Ι'λιάδ. Μ'.)

Πρὸς δὲ δὴ τύτοις, καὶ οἱ ςρατηγῦντες εἰώθεσαν δημηγορεῖν τοῖς ςρατοῖς παρατεταγμένοις, πολεμεῖν εὐψύχως προτρέποντες ἀλλήλυς ὑπαιδυμένυς, καὶ τὴν ἐκ τῆς νίκης προτιθέντες εὔκλειάν τε καὶ λυσιτέλειαν. Ε'ςι δ' ὖν ὅτε καὶ ἀπειλὰς προσετίθεσαν· ὥσπερ Ε'κτωρ (Ι'λ: Ο'. ς. 348.)

„ Ὃν δ' ἂν ἐγὼ ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω
„ Α'υτῦ οἱ θάνατον μητίσσομαι. . . . . .

Μέμνηται δὲ τῦ τοιύτυ καὶ Α'ριςοτέλης: (ἐν τοῖς Η'θικοῖς Βιβλ: Γ'. Κεφ. Ζ'.) ἔνθα δὴ ἱςορεῖ καί τινας τῶν ςραταρχόντων, τάφρυς

κατόπιϑε τῶν ςρατευομένων ὀρύξαι, ἤτι τοιϐτον ἐμπόδιον ἐπιμηχανήσασθαι, δι᾽ ὃ μάχεσθ᾽ ἂν ἀναγκάζοιντο. Ὥσπερϐν καὶ τὸν Μακεδόνα Ἀλέξανδρον, τῷ ποταμῷ τὸν ἑαυτϐ ςρατὸν συνεῖρξαι, ὁ Σικελιώτης Διόδωρος (ἐν τῷ ΙΖ΄. τῆς ἱςορ:) παρέδωκεν.

Οὐ μόνον δ᾽ ἐν ῥήμασιν, ἀλλὰ καὶ τῷ καθ᾽ ἑαυτϐς ὑποδείγματι οἱ ςρατηγϐντες τῶν ςρατευομένων προήεσαν. Πρῶτοι γὰρ εἰ μάχαις αὐτοὶ παρ᾽ Ὁμήρῳ παρίςανται ὡς ἰδίᾳ πάρεςιν ἰδεῖν (Ἰλ: Ν΄. ϛ. 490. κξ.) ἔνθα Αἰνείας, καὶ Δηίφοβος, καὶ Πάρις, καὶ οἱ λοιποὶ τῶν Τρώων προέχοντες προῆγον . . . . Αὐτὰρ ἔπειτα

„Λαοὶ ἕπονθ᾽, ὡσεί τε μετὰ κτίλον ἕσπετο μῆλα.
„Πιόμεν᾽ ἐκ βοτάνης . . . . . . . . . .

Καὶ τῶν ἡγεμόνων δὲ οἱ δυνάμει διαφέροντες, πολλαχϐ τῆς Ποιήσεως ἐναβρύνονται ἀκϐοντες πρόμαχοι.

Κατὰ δὲ δὴ τὴν ἐν τῇ μάχῃ συμβολὴν, μεγάλη τις κραυγὴ ἐξεγείρετο: ἥνπερ ὁ Ποιητὴς (Ἰλ: Γ΄. ϛ. 3.) ἐξεικάζει Γεράνων κλαγγῇ. καὶ (Ἰλ: Δ΄. ϛ. 452.) ποταμοῖς χειμάῤῥοις κατ᾽ ὄρεσφι ῥέϐσι· καὶ (Ἰλ: Ε΄. ϛ. 598.) καὶ θαλάσσης δὲ κύμασιν . . . . ὁππότ᾽ ἐπείγῃ ἴς ἀνέμοιο· (Ἰλ: Ο΄. ϛ. 381. κξ.) Τϐτο δὲ καὶ ἀλαλητὸν ὀνομάζει: (Ἰλ: Δ΄. ϛ. 436.) Ὅπερ δὴ ὄνομα καὶ τοῖς ὕςερον Ἕλλησι παρέμεινεν: ὧν ἐν ταῖς ἱςορίαις, ἀλαλάζειν εἴρηνται οἱ ἐν ταῖς μάχαις ἀλλήλοις συμβάλλοντες: ἀπὸ τῆς φωνῆς ἴσως ἀλαλ ἐπαναλαμβανομένης. Ἀλλὰ Σϐίδας ἐλελεῦ φησὶν αὐτϐς ἐπιφωνεῖν εἰωθέναι: Οἱ προσιόντες (λέγων) εἰς τὸν πόλεμον τὸ ἐλελεῦ „ἐφώνϐν μετά τινος ἐμμελϐς κινήσεως. Τὸ δ᾽ ἔθος, τόδε, πᾶσι μονονϐχὶ πάλαι τοῖς ἔθνεσι παρατετήρηται. Οὕτω καὶ γὰρ Τάκιτος

μὲν τοῖς Γερμανοῖς τὸ Barritum ἀπέδωκεν· ὁ δὲ Λίβιος τοῖς Γάλλοις τὸ ululatum, καὶ cantum more ſuo. (Ὀλολυγμόν τε, καὶ ᾆσμα τὸ αὐτοῖς σύνηθες.) Ὁ δὲ Κούρτιος τοῖς Πέρσαις: trucem et inconditum clamorem: (Φονικόν τι καὶ ἄκοσμον κραύγασμα. Ἐν τούτῳ δὲ μάλιστα τὰ τῶν Βαρβάρων γένη ἐπίσημα. Ὅθεν Φῆστος: Barbaricum clamorem (Βαρβαρικὴν κραυγὴν) τὴν τῆς στρατιᾶς ἐξωνόμασε. Γράφει δὲ καὶ Πλούταρχος, ὅτι Ὅμηρος (Ἰλ: Γ'. ς. 8. καὶ Δ'. ς. 429.) σιγὴν τοῖς Ἕλλησι περιάπτει, ὁπότε οἱ Βάρβαροι Τρῶες, βοὴν ἐξῆρον δεινήν τε καὶ ἔκπαγλον. Οὗτοι μὲν γάρ: (Ἰλ: Δ'. ς. 433. κξ.)

„ . . . Ὥς τ' ὄϊες πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ
„ Μυρίαι ἑστήκασιν . . . . . . . . . .
„ Ἀζηχὲς μεμακυῖαι, ἀκούσασαι ὄπα ἀρνῶν·
„ Ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει.

Οἱ δὲ, ἤτοι οἱ Ἕλληνες, τοὐναντίον. (Ἰλ: Γ'. ς. 8. καὶ Δ'. ς. 429.)

„ Οἱ δ' ἄρ' ἴσαν σιγῇ, μένεα πνείοντες, Ἀχαιοὶ,
„ . . . . . . . Ἀκὴν ἴσαν, (οὐδέ κε φαίης
„ Τόσσον λαὸν ἕπεσθαι, ἔχοντ' ἐν στήθεσιν αὐδὴν)
„ Σιγῇ δειδιότες σημάντορας . . . . , . .

Τοῦτο δὲ καὶ τοῖς Λακεδαιμόσι σύνηθες ἦν, τὸ μετὰ σιγῆς καὶ κόσμου ἐπὶ τῆς μάχης προϊέναι, ἐφ' ᾧ τῶν ἡγεμόνων αὐτοῖς ἐπικελευόντων, ῥᾶον ἔχοιεν ἐπακούειν. Ἔνθεντοι καὶ συνεθράυσθησάν ποτε ὑπὸ Ἀθηναίων, θροῦν ἐπεγειράντων: τὰ ἐν αὐτοῖς παραγγελλόμενα οὐκ ἐσακούοντες, ὡς ὁ Θουκυδίδης (ἐν τῷ Δ'.) φησίν·

Ἀλλ' ὅτι ἄρα καὶ ἑκατέρωθεν ἔσθ' ὅτε ὑπὸ τῶν στρατῶν κραυγὴ διεγείρετο, δῆλον ἐκ τοῦ Ν'· τῆς Ἰλ: ς. 169. καὶ 540. Καὶ ἐκ τῆς Ἰλ: Π'. ς. 267. οἱ Μυρμιδόνες ὀνομαστὶ κατὰ τῶν Τρώων ὁρμήσοντες:

„ Ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει.

Πολλαχοῦ δ' ἀπὸ τῆς μεγαλοφωνίας οἱ Ὁμηρικοὶ Ἥρωες ἐπαινοῦνται: Βοὴν ἀγαθοὶ λεγόμενοι· τὸ δὲ ἐστὶ, κατὰ τὸν Σχολιαστὴν: πολεμισταί. Ἀμέλει τοι γὰρ ἡ κραυγὴ, οὐ μικρὰ συμβάλλεται, εἰς καταπτόησιν τοῦ πολεμίου, καθάπερ Ἕκτωρ μέγα βοήσας, τοὺς Δαναῶν ἱππεῖς κατέπληξεν: (Ἰλ: Ο'. ς. 346.) καὶ Ἀχιλλεὺς τοὺς Τρῶας: (Ἰλ: Σ'. ς. 228.) Οὕτω δὲ ἄρα καὶ ὁ Κάτων, τὸν ἀγαθὸν στρατιώτην
„φοβερὸν ἐβούλετο εἶναι, οὐ χειρὶ μόνον, καὶ πληγῇ, ἀλλὰ καὶ
„τόνῳ φωνῆς, καὶ ὄψει προσώπου. Ὅλως δὲ ὁ πόλεμος ὅλος ἁπανταχοῦ ὑπὸ τοῦ Ὁμήρου κραυγῆς ἐμπίπλαται καὶ θορύβου· διὸ καὶ Φύλοπις εἴρηται, κατ' Εὐστάθιον, οἱονεὶ φύλων ὄψ.

Προυπηλάκιζον δ' ἀλλήλους ἐν μάχαις ἀμοιβαδὸν, καὶ προυκαλοῦντο ἰδίᾳ οἱ Ἡγεμόνες. Ὁ δ' Ἕκτωρ διαφερόντως τοῦτο ἐποίει, αἰτούμενος τῶν τινα ἐν Δαναοῖς ἡγεμονευόντων ἐξιέναι, ὅτῳ ἂν ἐς δῆριν συμβάλλοιτο. Κλήρων δ' ἐπὶ τούτῳ βαλλομένων Αἴας λαχὼν σεσημείωται (Ἰλ: Η'. ς. 182.) Παραπλήσιόν τι δὲ παρὰ Πλουτάρχῳ παρατετήρηται ὑπὸ
„Τιμολέοντος διαπραχθέν: Βουλόμενος γὰρ καὶ οὗτος κληρῶσαι
„τοὺς ἡγεμόνας, ἔλαβε παρ' ἑκάστου δακτύλιον· ἐμβαλὼν
„δὲ πάντας εἰς τὴν ἑαυτοῦ χλαμύδα, καὶ μίξας, ἔδειξε τὸν
„πρῶτον κατὰ τύχην γλυφὴν ἔχοντα τῆς σφραγῖδος,
„τρόπαιον: μεθ' ὃ αὐτίκα ἐγένετο ἡ τῶν πολεμίων ἐξέλα-
„σις, καὶ παρὰ πόδας ἡ νίκη.

Ἡ δὲ δὴ μάχη, τὰ πλεῖστα, τῆς νυκτὸς ἐπικαταλαμβανούσης διεπεραίνετο. (Ἰλ: Σ'. ς. 241.)

„ Ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ
„ Φυλόπιδος κρατερῆς, καὶ ὁμοιΐου πολέμοιο.

Καὶ Ἰλ: Β΄. ς. 386.

„ Οὐ γὰρ παυσωλή γε μετέσσεται, οὐδ' ἠβαιὸν,
„ Εἰ μὴ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν.

Οὕτω καὶ Σαλλούστιος ἐν τῷ περὶ τοῦ Ἰουγούρθου πολέμου: Utrinque proelium nox diremit. (τὴν μάχην ἑκατέρωθεν ἡ νὺξ διέλυσεν.) Ἀλλὰ καὶ Πλούταρχ: (ἐν τῷ Κράσσῳ) ἱστορεῖ τοῖς Παρθυαίοις οὐκ εἶναι πάτριον νυκτομαχεῖν.

## ΚΕΦΑΛ. ΙΕ΄.

### Περὶ τῶν ἐν τῇ μάχῃ τραυματιῶν.

Οἱ ἐπὶ τῆς συμβολῆς τραυματίαι ὑπὸ ἀκεστόρων ἐθεραπεύοντο· τοιοῦτος ἦν Μαχάων: (Ἰλ: Δ΄. ς. 218.) ὃς εἰς θεραπείαν Μενελάου τρωθέντος μετακληθεὶς, ἐξέλκυσε τὸν ὀϊστὸν αὐτῷ, ἔπειτα

„ Αἷμ' ἐκμυζήσας, ἐπ' ἄρ' ἤπια φάρμακα εἰδὼς
„ Πάσσε . . . . . . . . . . . . . . .

Ὡσαύτως καὶ Παιήων: (Ἰλ: Ε΄. ς. 900.) ἐπὶ τῇ Ἄρεως τρώσει.

„ . . . . Ὀδυνήφατα φάρμακα πάσσων
„ Ἠκέσατ' . . . . . . . . . . . .

Καὶ Εὐρύπυλος δὲ: ( Ἰλ: Λ΄. ϛ. 827. κξ. ) καθικετεύει Πάτροκλον:

„ Ἀλλ' ἐμὲ μὲν σὺ σάωσον, ἄγων ἐπὶ νῆα μέλαιναν·
„ Μηρῦ δ' ἔκταμ' ὀϊςὸν, ἀπ' αὐτῦ δ' αἷμα κελαινὸν
„ Νίζ' ὕδατι, ἐπὶ δ' ἤπια Φάρμακα πάσσε
„ Ἐσθλὰ, τά σε προτὶ φασὶν Ἀχιλλῆος δεδιδάχθαι·
„ Ὃν Χείρων ἐδίδαξε . . . . . . . . . .

Ὅπερ ἦν καὶ ἐποίησε Πάτροκλος ( αὐτ: 843. ) Καὶ γὰρ

„ . . . . . . . Ἐκ μηρῦ τάμνε μαχαίρῃ
„ Ὀξὺ βέλος περιπευκές· ἀπ' αὐτῦ δ' αἷμα κελαινὸν
„ Νίζ' ὕδατι λιαρῷ· ἐπὶ δὲ ῥίζαν βάλε πικρήν.

Ἥτις δὴ ῥίζα, τοῖς μὲν Ἀχίλλεια λέγεται, τοῖς δὲ ἀριςολοχία, ἢ γῦν ἴσχαιμος: ὅτι ἐπιπασσομένη παρὰ χρῆμα τὴν ῥύσιν ἴσχει τῦ αἵματος. Ἀλλὰ καὶ παρὰ τῷ Οὐϊργιλίῳ ( Αἰνειάδ: ΙΒ΄. ϛ. 420. )

Fovit ea vulnus lympha longaevus Iapys
Ignorans, ſubitoque omnis de corpore fugit
Quippe dolor . . . . . . . . . . . . .

„ ( Τοίοις ἄρ γηραιὸς ἐν ὕδασιν Ἴαπις ἕλκος
„ Ἄλθεεν ἀγνοέων, ὀδύνη δ' ἄπο ὤχετο πᾶσα. )

Ὁμοίως δὲ καὶ Νέςωρ Μαχάονα βεβλημένον, ὑπὸ Ἀλεξάνδρυ

„ Ἰῷ τριγλώχινι . . . . κατὰ δεξιὸν ὦμον: ( Ἰλ: Λ΄. ϛ. 506. ) ἐπὶ τῶν ἰδίων ὀχέων ἐπιβιβάσας ὑπεξήγαγε θεραπευθησόμενον: ( Αὐτ: ϛ. 517. κξ. ) Ἔνθα δὴ καὶ οἶνυ ἐκέλευσε δοθῆναι

αὐτῷ πιεῖν πραμνεῖν. Ὁ μὲν γὰρ οἶνος ταῖς φλεγμοναῖς ἐστὶν ἐναντιώτατος, ἢ φησὶν Ἀθήναιος ἐν Βιβλ: Α'. Τίς δὲ ἄρα ἦν
„καὶ ἡ τοῦ χλιαροῦ ὕδατος ὄνησις, διδάσκει Εὐστάθιος: τὸ μὲν θερ-
„μὸν (λέγων) εἰ καὶ πραΰνει τὰς ἀλγηδόνας, αἵματος ἐστὶν
„ἀγωγὸν· τὸ δ' αὖ ψυχρὸν φρίκην ἐμποιεῖ· ἄριστον δ' οὖν καὶ
„ἐνταῦθα τὸ μέσον. Ὅγε μὴν Ἕκτωρ ἐκ τῆς τοῦ λίθου βολῆς μονονουχὶ ἀποπνεύσας, ὕδατι ποταμίῳ περιχυθεὶς ἐπανέψυξεν. Οὕτω δὲ καὶ ὁ Κωμικὸς Ξέναρχος, παρὰ τῷ Ἀθηναίῳ (ἐν τῷ ς'. Βιβλ:) φησί: τοὺς δὲ ἣν ὑπέστησαν πληγὴν καιρίαν λειποψυχήσαντας ἁλιεῖς, ὕδατι περιβρεχομένους εἰωθέναι ἐπαναψύχεσθαι. Τοιῷδε λόγῳ καὶ παρὰ τῷ Πλαύτῳ (ἐν Ἀμφιτρύωνι) ἡ Βρωμία λέγει:

Vae miserae mihi! animo male 'st: aquam velim
Corrupta sum, atque absumpta sum.

„(Οἴμοι τῇ ἀθλίᾳ! λειποθυμῶ· ὕδωρ ἐθέλοιμι:
„Διέφθαρμαι, κἀκδεδαπάνημαι.

Διδάσκει δὲ τόδε τ' ἀλέξημα Ἱπποκράτης, ἐν τῷ περὶ τῆς τῶν
„ὑγρῶν χρήσεως: κατὰ ἀκρέων ἐν λειποθυμίαις τὸ ψυ-
„χρὸν καταχεόμενον ὠφελέει. Καὶ ταῦτα δὴ τὰ ἰατρικὰ παρ' Ὁμήρῳ τὰ τοῖς παλαιοῖς εἰωθότα ἐν χρήσει γίγνεσθαι: ἐξ ὧν ἀναφαίνεται, ὅτι καὶ οἱ ἄριστοι τῶν Ἡρώων, τὴν Ἰατρικὴν ἐγυμνάζοντο τέχνην, σὺν αὐτῇ καὶ τὴν χειρουργικὴν παρασυνάπτοντες.

Οἱ ἐν τῇ μάχῃ θνήσκοντες, παρερρίπτοῦντο πρὸς τῶν πολεμίων, θηρσί τε καὶ πτηνοῖς σπαραχθησόμενοι· τοῦτο γὰρ πρὸς ὕβριν τὴν ἐσχάτην, καὶ ἀπειλεῖν εἰώθει θαμά, καὶ πράττειν· ὡς ἐν προοιμίοις τῆς Ἰλιάδ: (Α'. ς. 5.) ἡ Ἀχιλλέως μῆνις λέγεται, ὅτι

„ Πολλὰς ἰφθίμες ψυχὰς ἄϊδι προΐαψεν
„ Ἡρώων· αὐτὲς δ' ἑλώρια τεῦχε κύνεσσιν
„ Οἰωνοῖσί τε πᾶσι . . . . . . . .

Οὕτω δ' ὁ αὐτὸς Ἀχιλλεὺς περὶ τὸν Ἕκτορα πεσόντα δράσασθαι πρέθετο, (Ἰλ: Ψ. ϛ. 183. κξ.) περὶ τὰ Τροίας τείχη, τὸ ἐκείνε πτῶμα, διὰ τε ἰδίε περισύρων ζεύγες, τὸ καὶ πολλαῖς ἔτι καταπράσεσιν ὑπὸ τῶν Ἀχαιῶν ἐπιδιασπαραχθέν. Ἦν γὰρ, ὡς ὁ Σέρβιος φησὶν, ἔθος, τὲς ἐκ τῶν πολεμίων ἀναιρεθέντας ἡγεμόνας, ἅπαντα τὸν στρατὸν προσεπιτιτρώσκειν: (ἐν ΙΑ'. τῆς Αἰνειάδ:) ἔνθα καὶ Οὐϊργίλιος ἔφησε:

. . . . . . Mezentii bis fex thoraca petitum
Perfosfum que locis . . . . . . . . . .

„ ( Θώρακα Μεζέντοιο τετύχθαι δωδεκάτρητον. )

Ἀλλὰ καὶ ἑτέρων πτώμασι παρὰ τὰ θανατηφόρα τραύματα προσέτι, νῦν μὲν χεῖρας, νῦν δὲ καὶ κεφαλὴν ὁρῶμεν παρ' Ὁμήρῳ ἀποτετμῆσθαι: (Ἰλ: Λ'. ϛ. 146. καὶ Ν'. ϛ. 202. καὶ Σ'. ϛ. 176.) Παραπλησίως δὲ (Αἰνειάδ: Θ'. ϛ. 333.) Νῖσος τὴν Ῥαμνήτε κεφαλὴν ἀπέκοψε· τεθ' ὃ καὶ αὐτῷ ἐξ ἀμοιβῆς ὕστερον παθεῖν συνέβη, σὺν Εὐρυάλῳ, ὧν τὰς κεφαλὰς ἀμφοτέρων οἱ Ῥυτύλοι ἐφεξῆς ἐκτεμόντες ὑσσοῖς ἐνέπειραν. Τετὶ δὲ τοῖς Ἀσιατικοῖς Βαρβάροις σύνηθες ἦν, ὡς ἐκ τε Ξέρξε καὶ τε Μαρδονίε, παρ' Ἡροδότῳ (ἐν τῇ Καλλιόπῃ) σαφὲς καθίσταται, τῶν Λεωνίδε τε τῶν Σπαρτιατῶν Ἄνακτος τὴν κεφαλὴν ἀποτεμόντων, καὶ τὸν κορμὸν ἀνασκολοπισάντων. Αὐτὸ δὲ τοῦτο Μαρδονίῳ ἔπειτα ἀποκτανθέντι, Παυσανίας, Λάμποντος τε ἀνεψιε ἀπαιτεντος παρῃτήσατο· ὅτι ἡ τοίαδε ἀνοσιεργία, τό τε κόσμιον τῆς πατρίδος, καὶ τὸν τῆς νίκης ἔπαινον ἀποτρίψειεν. Νεκρῷ (φήσας) λυμαίνεσθαι, πρέπει μᾶλλον Βαρβάροισι ποιέειν „

ἤπερ Ἕλλησι· κἀκείνοισι δὲ ἐπιφθονέομεν. Ἀξιάγαςον δὲ καὶ ὅπερ Ἀρχίλοχος ἀπεφθέγξατο:

„ Ζῶντας κολάζειν, ἐ θανόντας εὐσεβὲς·
„ Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσι.

Καὶ αὐτὸς δὲ Ὅμηρος (Ὀδυσ: Χ'. ϛ. 412.

„ Οὐχ ὁσίη, κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.

Τά τοι καὶ βέλτιον Ἀχιλλεὺς διεπράξατο, ὅτε Ἠετίωνα τὸν Θηβῶν Ἄνακτα, τὸν ὑπ' αὐτοῦ ἀναιρεθέντα τύμβῳ τετίμηκεν· (Ἰλ: Ζ'. ϛ. 416. κξ.) ὅν τινα καὶ Ἀννίβας ὕςερον ἀπεμιμήσατο, Μάρκελλον ἐπικηδεύσας, (παρὰ Πλουτάρχῳ) καὶ ἄλλοι.

Ἔνθεντοι καὶ ἔρις ἐν ςρατιώταις ἀνωρίνετο μεγίςη ἐπὶ τοῖς ἰδίοις πεσοῦσιν, ἐφ' ᾧ τῶν πολεμίων αὐτοὺς ἐξαρπάσασθαι· ὡς δῆλον περί τε τὸν νεκρὸν Σαρπηδόνος: (Ἰλ: Π'. ϛ. 629.) καὶ περὶ τὸν Πατρόκλου (Ἰλ: Ρ'. ϗ. 120.) οὓς ἔνθεν μὲν Τρῶες, ἔνθεν δ' Ἀχαιοὶ ἐξαφελέσθαι, οὐκ ἄνευ πολλῆς ἀνδροκτασίας κατηγωνίσαντο. Ταὐτὸ δὲ καὶ μέσον Περσῶν ἐγένετο καὶ Ἑλλήνων, τοῦ Μισιςίου ἀναιρεθέντος καθ' Ἡρόδοτον. Ἐνίοτε δὲ καὶ δι' ἐξαγοράσεως τὰ τῶν πεπτωκότων ἐν τῷ πολέμῳ ἀνερύετο σώματα, ὥσπερ ὑπὸ τοῦ Πριάμου τὸ τοῦ υἱοῦ Ἕκτορος: (Ἰλ: Ω'. ϛ. 555.) Καὶ ἐπὶ ἴσῃ μετὰ ταῦτα τῇ ἐκτιμήσει τὸ τοῦ Ἀχιλλέως ὑπὸ τῶν Ἑλλήνων, ὡς ὁ Λυκόφρων μάρτυς ἐςίν· (ἐν τῇ Ἀλεξάνδρᾳ)

„ Αὖτις τὸν ἀντίποινον ἐγχέας ἶσον
„ Πακτώλιον ςαθμοῖσι τηλαυγῆ μύδρον.

Οὕτω καὶ Νῖσος παρὰ Οὐϊργιλ: (Αἰνειάδ: Θ'. ϛ. 213.)

Sit qui me raptum pugnâ, praeliove redemptum
Mandet humo solitâ . . . . . . . .

„(Εἴη δ᾽ ὅς τε πεσόντα με λυσάμενος δὶ ἀπόινων
„Ἤχοι ἐῶ ἐθίμῳ . . . . . . . . . .

Καὶ συνθήκη δὲ συνίσατο περὶ τῆς τῶν πεσόντων ἀναιρέσεως εἰς ἐνταφιασμὸν, τῆς δηϊοτῆτος ἐκπεραιωθείσης, ὑπὲρ ὃ Ἕκτωρ ἐσπέδασεν: (Ἰλ: Η΄. ς- 407.) Ὅπερ δὴ ἔθος ἁπανταχῦ ἐν ταῖς Ἑλλήνων ἁπαντᾶ ἱςορίαις, τὸ διὰ συνθήκης, οἷς περ ἂν ἡττηθῆναι γένοιτο τὰ πτώματα τῶν ἰδίων ἀναιρεθέντων, μετά γε τὴν ὑσμίνην ἐπαναρύεσθαι, ἐν κηρυκείῳ διαπεμπομένȣ τȣ ἀπαιτήσοντος. Τȣς δὲ τοιȣ́τους, νεκρȣς ὑποσπόνδȣς, Θȣκυδίδης τε καὶ Ξενοφῶν ὀνομάζȣσι. Τȣτονὶ δὲ τὸν τρόπον διεπράχθησαν, καὶ αἱ μεταξὺ Τρώων τε καὶ Ἑλλήνων ἀνοχαὶ, ἐπὶ ἐνταφιασμῷ τῶν νεκρῶν: (Ἰλ: Η΄. ς. 395. κξ.) ἐν ᾧ δὴ τȣς Γάλλȣς ȣ̓χ ὁμοίȣς τοῖς Ἕλλησιν ἐπισημειȣ̃ται γενέσθαι Παυσανιας ἐν τοῖς Φωκαϊκοῖς· Οἱ μὲν γὰρ Ἕλληνες, τȣ́ς τε αὐτῶν ἔθαπτον, „καὶ ἐσκύλευον τȣ̀ς βαρβάρȣς. Οἱ Γαλάται δὲ, ὑπὲρ ἀναι„ρέσεως τῶν νεκρῶν ἐπεκηρυκεύοντο· ἐποιȣ̃ντο τε ἐπίσης „γῆς σφᾶς τυχεῖν, ἢ θηρία τε αὐτῶν ἐμφορηθῆναι, καὶ „ὅσον τεθνεῶσι πολέμιον ἐςὶν ὀρνίθων.

## ΚΕΦΑΛ. Ις΄.

## Περὶ τῶν ἐν πολέμοις λαφύρων.

Τῆς ἐν πολέμοις λείας τὸ πρῶτον καὶ μέγιςον ἦν, ἡ τῶν παρὰ τοῖς πολεμίοις ὅπλων ἀφαίρεσις, ἧς τοσάδε ἐπὶ τῆς Ἰλιάδος τὰ δείγματα, ὅσαι γε αἱ ὑσμίναι τε καὶ ἀνδροκτασίαι. Τὰ δ᾽ ὅπλα οἱ νικήσαντες, τῇ μὲν εἰς ἴδιον κλέος τε καὶ ὄφελος ἀπεκομίζοντο, τῇ δὲ καὶ ἵνα κατ᾽

εὐχὴν τοῖς Θεοῖς ἱερώσωσι. Καὶ ταύτῃ τοίνυν οἱ Ἕλληνες, τῆς μάχης τέρμα λαβέσης, ἀποδύειν τῶν ὅπλων τὲς πολεμίες εἰώθεν, τρόπαιόν τε ςησάμενοι, καὶ τὰ σκῦλα εἰς ἰδίας τε καὶ δημοσίας ἀφελόμενοι χρήσεις. Ἀλλὰ Πλάτων (ἐν τῷ Ε΄. τῶν περὶ πολιτ:) ἀνελεύθερον „εἶναι, καὶ ῥυπαρᾶς τινος φιλοχρηματίας ἡγεῖτο, γυναικείας τε καὶ σμικρᾶς διανοίας, τὰ τῶν νεκρῶν, καὶ μάλιςα τὰ Ἑλλήνων σώματα ἀπογυμνὲν, καὶ τὰ λάφυρα ἐν τοῖς τεμένεσιν εἰσάγειν. Διὸ καὶ τοῖς Λακεδαιμονίοις ὑπὸ Λυκέργε ἀπηγόρευτο τὸ τοιὲτον, ὡς Αἰλιανὸς „μαρτυρεῖ (ἐν τῷ ς΄. Βιβλ:) λέγων, ὅτι ἐκ ἐξῆν ἀνδρὶ Λάκω- „νι, ἐδὲ σκυλεῦσαι τὸν πολέμιον. Καίπερ Ἀργείες τε καὶ Μαντινέας τροπώσαντες, ἐκ ἐπ' ἀκριβὲς παρατετηρηκέναι λέγονται τὸ παράγγελμα. (παρὰ Θεκυδίδ: ἐν τῷ Ε΄.)

Παρὰ τὰ ὅπλα δὲ, καὶ χρυσὸς ἔτι, καὶ χαλκὸς, καὶ σίδηρος, καὶ τ' ἄλλ' ἀγαθὰ τῶν πολεμίων εἰς λείαν ἧκεν, κατὰ γὰρ τὸ τὲ πολέμε δίκαιον, τῷ νικῶντι πάντα ὑπείκει: ὡς Ξενοφῶν ἐν τῷ Γ΄. τῆς παιδείας, καὶ Πλάτων ἐν τῷ Α΄. τῶν Νόμων, φασὶν ἀποφαινό- „μενοι: πάντα τὰ τῶν νικωμένων ἀγαθὰ τῶν νικώντων „γίγνεσθαι. Καὶ αὐτοὶ δὲ προσέτι οἱ πολέμιοι ζωγρίαι καθεςῶτες, μέρος τῆς λείας συνίςων· ὲ γὰρ ἐς τὸ διηνεκὲς ἀναιρὲντες ὑπῆρχον, ἀλλὰ τὲς ἀνδραποδισθέντας διέσωζον, ἤτοι σφίσιν αὐτὲς δελεύειν κατέχοντες, ἢ καὶ ἄλλοις διαπιπράσκοντες. Ἀπεδίδεν δ' ἐξ αὐτῶν καὶ τοῖς οἰκείοις τοῖς ἐκείνων, τὴν τιμὴν τῆς ἀξαγορᾶς ἀποτίνεσιν: ὡς Ἀχιλλεὺς τὴν Ἠετίωνος ἄλοχον: (Ἰλ: Ζ΄. ς. 427.)

„ . . . Ἀπέλυσε λαβὼν ἀπερείσι' ἄποινα.

Τὲτο καὶ περὶ τῆς Χρυσηΐδος θυγατρὸς αὐτὲ, ὁ γεννήτωρ ἐπανετείνετο Χρύσης (Ἰλ: Α΄ ς. 20.) καὶ Πρίαμος περὶ τὲ υἱέος: (Ἰλ:

Ω΄. ϗ. 502.) Οὕτω δὲ ϗαὶ παρὰ τοῖς ὕϛερον Ἕλλησι λύτραν καταβαλλομένων, οἱ ἀνδραποδισθέντες ἐξηγοράζοντο ἐπὶ ἐκτιμήσει τῇ τεταγμένῃ. Μνᾶν, Ἀριϛοτέλης εἶπεν, (ἐν Ε΄. τῶν Ἠθικ: Κεφ: Ι΄.) νόμιμον τὸ μνᾶς λυτρῦσθαι. Ὃ διαφερόντως Ἀθηναίων μεταξὺ ϗαὶ Λακεδαιμονίων συγκείμενον κρατεῖν Ἡρόδοτος εἰς μνήμην παρέδωκεν.

Ἐπὶ τῇ τῶν λαφύρων διανομῇ, πολὺς ἐγίνετο ὁ περὶ τῆς ἰσότητος λόγος, μή τις γε δὴ τῆς δικαίας μερίδος παρακρύοιτο. Οὕτως Ὀδυσσεὺς ἐποίει λεηλατήσας τὺς Κίκονας: (Ὀδυσ: Ι΄. ϛ. 42.)

„Δασσάμεθ᾽ ὡς μή τις μοι ἀτεμβόμενος κίοι ἴσης.

Τὸ δ᾽ αὐτὸ ἐπανείληπται, ϗαὶ ἐν τέλει τῆς αὐτῆς Ῥαψῳδίας: (ϛ. 549.) ἐπὶ τῇ διαμερίσει τῆς λείας. Ὡσαύτως δὲ ϗαὶ Νηλεὺς, τὰ ἀπὸ τῶν Ἠλείων λαφυραγωγηθέντα καλῶς προσεῖχεν (Ἰλ: Λ΄. ϛ. 704:

„Δαιτρεύειν, μή τις οἱ ἀτεμβόμενος κίοι ἴσης.

Διὰ δὴ τῦτο ϗαὶ Ὀδυσσεὺς (Ὀδυσ: Ν΄. ϛ. 262.) ἀποκτεῖναι φησὶν Ὀρχίλοχον τὸν υἱὸν τῦ Κρητῶν Ἄνακτος, ὡς τῆς οἱ προσηκύσης μερίδος τῆς λείας ἀποϛερῆσαι βυλόμενον.

„Οὕνεκά με ϛερέσαι τῆς ληΐδος ἤθελε πάσης.

Τὴν ὖν λείαν τοῖς ϛρατευομένοις ἐπιμερίζειν ὁ ἐπὶ τῦ ϛρατῦ ἡγεμονεύων εἰώθει, διὸ ϗαὶ τὰ ληϊσθέντα πρὸς αὐτὸν ἕκαϛος προσεκόμιζον. Ὃ ϗαὶ Ἀχιλλεὺς ἔφασκε πεποιηκέναι, τὰς τρεῖς ἐπὶ ταῖς εἴκοσι πόλεις διαπορθήσας, ὧν τὰ μὲν σκῦλα φέρων παρέδωκεν Ἀγαμέμνονι, κατ᾽ αὐτῦ δ᾽ ὕϛερον ἐποτνιᾶτο, ὡς ὐχ ᾗπερ ἔδει δικαίως αὐτὰ διανείμαντος.

Ἀλλὰ γὰρ ὁ τῆς ἐκϛρατείας καθηγησάμενος, ἀπὸ πάσης τῆς λείας μερίδα τινὰ, ἐκτὸς τῦ κλήρυ, ἑαυτῷ ἐξῃρεῖτο, ὥσπερ Νηλεύς: (Ἰλ΄: Λ. ϛ. 703.)

„ Ἐξέλετ' ἄσπετα πολλὰ, τὰ δ' ἄλλ' ἐς δῆμον ἔδωκε.

Καὶ Ὀδυσσεῖ δὲ, ἐκ τῆς ἀπὸ τῶν τȣ̃ Κύκλωπος ἐπαθροισθείσης λείας, τὸν ἐπίσημον ἔχειν ἀρνειὸν ὑπεχώρησαν: (Ὀδυσ: Ι'. ϛ. 550.)

„ Ἀρνειὸν δ' ἐμοὶ οἴῳ εὐκνήμιδες ἑταῖροι
„ Μήλων δαιομένων δόσαν ἔξοχα. . . . .

Διὰ τȣ̃το δὲ κἀκ τῆς θήρας, δέκα ἔχεν αὐτὸς αἶγας, τῶν ἑταίρων ἐννέα κομισαμένων ἐν νηῒ ἑκάστῃ (αὐτ: ϛ. 160.)

„ Ἐννέα λάγχανον, . . . . ἐμοὶ δὲ δέκ' ἔξελον οἴῳ.

Ὡσαύτως παρ' Ἡροδότῳ (ἐν Καλλιόπῃ) Μαρδονίȣ ἀποκτανθέντος, καὶ τῆς λείας διανεμομένης κατ' ἄνδρα, Παυσανίᾳ τῷ ἀρχιστρατηγȣ̃ντι ἐπεδόθησαν τῶν τε γυναικῶν, καὶ τῶν ἵππων, καὶ τῶν καμήλων τὰ φέρτατα, καὶ τάλαντα δὴ, καὶ ἄλλα κατ' ἐξαίρεσιν ἄνευ κλήρȣ. Καὶ παρὰ Ῥωμαίοις δὲ τοῖς παλαιτέροις Κορνικόλȣ τῆς πόλεως ἁλȣ́σης, Ταρκύνιος ὁ βασιλεὺς ἐκ τῶν λαφύρων Ὀκρισίαν ἔσχε λαβὼν ἐξαίρετον, τῶν ἐν Κορνικόλῳ γυναικῶν καλλίστην τε καὶ σωφρονεστάτην: (Διονύσ: Ἁλικαρν: ἐν τοῖς περὶ τῆς Ῥωμαϊκ: Ἀρχαιολ: Βιβλ: Δ'.)

Καὶ γέρα δὲ ἐπ' ἀνδραγαθήμασιν ἐξῃρεῖτο τοῖς λοιποῖς τῶν ἡγεμόνων, καὶ τοῖς ἄλλοις ἀρίστοις, οἷα δὴ καὶ αὐτὸν Ἀγαμέμνονα διανεῖμαι Ἀχιλλεὺς ὡμολόγει: (Ἰλ: Ι'. ϛ. 334.)

„ Ἄλλα δ' ἀριστήεσσι δίδȣ γέρα, καὶ βασιλεῦσι.

Καθ' ἣν διανομὴν καὶ αὐτὸς ἀπηνέγκατο τὴν Βρισηΐδα. Οὕτω καὶ Νεοπτόλεμος ὁ τȣ̃ αὐτȣ̃ υἱὸς, μετὰ τὴν Ἰλίȣ ἅλωσιν: (Ὀδυσ: Λ'. ϛ. 535.)

„ Μοῖραν, καὶ γέρας ἐσθλὸν ἔχων ἀπὸ νηὸς ἔβαινεν,

Ἀνδρομάχην ἀπειληφὼς, ὅπερ ἐπιμαρτυρεῖ Ἴστρος (Ἱστορ: ΙΖ΄.) Καὶ Θησεὺς δὲ ὁ Ἡρακλεῖ ὀπάων γενόμενος κατὰ τῶν Ἀμαζόνων: Γέρας ἀριστεῖον Ἀντιόπην ἔλαβεν: ὅπερ ἐν τῷ βίῳ αὐτοῦ φησὶ Πλούταρχος.

Διὰ τοῦτο καὶ τοῖς στρατιώταις βραβεῖα οἱ ἡγεμόνες προϋπισχνεῖσθαι εἰώθουν, ἐπὶ τοὺς πολεμικοὺς ἀγῶνας αὐτοὺς παραθήγοντες· καθάπερ οὖν Ἕκτωρ, τῶν λαφύρων τὰ ἡμίση ἐπαγγέλλεται δώσειν, ὃς ἂν τὸν Πατρόκλου νεκρὸν οἷός τε γένοιτο ἐπαγαγέσθαι· (Ἰλ: Ρ΄. ϛ. 231.) Καὶ Ἀγαμέμνων δὲ Τεύκρῳ καθυπισχνεῖτο Τροίας ἁλούσης, δῶρον αὐτῷ ἐπιδώσειν τιμῆεν, μεθ' ὃ ἂν αὐτὸς λάβοι: (Ἰλ: Θ΄. ϛ. 289.)

„ Πρώτῳ τοι μετ' ἐμὲ πρεσβήϊον ἐν χερὶ θήσω,
„ Ἢ τρίποδ', ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν,
„ Ἠὲ γυναῖχ' . . . . . . . . . . .

Παρὰ δὲ τῷ Οὐϊργιλίῳ: (Αἰνειάδ: Θ΄.) Ἀσκάνιος καθυπισχνεῖτο Νίσῳ, ἐξελεῖν αὐτῷ ἐκ τῆς λείας τὰ Τύρνου τεύχη, καὶ προσέτι καὶ πολλὰ ἄλλα γέρα προσεπιθήσειν ἀνδραγαθίας· πρὸς οἷς καὶ τοῦ ἀγροῦ μέρος τοῦ Λατίνου προσιδιάζοντος. (ϛ. 274.)

. . . . . Campi, quod Rex habet ipſe Latinus.
„ (Πρὸς δ' ἀγρῶν τι μέρος, τῶν νυνὶ Λατῖνος ἐπάρχει.)

Ἀμέλει τοι τέμενος: οἷον παρ' Ὁμήρῳ θαμὰ ἑκάστῳ τῶν ἀριστευόντων ἀνδρῶν ἀφορίζεται. Ἰδίᾳ δὲ, (Ἰλ: Υ΄. ϛ. 184.) ἔνθ' Ἀχιλλεὺς Αἰνείου διαπυνθάνεται, εἴπερ ἄρα ἧκεν αὐτὸν διαχρησόμενος, ἐπ' ἐλπίδι τεμένους, ὅπερ αὐτῷ οἱ Τρῶες ἀντιδοῦναι ὑπέστησαν.

„Ἦ νύ τι τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων
„Καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι
„Αἴκεν ἐμὲ κτάνῃς. . . . . . . . .

Ἀπαντῶ δὴ τοιαῦτα μυρία, ὁ μόνον παρ' Ἕλλησιν, ἀλλὰ καὶ παρὰ Ρ'ωμαίοις, καὶ ἔθνεσιν ἄλλοις, δι' ὧν οἷον ὑπεκκαυμάτων, τὴν τῶν στρατευομένων εὐψυχίαν, οἱ στρατηγοῦντες ἀνεπύρσευον.

## ΚΕΦΑ'Λ. ΙΖ'.

## Περὶ Εἰρήνης, καὶ περὶ Συνθηκῶν.

Τέλος πολέμου, καὶ ὡσαύτως τοῦδε ἡμῶν τοῦ Φιλοπονήματος, ἡ Ειρήνη. Η' δὲ, ἤτοι ἐν τῇ τῶν ὅπλων κεῖται δυνάμει, ὡς ὅτε τῶν πολεμίων δαμασθέντων, οἱ νικῶντες νόμους κατ' αὐτῶν τιθέασιν, οὓς ἂν βούλοιντο· ἢ γοῦν ἐν σπονδῇ, τῇ ἐπί τισι συνθήκαις ὑφ' ἑκατέρου τῶν μερῶν συνισταμένῃ. Τοῦτὶ δὴ τὸ δεύτερον, ἄμεινόν τε ὂν καὶ μακρῷ ἀσφαλέστερον, διὰ πρεσβευτῶν διεπραγματεύετο ἀποστελλομένων: ὥσπερ Μενέλαός τε καὶ Ο'δυσσεὺς, μετ' ἔστιν ἃς μάχας συγκροτηθείσας, πρὸς τοῦ Ἀγαμέμνονος εἰς Πρίαμον διεπέμφθησαν, οἱ δι' ἀποδόσεως, ἂν οἱ Τρῶες φθάσαντες προαφείλοντο, τὴν εἰρήνην ἀπαιτησόμενοι: τοῦθ' ὅπερ ἔοικεν ὁ Ποιητὴς ἐννοεῖν: (Ι'λ: Γ'. ς. 206.) ἔνθα Πρίαμον εἰσάγει οὕτως Ε'λένῃ προσφθεγγόμενον:

„Ἤδη γὰρ καὶ δεῦρο ποτ' ἤλυθε δῖος Ο'δυσσεὺς,
„Σεῦ ἕνεκ' ἀγγελίης, σὺν ἀρηϊφίλῳ Μενελάῳ.

Τὸ δ' αὐτὸ παρασημαίνει: ( 'Ιλ: Λ'. ς. 139. ) ἐν οἷς ὑπὸ Ε'κτορος χρήμασι διαφθαρεὶς Ἀντίμαχος λέγεται, Ο'δυσσεῖ τε καὶ Με-

τελείᾳ διαπρεσβεύουσιν ἐπὶ τῆς ἀγορᾶς ἀντιστῆναι, κ̀ προτρεπεὺς τοῖς Τρωσὶ γενέσθαι, ὅπως ἂν ἐκ μέσου ἀμφοτέρους ποιήσαιντο· ὅπερ οὖν ἀνέσιον βούλευμα τοῖς ἐκείνου υἱέσιν ὑπὸ Ἀγαμέμνονος ἐκδεδίκηται. Ἀμέλει καὶ γὰρ ἀεί τε καὶ πανταχοῦ οἱ πρεσβεύοντες, κατὰ συμφωνίαν ἐθνῶν ἁπάντων, ἱεροί τε καὶ ἀνεπηρέαστοι εἶναι νομίζονται. Ταύτῃ δὲ καὶ Θεῖοι Ομήρῳ προσαγορεύονται **Κήρυκες**, οἱ ἔνθεν κἀκεῖθεν ἐπὶ πράγμασι δημοσίοις παρὰ Βασιλέων ἀπεσταλμένοι· ἀπὸ γὰρ **Ἑρμοῦ** τὴν ἐκείνων ἀρχὴν οἱ παλαιοὶ παράγοντες ἦσαν. Ἧπου δὲ διὰ τοῦτο κ̀ Λακεδαιμόνιοι Ταλθυβίῳ τῷ Ἀγαμέμνονος Κήρυκι τιμὰς θειοτέρας ἐπεψηφίσαντο, καὶ ἱερὸν αὐτῷ ἀνέθεντο. Καὶ ἅμα δὲ καὶ τοὺς πρὸς γένους ἐκείνῳ **Ταλθυβιάδας**, τὸ τῆς διαπρεσβεύσεως ἔργον ἐς ἀεὶ μετιόντας εἶναι προείλοντο, ὡς Ἡρόδοτός τε μαρτυρεῖ (ἐν τῇ **Μελπομένῃ**) καὶ Παυσανίας ἐν τοῖς **Λακωνικοῖς**.

Σπονδαὶ τοίνυν συνίσταντο ἐν Βασιλεῦσιν, ὡς ἐστὶν ἰδεῖν (Ἰλ: Γ΄. ς. 250.) ἔνθα Ἀγαμέμνων καὶ Πρίαμος συνελθόντες, κατά τινας τελετὰς τεταγμένας, Ἑλλήνων ἐνώπιον κ̀ Τρώων θεωρῶν παρισταμένων, τὰς συνθήκας ποιοῦνται. Ἀρνειὸς ἐκεῖ ἑκατέρωθεν προσηνέχθη, Γῇ τε καὶ Διΐ, καὶ Ἡλίῳ θύματα. Τὸν δὲ τράχηλον τοῦ σφαγίου Ἀγαμέμνων ἀπέτεμε, καὶ τρίχας ἐκ τῆς κεφαλῆς ἐξέκοψε, τὰς τοῖς παρεστηκόσιν ἡγεμόσιν ὑπὸ τῶν Κηρύκων διανεμηθείσας· δι' ὧν ὑπεσημαίνετο, ὡσαύτως δὴ ἐκκοπήσεσθαι μέλλειν καὶ τὸν τὴν σπονδὴν ἀθετήσοντα: ὡς ὁ παρὰ τῷ Σοφοκλεῖ ἔφη:

„ Κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς
„ Γένους ἅπαντος ῥίζαν ἐξημημένος
„ Αὕτως, ὅπως περ τόν δ' ἐγὼ τέμνω πλόκον.

Ἀλλὰ καὶ τὸν αὐτὸν τοῦτον τρόπον, ἐφ' οἱασοῦν ἁγιωτέρας ὁρκωμοσίας τὸ ἱερεῖον σφαγιάζεσθαι εἰώθει: οἷον (Ἰλ: Τ΄. ς. 250, κξ.)

ἔνθα καὶ Ἀγαμέμνων, τȣ͂ κάπρȣ σφαγέντος, καὶ τῶν τριχῶν ἀποτμηθεισῶν ἀπὸ τȣ͂ μετώπȣ τȣ͂ σφαγιάσματος, ἐπόμνυσι μηδαμῶς αὐτὲς συμμιγῆναι τῇ Βρισηΐδι. Καὶ Παυσανίας δὲ ἐν τοῖς Μεσσηνιακοῖς, παρέδωκεν Ἡρακλῆν τοῖς Νηλέως τέκνοις συνθέσθαι, πίςεως ἑκατέρωθεν δοθείσης, ἐπιτομίων κάπρȣ· ἅπερ οἱ μὲν τὰ ἔγκατα ἑρμηνεύȣσιν· οἱ δὲ τὸς ὄρχεις. Καθάπερ ἦν καὶ Τυνδάρεως, τὸς Ἑλένης μνηςῆρας δι' ὅρκȣ ἐπέδησεν, ἐπὶ τῶν τομίων τοῦ ἵππȣ· τȣ͂ αὐτȣ͂ Παυσανίȣ προσεπιμαρτυρȣ͂ντος (ἐν τοῖς Λακωνικοῖς). παραπλήσιόν τι παρατετήρητο ἐν Ἀρειοπάγῳ, ἐπὶ βεβαιώσεως ἁγιωτέρας, παρὰ τȣ͂ διώκοντος τινὰ, φόνȣ, ὡς Δημοσθένης φησὶν, ἐν τῷ κατὰ Ἀριςοκράτȣς. „Στὰς ἐπὶ τῶν τομίων κάπρȣ καὶ κριȣ͂, καὶ τȣ́των ἐσφαγ„μένων, ὑφ' ὧν δεῖ, καὶ ἐν αἷς ἡμέραις προσήκει. Τὰ γȣ͂ν τοιαῦτα τῶν θυμάτων, ȣ̓κ εἰώθει ἐς τροφὴν παρατίθεσθαι, ἀλλ' ἀποῤῥίπτεσθαι· ὡς ὁρῶμεν τὸν τȣ͂ Ἀγαμέμνονος κάπρον ἐκεῖνον: (Ἰλ: Τ'. ς. 267.)

„Τόν περ Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
„Ῥῖψ' ἐπιδινήσας βόσιν ἰχθύσι . . . . .

„Ὅθεν Παυσανίας, Τοῖς γε ἀρχαιοτέροις ἐς τὰ ἱερεῖα ἦν „καθεςηκὸς, ἐφ' ᾧ τις ὅρκον ἐποιήσατο, μηδὲ ἐδώδιμον „τȣ͂το εἶναι ἀνθρώπῳ: τὸ δ' ἔθος παρατετηρῆσθαι γράφει κἀν Ὀλυμπίοις, ὅπȣ οἱ ἀθληταὶ καὶ γυμνασαὶ παρὰ τοῖς Ἑλλανοδίκαις ἐπώμνυον: ἐπὶ κάπρȣ τομίων.

Εἶτα καὶ οἶνος προσήγετο ἑκατέρωθεν, ᾧ συναναμιχθέντι ἀπὸ φιάλης ἀπέσπενδον, ἐξ ȣ͂ καὶ αἱ σπονδαὶ προσείρηνται, καὶ οἱ παραβαίνοντες αὐτὰς ὑπερφίαλοι. Κατὰ δὴ τόνδε τὸν τύπον, παρὰ Οὐΐργιλ: (Αἰνειάδ. ἐν Η' ς. 640. κξ.)

. . . . . . Jovis ante aram pateramque tenentes
Stabant, et caesa jungebant foedera.

„ (Πρὸς βωμῷ Ζηνὸς ςήτην κρητῆρας ἔχοντε
„ Ἵί τ᾽ ἐπὶ κταμένη τεμέτην σφίσιν ὅρκια πιςά.)

Οὕτω δέ πως ὑπεσήμαινον ἐκχυθήσεσθαι τῶν ἀθετησόντων τὸ αἷμα, σφίσι τε καὶ τοῖς σφῶν ἀπογόνοις καταπαρώμενοι, ὡς παρ᾽ Ὁμήρῳ ἀναγινώσκεται: (Ἰλ: Γ΄. ς. 300.)

„ Ὧδε σφ᾽ ἐγκέφαλος χαμάδις ῥέοι, ὡς ὅδε οἶνος.

Καὶ δεξιὰς δ᾽ ἐμβάλλειν ἀλλήλοις εἰώθει ἐν ταῖς συνθήκαις: (Ἰλ: Β΄. ς. 339.)

„ Πῆ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;
. . . . . . . . . . . . . . . . . . . . .
„ Σπονδαί τ᾽ ἄκρητοι, καὶ δεξιαὶ ἧς ἐπέπιθμεν;

Οὕτω δὲ καὶ Οὐΐργιλ: (Αἰνειάδ: ΙΑ΄. ς. 292.)

. . . . . . . . . . . . Coëant in foedera dextrae.
„ . . . . . . . . . (Ξύν τε ῥα ὅρκοις δεξιόεσθον.)

Πίςεως γὰρ σύμβολον ἡ δεξιὰ, καὶ οἷον ἀῤῥαβὼν τοῖς παλαιοῖς ἐνομίζετο· ὡς ἐκ τῆς ἀμοιβαίας Γλαύκου τε καὶ Διομήδους προσεγγυήσεως ἐπιδήλως παρίςαται: (Ἰλ: Ζ΄. ς. 233.)

„ Χεῖρας τ᾽ ἀλλήλων λαβέτην, καὶ πιςώσαντο.

Διὸ Ἀχιλλεὺς (Ἰλ: Ω΄· ς· 672.) Πριάμῳ τὸ ἀσφαλὲς ἐπιβεβαιώσων:

„ Ἔλλαβε δεξιτερὴν, μήπως δείσῃ ἐνὶ θυμῷ.

Ὡσαύτως καὶ Ἀριςοφάνης ἔχει: (ἐν Νεφέλ: ς. 81.)

„ Κῦσόν με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.

„Ἔνθ' ὁ Σχολιογραφήσας: ἔθος ἦν (φησὶν) ἐπὶ πίστει, καὶ συν-
„θήκαις βεβαίαις, τὰς δεξιὰς διδόναι ἀλλήλων. Παρὰ δὲ Πέρσαις τὸ ἔθος μάλιστα πάνδημον ἦν· ἡ γὰρ δεξιὰ αὐτοῖς πίστεως ἐνέχυρον ἦν ἁγιώτατον, ὡς γράφει Διόδωρος.

Ἀλλὰ καὶ οἱ Θεοὶ ἐπὶ τῶν τοιῶνδε τελετῶν ἐπόπται καὶ μάρτυρες ἀπεκαλοῦντο παρεῖναι, καὶ τῶν ἀσυνθετέντων τιμωροί· ὃν δήπου τρόπον καὶ Ἀγαμέμνων ἐπεβοᾶτο, Ζῆνα τε τὸν κύδιστον καὶ μέγιστον, καὶ Ἥλιον τὸν πάντ' ἐφορῶντα, καὶ πάντ' ἐπακούοντα· καὶ ποταμοὺς, καὶ γῆν, καὶ Πλούτωνα, καὶ Περσεφόνην, καὶ ἔτι λοιπὸν γένος δαιμόνων τῶν ὑπένερθεν τοὺς ἐπιορκοῦντας ἐπιτιννύντων. Παραπλησία δὲ ταύτῃ καὶ ἡ Αἰνείου παρὰ τῷ Μάρωνι: (Αἰνειάδ: Βιβλ: ΙΒ'.) ἱκετήριος ἐπιμαρτυρία. Τοῦτο δ' ἐπὶ πασῶν συνθεσιῶν χώραν εἶχε, τὸ μὴ ἄλλ' ἢ ἐπὶ Θεοῖς αὐτὰς διαπραγματεύεσθαι μάρτυσιν: (Ἰλ: Χ'. ς. 254.)

„ Ἀλλ' ἄγε δεῦρο Θεοὺς ἐπιδώμεθα, τοὶ γὰρ ἄριστοι
„ Μάρτυροι ἔσσονται, καὶ ἐπίσκοποι ἁρμονιάων.

Παραπλησίως δὲ καὶ (Ὀδυσ: Ξ'. ς. 393.)

„ Ἀλλ' ἄγε νῦν ῥήτρην ποιησόμεθ', αὐτὰρ ὕπερθε
„ Μάρτυροι ἀμφοτέροισι Θεοὶ, τοὶ Ὄλυμπον ἔχουσιν·

ὡς Εὐμαίῳ Ὀδυσσεὺς ἔφασκεν.

Ἀλλὰ τῶν Θεῶν ἁπάντων ἐξόχως τὸν Δία ἐπὶ τῇ κυρώσει τῶν συνθεσιῶν ἐτύγχανον ἐπικαλούμενοι· ὥσπερ Ἀγαμέμνων, διὰ τοῦτο καὶ τὰ πρῶτα δεδώκει, (Ἰλ: Γ'. ς. 276.) καὶ οὗπερ ἕνεκα, καὶ Ζεὺς προσείρηται ὅρκιος, καὶ τῷ κεραυνῷ καθώπλισται ἐπ' ὀλέθρῳ τῶν ἐπιορκούντων ἐν δολιότητι: ὃ δὴ ἀνενδοιάστως ἐπίστευον ἔψεσθαι, κἂν τὰ πράγματα ἐς μα-

κρὸν ἀναβάλλοιτο. Οὕτω καὶ γὰρ (ὡς μετὰ τὴν ἀθέτησιν τῶν ὅρκων, ἀπίςως Μενέλαον κατέτρωσε Πάνδαρος:) ἀπεφθέγξατο Ἀγαμέμνων: ὡς ἐκ ἄκυρα ἔςαι (εἰπὼν) τὰ ὅρκια, ἐδὲ πᾶν ἀρνῶν τὸ αἷμα, ἐδ᾽ αἱ σπονδαὶ αἱ ἄκρατοι, καὶ αἱ ἀντιπροταθεῖσαι δεξιαὶ, αἷς ἐπιτεθαῤῥηκότες ἐγένοντο· εἰ γὰρ καὶ Ζεὺς μὴ παρὰ χρῆμα κολάζοι Τρῶας, ἀλλ᾽ ὀψὲ μέντοιγε, σὺν γυναιξὶν αὐτοὶ καὶ τέκνοις αὐτῶν, δίκας τίσεσιν. (Ἰλ: Δ΄. ς. 155. κξ.) Καὶ ἕτω δήπε ἡ ψευδορκία ἐπὶ τοῖς αὐτῶν ἐκδεδικηται ἐψιγόνοις: καθάπερ ἡ Πύθεια Γλαύκῳ τῷ Ἐπικυδίδῃ „ἀπεκρίνατο„ παρ᾽ Ἡροδότῳ (ἐν Ἐρατοῖ) Ἀλλ᾽ ὅρκε πάϊς „ἐςὶν ἀνώνυμος· ἐδέ τε χεῖρες, ἐδέ τε πόδες „(αὐτῷ·) κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν „ξυμμάρψας ὀλέσῃ γενεὴν, καὶ οἶκον ἅπαντα. Ἐπισεσημείωται δὲ καὶ τοῖς Συγγραφεῦσιν Ἑλλήνων, ὅτι Φίλιππος ὁ Μακεδόνων Βασιλεὺς ἀπιςότατός τε καὶ ἐπιορκότατος βασιλέων γενόμενος, δίκας ἔτισε τὰς ὑπὸ τῦ δαιμονίε οἱ ἐπιτεθείσας, αἳ καὶ εἰς ἅπαν αὐτῦ τὸ γένος μετοχετεύθησαν. Διόπερ Ἑλλήνων οἱ πάλαι, τῷ Θεῷ μόνῳ τιμωρῷ εἶναι τῆς ἐπιορκίας παρέλιπον, ὡς Δημοσθένης εἰς Ἀριςοκράτην λέγων ἐδίδαξεν. Ὅθεν καὶ Κικέρων (ἐν τοῖς περὶ τῶν Νόμ:) ἔφη· ὅτι ἐπιορκίας ποινὴ, θεία μὲν ὄλεθρος· ἀνθρωπίνη δὲ ὄνειδος.

Ἐν γῦν ταῖς συνθήκαις, τετὶ πρῶτον διωρίζετο, ἡ ἐπιςροφὴ τῶν ἀφαιρεθέντων· διὸ Ἀγαμέμνων ἀπαιτεῖ τοῖς Ἀχαιοῖς πρὸς Τρώων ἀποδοθῆναι Ἑλένην, καὶ πάνθ᾽ ὅσα σὺν αὐτῇ ἀφήρπασε Πάρις. Προσεπετίθει δὲ ἰδιαίτερον καὶ πρόςιμον τόδε, τοῖς Ἕλλησι Πρίαμον ἀντισηκῶσαι, τάς τε δαπάνας ἀποδόντα, καὶ τὲς μόχθες ἀντιταλαντεύσαντα, ἔςπερ ἐπὶ τῇ ἐκςρατείᾳ ὑπέςησαν· (Ἰλ: Γ΄. ς. 286.)

Ἀλλὰ γὰρ ἐκεῖνο ἴδιον ἐπὶ τῆς τοιᾶσδε συνθήκης πρυτέθη: ὅτι διὰ μάχης προσωπικῆς, τῆς μέσον Ἀλεξάνδρυ καὶ Μενελάυ, τὸ πᾶν ἔργον ὅτας ἐχρῆν διαπερανθῆναι, ὥστε θατέρυ ἀποκτανθέντος, θάτερον, τῶν περὶ ὧν ἡ δῆρις πραγμάτων τῆς ἀπολαύσεως, εἶναι κύριον. Παναρχαιον δήπυθεν ὑπῆρχε τὸ ἔθος, τῦ διὰ μονομαχίας τὸ ὅλον τῦ πολέμυ διαλύεσθαι νεῖκος, καὶ τύτυ παλαιὸν ὑπόδειγμα φέρεται παρὰ Ἡροδότῳ (ἐν τῇ Καλλιόπῃ:) ἔνθα Ὕλας ὁ τῦ Ἡρακλέυς, καὶ Ἔχεμος ὁ Τεγεατῶν Ἄναξ: ὁ μὲν ὡς ἐκ τῦ ςρατῦ τῶν Ἡρακλειδῶν, ὁ δὲ ὡς ἐκ τῦ τῶν Πελοποννησίων, ἐπὶ τοιᾶδε συνθήκῃ ἀλλήλοις συνέβαλον: ἵνα, ἐὰν μὲν ἐκεῖνος γένηται κρείσσων, τὸ τῶν Ἡρακλειδῶν γένος ἐπὶ τὴν πατρῴαν αὐτοῖς δεσποτείαν τῆς Πελοποννήσυ ἐπανέλθωσιν: ἢν δὲ μὴ, ἐς γ' ἐπὶ ἑκατοςύος ἐνιαυτῶν ἀπέχοντες ὦσι. (Διόδωρ: Σικελ: Βιβλ.: Δ'. Κεφ: 183.) Ἄλλοτε δ' ὖν καὶ ἐκ συμβολῆς πλειόνων ἡ σωτηρία τῶς ςρατειαῖς ἐμνηςεύετο: ὡς ὅτε Ἀργεῖοι τε καὶ Λακεδαιμόνιοι περὶ Θυρέας ἐρίζοντες, τριακοσίυς ἐξ ἑκατέρυ ςρατῦ ἐπὶ τὴν δῆριν ἐξελέξαντο ἀντιπαρατάξαντες, ὡς ἂν ἡ ἀμφισβητυμένη χώρα τοῖς νικήσασι περιγένοιτο. Οὕτω δὴ καὶ οἱ Τεγεάται, καὶ Φενεάται διὰ τριῶν αὐτοκασιγνήτων, τῶν ἑκατέρωθεν ἀντιπαραταχθέντων, διῃτήσαντο τὰ τῆς μάχης, ὥσπερ Δημάρατος καθιςόρησεν ἐν τοῖς Ἀρκαδικοῖς· καὶ ταύτῃ δὲ τῇ μάχῃ καὶ Πλύταρχος παρατίθησιν (ἐν τοῖς παραλλήλοις) τὴν τῶν Ὡρατίων τε καὶ Κυριατίων, αὐτοκασιγνήτων ἀμφοτέρωθεν ὄντων, καὶ ἰσαρίθμων, ἀνταγώνισιν.

Ἀλλὰ γὰρ ὐχ ὕτω συνεχῶς ἡ τοιάδε τῦ πολέμυ συνθήκη συνετελεῖτο: ὡς γὰρ ἐπὶ τὸ πλεῖςον τὰ ξίφη συνέτρεχεν ἀθρόα, καὶ τὴν αἱδροκτασίαν ἐς πέρας ἦγε. Καὶ ὐδ' οἱ δόλοι δ' ἐν αὐτοῖς καὶ αἱ πα-

νεργοὶ τέχναι ἀπῆσαν, ὧν γενετῆρα πολύγονον Ὅμηρος Ὀδυσσέα ἀνακηρύττει· ὅτινος τῇ ὑποβολῇ Ἐπειὸς τὸν Δούρειον ἐτεκτήνατο ἵππον· ἐν ᾧ καὶ Ὀδυσσεὺς αὐτὸς ἔνεδρος ἐγκαθειρχθεὶς μετὰ τῶν ἄλλων, τῶν ἐν Ἕλλησιν ἀρίστων, τὸ Τροίας ἄστυ κατέσχον, καὶ φλογὶ καὶ σιδήρῳ ἄρδην ἀπήλειψαν. Οὕτω δὴ πέρας ἔσχε τὰ τοῦ Τρωϊκοῦ πολέμου, καὶ ἡ εἰρήνη συνέστη, διὰ τῆς τῶν πολεμίων πανολεθρίας, ἣν ὁ Ἑλλήνων στρατὸς ἐξειργάσατο.

ΤΕΛΟΣ.

# Ἐκ τῶν Ἀγγέλου Μαρίας Κυιρίνου τοῦ Ἐνετοῦ: τοῦ ποτὲ μὲν ἐπὶ τῶν ἐν Κερκύρᾳ ἐμπολιτευομένων Λατίνων Ἀρχιεπισκοπήσαντος, ἔπειτα δὲ εἰς ἀξίωμα Καρδινάλεως ὑπὸ τοῦ Ῥώμης ἀρθέντος: Σύγγραμμα ἀπὸ τῆς Λατινίδος Φωνῆς ἐξελληνισθέν.

---

## Περὶ τῶν Κερκυραϊκῶν Ἀρχαιολογιῶν.

### ΚΕΦΑΛ. Α΄.

Κατά γε τὰ Διδύμῳ ἀποδιδόμενα Σχόλια εἰς τὴν Ὁμήρου Ποίησιν (Ὀδυσ: Ε΄. ς. 34.) Σχερία ἐκαλεῖτο ἡ νῆσος ἡ τῶν Φαιάκων τὸ πρότερον, ἡ μετὰ τοῦτο Κέρκυρα, τὸ δ' ἀρχαιότατον ὀνομαζομένη Δρεπάνη. (Εὐστάθ: ἐν ταῖς Παρεκβ: καὶ Στέφ: ὁ Βυζάντ:, ἢ ὁ τούτου ἐπιτομεὺς Ἑρμόλαος ἐν τοῖς περὶ πόλεων: ἐν φωνῇ Φαίαξ.) Καὶ Ἀπολλώνιος δὲ ὁ Ῥόδιος, ἐν Βιβλ: Δ΄. τῶν Ἀργοναυτ: οὕτως ᾄδων:

Τ τ

...ΝΙΚΗ ΔΗΜΟΚΡΑ...
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

„Ἔςι δέ τις πορθμοῖο παρεκτέρη Ἰονίοιο,
„Ἀμφιλαφὴς, πίειρα, Κεραυνίη εἰν ἁλὶ Νῆσος,
„Ἧι ὕπο δὴ κεῖσθαι δρέπανον φάτις: (Ἵλατε Μῆσαι!).
„Οὐκ ἐθέλων ἐνέπω προτέρων ἔπος· ᾧ ἀπὸ πατρὸς
„Μήδεα νηλειῶς ἔταμε Κρόνος. (Οἱ δέ ἑ Δηῦς
„Κλείεσι χθονίης καλαμητόμον ἔμμεναι ἅρπην.
„Δηὼ γὰρ κείνῃ ἐνὶ δήποτε νάσσατο γαίῃ·
„Τιτῆνας δ' ἔδαε ςάχυν ὄμπνιον ἀμήσασθαι·
„Μάκριδα φιλαμένη.) Δρεπάνη τόθεν ἐκλήϊςαι·
„Οὔνομα Φαιήκων ἱερὴ τροφός. . . . . . .

Τῶν τοίνυν δισσῶν τῆς ἅρπης ἐκείνης χρήσεων, τὴν μὲν, εἰς Ἀμητὸν Ἀριςοτέλης ὑπέθετο, (ἐν Βιβλ: τῷ περὶ τῆς Κερκυραίων Πολιτεί:) τὴν δὲ, εἰς τὴν ἐκτομὴν τῶν αἰδοίων, (Τιμαῖος παρὰ τῷ Ἀπολλωνίȣ Σχολιαςῇ.) φάσκων: τȣ̈νομα τῇ Νήσῳ ἐπιτεθῆναι ἀπὸ τȣ̈ Δρεπάνȣ, ᾧπερ ἀπεξέτεμε τὰ τȣ̈ Οὐρανȣ̈ αἰδοῖα ὁ Κρόνος, ἢ ὁ Ζεὺς τὰ τȣ̈ Κρόνȣ. Ἐξ ȣ̈ καὶ ἐπιςυγῇ τὴν Κέρκυραν Λυκόφρων ὁ Χαλκιδεὺς προσεῖπεν, ἐν οἷς τὴν Ὀδυσσέως ἐπὶ τῆς Νήσȣ ἀφηγεῖται προσόρμισιν.

„ . . . . . Νῆσον δ' εἰς Κρόνῳ ςυγȣμένην
„Ἅρπην περάσας μεζέων κρεανόμον,
„Ἄχλαινος ἵκτης πημάτων λυγρῶν κόπις (ἴσ: κόπιν)

Καὶ ὁ τȣ̈ Λυκόφρονος ἐξηγητὴς Κέκης: (εἴ τε Ἰωάννης ȣ̈τος ἐςὶν, „εἴτ' ȣ̈ν ὁ Ὁμαίμων Ἰσαάκιος:) προσέθετο: Καὶ ȣ̈τω μὲν ἡ

„Κέρκυρα Δρέπανον λέγεται. Τὴν γε μὴν Ἄρπην ἄλλοθι „ὁ αὐτὸς Λυκόφρων ἀναφέρων: Ἄρπης Κρόνου πήδημα εἶπεν.

Ἐντεῦθεν ὁ Σχολιαστὴς ἡγεῖται Δρέπανον ὠνομασθῆναι καὶ τὸ ἐπὶ τῆς Σικελίας φρούριον. Ἄλλοι δὲ, καὶ τὸ ἐπὶ τῆς Ἀχαΐας ἀκρωτήριον, „κατὰ Παυσανίαν, τὸν (ἐν τοῖς Ἀχαϊκοῖς) ἱστοροῦντα: Λέγεται „λόγος, ὡς Κρόνος τῆς θαλάσσης ἐνταῦθα ἔρριψε „τὸ δρέπανον, ᾧ τὸν πατέρα Οὐρανὸν ἐλυμήνατο. „Ἐπὶ τούτῳ δὲ καὶ τὴν ἄκραν, Δρέπανον ὀνομάζουσι.

Συμπεριῆλθε τοιγαροῦν τοῖς ῥιφεῖσιν αἰδοίοις μετὰ τῆς Ἄρπης καὶ τοὔνομα. πολλαχόσε συμπεριφερόμενον: καθὰ καὶ Ἡσίοδος (ἐν τῇ Θεογονίᾳ) περὶ τοῦ Κρόνου ᾄδων φησί.

„ . . . . . . . Πελώριον ἔλλαβεν Ἄρπην,
„ Μακρὴν καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸς
„ Ἐσσυμένως ἤμησε, πάλιν δ' ἔρριψε φέρεσθαι
„ Ἐξοπίσω· τὸ μὲν οὔτι ἐτώσια ἔκφυγε χειρός·
„ Ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι,
„ Πάσας δέξατο γαῖα. Περιπλομένων δ' ἐνιαυτῶν
„ Γείνατ' Ἐρινῦς τε κρατερὰς, μεγάλους τε Γίγαντας.

Καὶ μετ' ὀλίγα:

„ Μήδεα θ' ὡς τὸ πρῶτον ἀποτμήξας ἀδάμαντον
„ Κάββαλ' ἐπ' Ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ·
„ Ὣς φέρετ' ἀμπέλαγος πουλὺν χρόνον. . . .

Ἀλλ᾽ ἧπε τὸ μᾶλλον εἰκός ἐςὶν ἀπὸ τῦ σχήματος τὄνομα τῇ Κερκύρᾳ προσαρμοσθῆναι, ὡς αὐτὸς ἐπιφέρει ὁ τῦ Ἀπολλωνίȣ Σχο„λιογράφος· Δρεπάνη δ᾽ ἐκαλεῖτο, διὰ τὸ τὴν Δήμητρα „δρέπανον παρὰ Ἡφαίςȣ αἰτησαμένην, τὲς Τιτᾶ„νας διδάξαι θερίζειν· εἶτα αὐτὸ κρύψαι εἰς τὸ πα„ραθαλάσσιον μέρος τῆς Νήσȣ· προσκλυζέσης δὲ „τῆς θαλάσσης ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς „δρεπάνῃ. Παραπλήσιόν τι δὲ καὶ περὶ τῦ Σικελικȣ̃ Δρεπάνȣ Σέρβιος παρέδωκεν ὁ τῦ Οὐϊργιλίȣ Σχολιαςὴς, (ἐν τῷ Γ΄. Βιβλίῳ τῆς Αἰνειάδος.) ᾧ ϗ Κλȣβέριος συνᾴδει, (ἐν τῷ Β΄. τῶν περὶ τῆς πάλαι Σικελίας Κεφαλ: Α΄) καὶ ἄλλοι: οἷςπερ ἀλλ᾽ ἓν ἐδόλως συντίθεται Βόχαρτος (ἐν τῷ Α΄. Βιβλ: Κεφ: 27. τῦ Β΄. μέρȣς τῆς ἱερ: Γεωγρ:) ἀντιφέρων· ὅτι, ἐν τῷ Δρεπανιτανῷ τȣ́τῳ λιμένι, ȣ̓κ σχήματι ἅρπης ἡ γῆ διακαμπυλȣ̃ται, ἀλλ᾽ εἰς ὀξὺ προεκκύπτει λήγȣσα. Ἀλλ᾽ ὅτι ἡ Κέρκυρα Δρεπανοειδής πως ἐςὶ τὸ σχῆμα, δῆλον τοῖς ἐποπτεύσασι.

Παραπλησίως δὲ καὶ Μάκρις εἴρηται ἡ Κέρκυρα παρὰ τῷ Ἀπολλωνίῳ ἐν τῷ Δ΄. Βιβλ:

„Μάκριν τ᾽ εἰσαφίκανε Διωνύσσοιο τιθήνην..

Ἣν ἄμεινον ἴσως ἀπὸ τῦ μακροτενȣ̃ς τῦ σχήματος ȣ̔́τως ἀποκεκλῆσθαι λέγειν, ὡς καὶ ὁ τὰ Διονυσίȣ τῦ περιηγητȣ̃ ἑρμηνεύσας Εὐςάθιος ὁ „Θεσσαλονίκης τὴν Εὔβοιαν φησὶν εἰρῆσθαι, διὰ τὸ τῆς θέσε„ως ἐπίμηκες. Τὴν αὐτὴν γὰρ τῇ τῦ Βάκχȣ τιθήνῃ Κερκύρᾳ παραπλησίως ἐπιτεθεῖσθαι κλῆσιν, ἥν περ καὶ τῇ Εὐβοίᾳ, ὡς ἐκ τῦ Ἀπολλωνίȣ μανθάνομεν (ἐν Βιβλ: Δ΄.)

„Κείνη δὴ πάμπρωτα Διὸς Νυσσήϊον υἷα,
„Εὐβοίης ἔντοσθεν Ἀβαντίδος ᾧ ἐνὶ κόλπῳ
„Δέξατο. . . . . . . . . . . . . .

Καὶ ἄλλως δὲ Σχέρεια ἡ Κερκύρα ἐπωνομάσθη. Ὡς γὰρ διέξεισιν αὐτοῖς Σχολιαστὴς Ἀπολλωνίου, Ἀριστοτέλης ἐστὶν ὁ τὴν αἰτίαν τῆς „τοιαύτης ἐπωνυμίας τῇ Κερκυραϊκῇ ἀποδοὺς Νήσῳ: φησὶ γὰρ τὴν „Δήμητρα φοβουμένην, μὴ οἱ ἐκ τῆς Ἠπείρου ἐρχόμενοι πο- „ταμοὶ, ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος ἐπι- „στρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. Ἐπισχεθέντων οὖν τού- „των, ἀντὶ Δρεπάνης Σχερίαν ὀνομασθῆναι. (Ὅρα καὶ τὸν Σχολιαστ: ἐν τῇ τῶν Ἐπιγραμ: ἀνθολογ: Βιβλ: Α΄. Κεφ: 51. ἐπιγ- ραμ. α΄. καὶ Στέφαν: τὸν Βυζάντ: ἐν τῇ φωνῇ Σχερία. Καὶ Εὐστάθ: κατ᾽ ἀρχὰς τοῦ Ε΄. τῆς Ὀδυσ:) Ἡ δὲ παραγωγὴ ἀπὸ τοῦ ἴσχειν, καὶ σχεῖν κληθῆναι τὴν Σχερίαν ἐμφαίνει. Ἐκ γοῦν παραπλησίας ὑδά- των ἐπιῤῥοίας καὶ τὴν Λευκάδα ποτὲ ἀπονησοχερσωθῆναι, τὴν πάλαι Νήρυτον, ἱστορεῖ Πλίνιος· (Φυσικ: ἱστορ: Βιβλ: Δ΄. Κεφ: Α΄.)

Ἀλλὰ Σαμουὴλ Βόχαρτος (ἐν τῇ ἱερ: Γεωγρ: Βιβλ: Α΄. Κεφ: ΚΓ΄.) ἐκ τοῖς φωνῆς Σχάρα, τῆς παρὰ Φοίνιξι τὸ Ἐμπόριον ση- μαινούσης, Σχερίαν ἐτυμολογεῖν ἐθέλει τὴν Κέρκυραν, ὡς ἔκπαλαι τὴν Νῆσον οὖσαν τῇ Ναυτικῇ ἔκδοτον.

## ΚΕΦΑΛ. Β΄.

Διόδωρος (ἐν τῷ Δ΄. τῆς Βιβλιοθ:) τῶν Ἀσωποῦ καὶ Μεθώνης θυ- „γατέρων ἔσαν, τὴν Κέρκυραν (φησὶν) ὑπὸ δὲ Ποσειδῶνος „ἀπενεχθῆναι ἐπὶ τὴν Νῆσον τὴν ἀπ᾽ ἐκείνης κληθεῖσαν Κέρκυραν. Καὶ Στέφανος περὶ πολ: ἐν λέξ: Φαίαξ: ὅτι Φαίαξ „ Ποσειδῶνος, καὶ Κερκύρας τῆς Ἀσώπιδος, ἀφ᾽ ἧς ἡ Νῆ-

„σος Κέρκυρα ἐκλήθη (ὡς ἀπ' ἐκείνȣ Φαιακία,) ἡ τὸ πρὶν „Δρεπάνη καὶ Σχερία κληθεῖσα. Παρίςησι δὲ μάρτυρα τȣ̃ λεγομένȣ Ἑλλάνικον ἐκ τȣ̃ Α'. τῶν Ἱερειῶν. Ταυτὰ καὶ Εὐςάθιος ἔχει ἐν τῷ Ε'. τῆς Ὀδυσ: Ὅρα καὶ Παυσανίαν ἐν τοῖς Κορινθιακοῖς, κἀν τῷ προτέρῳ τῶν Ἠλειακῶν.

Ὁ μέν τοι Βόχαρτος ἀπὸ τῆς Ἀράβων φωνῆς, Κάρκαρα. τὴν Κερκύραν κληθῆναι οἴεται: ὃ σημαίνει: τὸ εἰρηνικῶς καὶ ἐν ἀσφαλείᾳ διάγειν· καθάπερ Ὁμήρȣ μαρτυρȣ̃ντος (Ὀδυσ: Η'.) διαζῶντες ἦσαν τὸ πάλαι οἱ Φαίακες. Ἀλλὰ τὸ Κερκύρας ὄνομα ȣ̓δαμȣ̃ παρ' Ὁμήρῳ ἀναγινώσκεται. Διὸ καὶ Ἰωάννης ὁ Ἀρδȣΐνος εἰκότως ἐλέγχεται, ὁ ἐν τῇ κατ' αὐτὸν ἀρχαίᾳ Γεωγραφίᾳ τῷ Ὁμήρῳ τȣ̃το προσαναπλάττων· ὃν δήπȣ ἔλεγχον καὶ ὁ Γραμματικὸς Καλλίμαχος ὑπὸ Ἐρατοσθένȣς καὶ Ἀπολλοδώρȣ ὑπέςη, (ὡς ἐςὶ μαθεῖν παρὰ Στράβωνι Βιβλ: Α'. καὶ Ζ'.) τὴν Ὁμηρικὴν Σχερίαν προσαγορεύσας Κέρκυραν.

Γεζεκιὴλ ὁ Σπαγχέμιος διατείνεται, ὅτι Κερκυρά τε καὶ Κερκυραῖοι, ȣ̓δέποτε παρὰ τοῖς παλαιοῖς Κόρκυρα τε καὶ Κορκυραῖοι, διὰ τȣ̃ (Ο) ἦν προφερόμενον. ἀλλ' ὁ παρεκβολεὺς Εὐςάθιος, „ἐν τοῖς Διονυσίȣ τȣ̃ (περιηγητȣ̃ ς. 994.) παρασημειοῖ: ὅτι πολλὰ „Σχόλια, καὶ πολλὰ Ἱςοριῶν ἀντίγραφα ἐμφαίνȣσιν ἀμ„φιβόλως ἔχειν παρὰ τοῖς παλαιοῖς τὴν τῆς Νήσȣ „ταύτης γραφήν: λέγεσθαι γὰρ καὶ διὰ τȣ̃ (Ο) Κόρκυραν. Ἀλλὰ τῇ διὰ τȣ̃ (Ε) γραφῇ ὁ Σχολιαςὴς διὰ παντὸς χρῆται· καί γε ἰδίως παρατηρεῖ, ὅτι ἡ Μικρά τε καὶ Μέλαινα, ἡ καθ' ἡμᾶς (Curzola) τὸ Νησίδιον, Κορκύρα μάλιςα διὰ τȣ̃ (Ο) ὀνομάζεται.

Α᾽λλαμὴν καὶ Κόρκυρα ἢ Κέρκυρα προσείρηται ἡ Κερκίρα, εἴτε κατὰ βραχεῖαν παραλλαγὴν τοῦ (υ) εἰς τὴν (ου) δίφθογγον· εἴτ᾽ οὖν καὶ διὰ τὸ τῆς Νηὸς εἶδος, ἣν Κέρκουρον ναυπηγοῦντες οἱ Κερκυραῖοι ἐτύγχανον· εἴρηνται γὰρ καὶ Κέρκυρες οἱ Κερκυραῖοι, ὡς ὁ τοῦ Διονυσίου χολιάζων αὐτὸς ἐπισεσημείωκεν. Α᾽λλ᾽ ἐνταῦθα ἐπανορθωτέον μετὰ Βοχάρτου, καὶ τὴν ἐν τῷ Λεξικῷ Η῾συχίου διεσφαλμένην ἀνάγνωσιν: Σχερίη καὶ ἡ Κοῦρα: ἀναγνωστέον δὲ: Σχερίη Κέρκουρα.

Κορκυραῖα δὲ καὶ τὰ ἐν Α᾽ρμενίᾳ Γορδιαῖα ἤκουσεν ὄρη ὑπὸ Α᾽λεξάνδρου τοῦ Πολυΐστορος (παρ᾽ Εὐσεβίῳ ἐν τοῖς Χρονικ:) λέ- „γοντος, ὅτι τοῦ πλοίου τούτου (ἤτοι τῆς τοῦ Νῶε Κιβωτοῦ) κατα- „κλιθέντος ἐν Α᾽ρμενίᾳ, μέρος τι ἔτι εἶναι λέγεται ἐν τοῖς „Κορκυραίοις ὄρεσι τῆς Α῾ρμενίας διαμένον. Α᾽λλὰ Βόχαρτος (ἐν τῇ ἱερ: Γεωγ: Βιβλ: Α′. Κεφ: Β′.) τὴν Γορδιανὴν κληθῆναι ἐτεκμήρατο, διὰ τὴν τοῦ Χὰμ πρὸς τὸν γεννήτορα Νῶε ἀπόνοιαν.

Ε᾽κ τοῦ Κορκύρας ὀνόματος, τὸ Κορφοὶ κοινότερον προῆλθεν, ὃ πρότερον Κορυφὼ ἦν, διὰ τὴν ἐπὶ τῆς Νήσου ἄκραν, ἥτις „ὑπὸ Νικήτα τοῦ Χωνειάτου (ἐν τοῖς Χρονικ: Βιβλ: Β′.) Κορυφὼ „προσείρηται, ὡς αἰγίλιψ πᾶσα καὶ ἀγχινεφὴς οὖσα, ἑλι- „κοειδής τε τὴν θέσιν καὶ ὑψικόρυμβος προσνενευκυῖα εἰς „τὸ βάθιστον τῆς θαλάσσης· πέτραι δὲ περιερρώγεσαν „αὐτὴν ἀμφίκρημνοι καὶ ἀπότομοι. Α᾽λλ᾽ Ε᾽δουάρδῳ Vels, τῷ τὴν Διονυσίου περιήγησιν κατὰ τὴν νῦν Γεωγραφίαν παραπεποιηκότι, τὴν Κορφοὶ, ἢ Κορυφὼ, εἰς τὴν Κόρφυν ἔδοξε μεταφράσαι:

„Κείνην νῦν ναῦται Κόρφυν διεφημίξαντο.

Ῥαφαὴλ δὲ ὁ Βολτεῤῥανὸς (Γεωγρ: Βιβλ: Θ΄.) καὶ ἄλλοι Κορφίνιον ἀπεκάλεσαν. Ἀλλ᾽ οὐδεὶς τόδε τὸ Κορφίνιον τὴν τῶν Πελιγνώτων εἶναι φήσει Μητρόπολιν.

Ἡ μικρά τε καὶ μέλαινα ῥηθεῖσα Κορκύρα, ἐκ τῆς Ποσειδῶνος καὶ Ἀσώπιδος Κερκύρας, καὶ αὐτὴ καθιςόρηται ὑπὸ Ἀπολλωνίου (ἐν τοῖς Ἀργοναυτ: Βιβλ: Δ΄.) τοῦ καὶ διότι μέλαινα προσείρηται διερμηνεύσαντος:

„ . . . . . . . . Κέρκυραν ἵκοντο
„ Ἔνθα Ποσειδάων Ἀσώπιδα νάσσατο κούρην
„ Ἠΰκομον Κέρκυραν, ἑκὰς Φλιουντίδος αἴης,
„ Ἁρπάξας ὑφ᾽ ἔρωτι· μελαινομένην δέ μιν ἄνδρες
„ Ναυτίλοι ἐκ πόντοιο κελαινῇ πάντοθεν ὕλῃ
„ Δερκόμενοι, Κέρκυραν ἐπικλείουσι μέλαιναν.

Ἔοικε δ᾽ οὖν τὴν ἐλάσσονα ὑπὸ τῆς μείζονος ἐπισυςῆναι· ἀλλ᾽ ὅθεν ἄρα Βόχαρτος (ἐν Μέρ: Β΄. τῆς ἱερ: Γεωγραφ: Βιβλ: Α΄. Κεφ: ΚΓ΄.) μαρτυροῦντα ἐπεισάγει Στράβωνα (ἐκ τοῦ Ζ΄. Βιβλ:) ἔνθα μηδενὸς λόγου περὶ Κερκυραίων ὑπόντος; ἐνταῦθα γὰρ τοῦ Κνιδίων κτίσματος μνεία γίγνεται· περὶ οὗ Στράβωνι, καὶ Σκύμνος ὁ Χῖος ἐν τῇ περιηγήσει συνᾴδει:

„ . . . . . . . . Ἥ τε λεγομένη
„ Μέλαινα Κέρκυρ᾽, ἣν Κνίδιοι κατῴκισαν.

# ΚΕΦΑΛ. Γ'.

Οἱ ἀπὸ Κερκύρας τῆς Ἀσωπίδος **Κερκυραῖοι**, ἀπὸ τȣ̃ υἱȣ̃ αὐτῆς Φαίακος, ὃν ἐκ Ποσειδῶνος ἔσχε, **Φαίηκες** ἐπεκλήθησαν. (Ὅρα Στέφ: τὸν Βυζάντ: ἐν τῇ φωνῇ **Φαίαξ**· καὶ Διόδ: τὸν Σικελ: ἐν τῷ Δ'. καὶ τὸν Σχολιασ: Εὐσάθ: ἐν τῷ Ε'. τῆς Ὀδυσ:)

Ἃ δ' ȣ̓̃ν περὶ τȣ̃ **Φαίακος** ὁ Μαρμαρᾶς γράφει, ὅτι ἄριστα καὶ εὐνομώτατα τὴν Κέρκυραν διοικήσας ἐγένετο, ὑπ' ȣ̓δενὸς ἄλλȣ περὶ τȣ́των συγγράψαντος μαρτυρȣ́μενα ἴσμεν. Καὶ ȣ̓δ' ὃ προστίθησιν, ἐστὶν ἀληθὲς, τὸ ἐπὶ τȣ̃ Φαίακος ἡγεμονεύοντος, τὸν Ἰάσωνα μετὰ τῶν Ἀργοναυτῶν ἐπὶ τὴν Νῆσον κατᾶραι· οἱ γὰρ τὰ Ἀργοναυτικὰ γραφῇ παραδόντες ἐπὶ Ἀλκινόȣ τȣ̃ Φαιάκων Ἄνακτος τὴν κάταρσιν ἀναφέρȣσιν· ἔπειτα, ȣ̓δ' ὁ παρὰ Πλȣτάρχῳ (ἐν Βίῳ Θησέως) **Φαίαξ**, ȣ̓δ' ὁ (ἐν τῷ Ἀλκιβιάδȣς) ἀντὶ τȣ̃ οἰκιστȣ̃ Φαιακίας εἰκότως ἂν ὑποτεθείη· καθάπερȣ̃ν ȣ̓δ' ὁ ὑπὸ Ἀριστοφάνȣς (ἐν τῇ ἐπὶ τοῖς ἱππεῦσι Κωμῳδ:) μνημονευόμενος· ȣ̓δ' ὁ ὑπὸ τȣ̃ Θȣκυδίδȣ: (ἐν τῷ Ε'. τῆς ἱστορ:) ȣ̓δ' ὁ παρὰ τῷ Σικελῷ Διοδώρῳ (Βιβλ: ΙΑ.) τὰς ἁμάρας τοῖς Ἀγριγεντίνοις ἐξευρὼν, τὰς ἐξ αὐτȣ̃ ἐξονομασθείσας **Φαίακας**.

Ὁ δὲ Βόχαρτος (ἐν τῇ ἱερ: Γεωγραφ: Βιβλ: Α'. Κεφ: ΚΓ'. τȣ̃ Β'. Μέρȣς) ἐκ τῆς Ἀράβων φωνῆς **Φάϊξ**, τῆς περιȣσίαν πλȣ́τȣ, καὶ ὑπεροχὴν ἀρετῆς τε καὶ ἀξιοπρεπείας δηλȣ́σης, ȣ̔́τω τȣ̀ς Φαίακας προσαγορευθῆναι ὑπεσημείωσεν.

Ὁμήρῳ δὲ σύνηθες τὴν μὲν Νῆσον **Σχερίαν**, τȣ̀ς δ' ἐποίκȣς διηνεκῶς ἀποκαλεῖν **Φαίακας**. Καὶ **Φαιακίδος** ποιήματος Ὁμηρικȣ̃ μέμνηται Οὐΐδιος ἐπιστέλλων ἐκ Πόντȣ. Ἣν περ δὴ **Φαιακίδα** Ἰωάν: Ἄλβερτ: Φαβρίκ: (ἐν τῷ Β'. Βιβλ: τῆς Ἑλληνικ: Βιβλιοθ: Κεφ: Β'.) τῇ **Φωκαΐδι**

Νήσῳ συνέχεε: περὶ ἧς Ἡρόδοτος ἐν τῷ ϛ καλῶς αὐτῷ ἀποδοθέντι Βιβλιαρίῳ (Κεφ: Ις΄.) Ἀλλὰ τυχὸν **Φαιακὶς** ἐπιγέγραπτο, τὸ μέρος τῆς Ὁμήρε Ὀδυσ: ἐν ᾧ τὰ κατὰ τὸν Ὀδυσσέα παρὰ τοῖς Φαίαξι γεγονότα ἱςόρηται· κατὰ γὰρ Αἰλιανὸν (ἐν τῷ περὶ ποικιλ: ἱςορ: Βιβλ: ΙΓ΄. Κεφ: ΙΔ΄:) τὰ Ὁμήρε ποιήματα διαμερισθέντα τὸ πάλαι κατὰ ὑποθέσεις ᾄδεσθαι εἰώθει· ὡς καὶ Εὐςάθιος ἐν τῷ Α΄. τῆς Ἰλιάδος παρέδωκεν. (Ὅρα καὶ Ἀλλάτιον ἐν τῷ περὶ τῆς Ὁμήρε πατρίδος Κεφ: Ε΄.)

Οὐ καλῶς ὁ Ἀνδρονίκε Παλαιολόγε τε γεραιτέρε τὰ περὶ τῶν ἐπισκοπικῶν θρόνων λατινιςὶ ἑρμηνεύσας, τὸ ῥηθὲν: **Κέρκυρα ἡ Φαιακία**, εἰς τὸ **Κέρκυρα ἡ νῦν Φαιακία**: μετήνεγκεν· ἔλαθε γὰρ αὐτὸν, ὡς ἄρα καὶ συχνὲς ἄλλες τῶν Λατίνων, ὅτι τὸ **Φαιακίας** ὄνομα, τε Κερκύρας ἦν ἀρχαιότερον: περὶ ὃ καὶ Σεΐδας ἔφη: **Κέρκυρα ἡ Νῆσος τὰ νῦν λεγομένη, Φαιακία πρότερον ἐκαλεῖτο, χώρα τῶν Φαιάκων.**

Τῆς Κερκυραϊκῆς Φαιακίας, ἡ παρ' Ἡροδότῳ **Ὄασις ἡ Φαιακὶς** ἐπονομασθεῖσα, ὡς ποῤῥωτάτω ἐςὶν ἀπέχεσα. ἀλλ' εἴπερ ἄρα Ὅμηρος Αἰγύπτε γεγονὼς διετέλεσεν, εἴτε γέννημα, εἴτε παίδευμα, καθά τινες ὑπειλήφασιν, οὐκ ἂν ἔξω πάντη τε πιθανε εἴη, καὶ τὸ τὴν Αἰγυπτίαν Φαιακίδα ὑπόθεσιν ἐσχηκέναι τὸ Ὁμηρικὸν Ποιημάτιον, ἡ Φαιακὶς, ὅπερ ἡμῖν ὁ Συγγραφεὺς ὑποπτεύσας ἔδοξεν.

## ΚΕΦΑ'Λ. Δ'.

„ Ναυσίθοον μὲν πρῶτα Ποσειδάων ἐνοσίχθων
„ Γείνατο, καὶ Περίβοια, γυναικῶν εἶδος ἀρίστη,
„ Ὁπλοτάτη θυγάτηρ μεγαλήτορος Εὐρυμέδοντος,
„ Ὅς ποθ' ὑπερτίμοισι γιγάντεσσιν βασίλευεν.
„ Ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτὸς·
„ Τῇ δὲ Ποσειδάων ἐμίγη, καὶ ἐγείνατο παῖδα
„ Ναυσίθοον μεγάθυμον, ὃς ἐν Φαίηξιν ἄνασσεν·
(Ὅμ: Ὀδυσ: Η'.)

Καὶ δῆλον ἄρα ἐπίσης ἐξαμαρτάνειν, τὰς τε τὸν Ναυσίθοον τοῦτον υἱὸν τῷ Φαίακι ὑποβάλλοντας, καὶ τοὺς Ὀδυσσεῖ αὐτὸν ἐκ τῆς Καλυψοῦς παιδογονοῦντας· περὶ οὗ πρὸς τῷ τέλει τῆς Θεογονίας φησὶν Ἡσίοδος. Καὶ γάρ τοι καὶ ἐν ἀρχῇ τῆς Ζ'. Ὀδυσσ: ἀναγινώσκομεν, ὅτι Ναυσίθοος ὑπῆρξεν ὁ τῆς Σχερίας οἰκιστής:

„ Οἳ πρὶν μέν ποτ' ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ
„ Ἀγχοῦ Κυκλώπων, ἀνδρῶν ὑπερηνορεόντων,
„ Οἵ σφας σινέσκοντο, βίηφι δὲ φέρτεροι ἦσαν.
„ Ἔνθεν ἀναστήσας ἄγε Ναυσίθοος Θεοειδὴς,
„ Εἷσεν δ' ἐν Σχερίῃ, ἑκὰς ἀνδρῶν ἀλφηστάων.
„ Ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλιν, καὶ ἐδείματο οἴκους
„ Καὶ νηοὺς ποίησε Θεῶν καὶ ἐδάσσατ' ἀρούρας.

Τῶν ἐπῶν τῶνδε καὶ Πλούταρχος ἐμνήσθη ἐν τῷ περὶ τῆς φυγῆς „λέγων: Ναυσίθοος τὴν εὐρύχωρον Ὑπέρειαν καταλιπὼν, „διὰ τὸ γειτνιᾶν τοὺς Κύκλωπας αὐτῇ, καὶ μεταστὰς εἰς

„νῆσον ἑκὰς ἄλλων ἀλφηστάων, καὶ κατοικῶν ἀνεπίμ
„ἀνθρώπων ἀπάνευθε, πολυκλύστῳ ἐνὶ πόντῳ, τὸν ἰ
„παρεσκεύασε βίον τοῖς ἑαυτοῦ πολίταις.

Ἀλλ' ἠγνόησε Κόνων τὴν μετοικεσίαν ταύτην, ἐν τῇ Γ'. δ
„τῇ παρὰ Φωτίῳ, γράφων: ἡ παρὰ τὸν Ἰώνιον κό
„Σχερία νῆσος, οὐχ ἑκὰς οὖσα τῆς Ἠπείρε
„των Κεραυνίων ὀρῶν λέγεται. Αὕτη Φαί
„ἔσχεν οἰκήτορας τὸ πρότερον αὐτόχθονας· ἐ
„λαχὸν τὴν ἐπωνυμίαν ἀπό τινος τῶν ἐτ
„ρίων βασιλέων. Ὁμοίως δ' ἠγνόησε καὶ Ἀπολλώνιος ἐν
τῶν Ἀργοναυτικῶν: αὐτόχθονα λαὸν, καὶ οὗτος ὀνομάσι
Φαίακας.

Ὕλλος οὖν ὁ ἐκ Μελίτης Ναΐαδος τεχθεὶς ἐν Φαιακίᾳ τῷ Ἡρακ
μάσας, οὐκ ἔφερε τὴν Ναυσιθόου ὀφρὺν, ἢ φησὶν Ἀπολλώνιος (Ἀργονα
εἰς δὲ ἀποικίαν ἐστείλατο, καὶ Ὑλλυρίων ἐβασίλευσεν ἐν Νήσῳ Μ
ἐξ οὗ, κατὰ Κλουβέριον (ἐν τῇ Παλ: Σικελ: Βιβλ: Β'. Κεφαλ: 16.) ἐ
της εἴρηται τοὺς Φαίακας προελθεῖν, τῆς τῇ Καμαρίνῃ ἀντιπαρακ
κἀντεῦθεν ἢ τὴν Καμαρίναν Φαιάκων ἕδραν τισὶ τῶν Σχολιο
„Ὁμήρου ὑποληφθῆναι· ὡς γὰρ Δίδυμος σεσημείωκεν: Οἱ μὲν Ὑπ
„τὴν ἐν Σικελίᾳ ὑπέλαβον Καμαρίναν· οἱ δὲ ἀ
„ὑπὲρ τὴν ἡμῖν γινωσκομένην. Ἄλλοι δὲ ὅτι ἦν Ν
„πρότερον πλησίον τῆς τῶν Κυκλώπων χώρα
Εὐστάθιος τὴν δευτέραν δόξαν οὐκ ἐνέκρινε· τοῦ δέ τοι Ἀπολλωνίου
ἄνωτ:) καὶ Ὄρους Μελιτείου μνημονεύσαντος, ὅπερ ᾤκουν αἱ τοῦ
ποταμοῦ θυγατέρες, ὁ Σχολιαστὴς καὶ Ὄρος Κερκύρας Ι
τειον ἀναφέρει ἐξ οὗ καὶ ὁ Φαβωρῖνος ἐν τῷ Λεξικῷ ὁμοίω

Τὸ μέντοι Νῆσον τὴν Ὑπέρειαν λέγειν γενέσθαι, οὐ καθ
„ρον (Ὀδυσ: Ι') ἐστὶ φθέγγεσθαι, φησὶν Εὐστάθιος: Πῶς γὰρ

„σιῶται ὄντες οἱ ἐν αὐτῇ ὑπὸ Κυκλώπων ἐβλάπ-
„τοντο, οἷς νῆες ἐκ ἦσαν κατὰ τὴν Ὁμηρικὴν ἱςο-
„ρίαν; ἀλλὰ Κλεβέριος ἀπαντᾷ, ὡς ἔςιν ἄττα καὶ μυθικώτερον παρεισήνεγκεν Ὅμηρος, καὶ τῶν αὐτῷ Σχολιαςῶν τοῦτο, καὶ τῦ Στράβωνος πολλαχῦ συνομολογέντων. Ἐν οἷς ἐςὶ καὶ τὸ μυθευθὲν, ὅτι Ναυσίθοος μετὰ τῶν αὐτῦ Φαιάκων Ὑπερείας ἀπεξελήλατο ὑπὸ Κυκλώπων. Οὐδὲ γὰρ Κύκλωπας ὅλως ἐν Σικελίᾳ γενέσθαι: ὡς (ἐν Α΄. Βιβλ: Κεφ: 2.) φθάσας ἐδίδαξε. Πῶς δὲ ἄρα; (ὁ αὐτος αὐτόθι ὑπέθετο) Universa insula (Sicilia) quondam genus tulit Gigantum, qui in diversos populos, sive familiarum corpora fuêre divisi, ex quibus memorantur antiquis scriptoribus Cyclopes supra dicti, atque Phaeaces.

Ἀλλὰ γὰρ, ὡς ἀνόμοιοι καὶ φύσει, καὶ τρόποις, οἱ δῆμοι ἔτοι ἐγένοντο. Οἱ μὲν γὰρ Γίγαντες Θεομάχοι εἴρηνται, τὲς δὲ Φαίακας ἀγχιθέες, ἐχ ἅπαξ προσεῖπεν Ὅμηρος: τετέςιν εὐδαίμονάς τε καὶ ἰσοθέες, ὡς ἐκ τῶν Σχολιογράφων ἑρμηνέυει ἐν τῷ Λεξικῷ Ἡσύχιος. Ὅθεν καὶ ἡ παραθετικὴ ἀνομοιότης, ᾗ τὲς οἰκείες Φαίακας Ἀλκίνοος τῶν ἄλλων ἀντιδιεςείλατο (Ὀδ: Η΄.)

„. . . . Ἐπεὶ σφίσι (τοῖς Θεοῖς) ἐγγύθι εἱμὲν·
„Ὥσπερ Κύκλωπές τε, καὶ ἄγρια φῦλα Γιγάντων.
(ἀλλήλοις).

Ἥνπερ δὴ παράθεσιν ἢ γειτνίασιν καὶ Δίδυμος (αὐτ:) καὶ Εὐςάθιος, (ἐν Ε΄. Ὀδυσ:) διεξηγήσαντο: Ὡς εἰσὶν ἀλλήλων „ἐγγὺς Κύκλωπές τε καὶ Γίγαντες, ἤτοι κατὰ „γένος, ἢ κατὰ τόπον, ἢ κατὰ ἀδικίαν· ἔτω „καὶ ἡμεῖς Θεοῖς πλησίον κατὰ δικαιοσύνην. Ὁ δὲ Εὐςάθιος ἔτι καὶ σαφέςερον τὸν λόγον διετράνωσε παραδείγματι „προσθεὶς: ὡς εἴ τις εἴποι τόσον εἶναι Σωκράτην ἐγ-

„γύθι τῷ Πλάτωνι κατ' ἀρετὴν, ὅσον Ἄνυτος „καὶ Μέλιτος ἀλλήλοις κατὰ κακίαν. Πῶς τοίνυν κεῖνα Κλϐβέριος; ἢ ϐχὶ πολλάκις αὐτὸς τὰ Ὁμήρϐ ἐπανελήλυθεν ἔπη; ἀλλ' ἐπὶ τϐτοις κἀκεῖνα προσσημειῶσαι παρῆν, ἐν οἷς Εὐρυμέδοντα τὸν Ναυσιθόϐ πάππον Ὅμηρος παρέϛησε Γιγαντολέτην.

Ἐπὶ πᾶσι τοίνυν, καὶ τϐ Ἀπολλώνιον σχολιάσαντας (ἐν Δ'. τῶν Ἀργοναυτ: ) εἰρηκότα:

„ . . . . . . . Ὡς δὲ καὶ αὐτοὶ
„ Αἵματος οὐρανίοιο γένος Φαίηκες ἔασσιν.

Καὶ Ἀκϐσίλαόν τε, καὶ σὺν τϐτῳ Ἀλκαῖον ἐπαγαγόντος, τϐς μαρτυρϐντας ἐκ τῶν ῥανίδων τϐ αἵματος τϐ ἀπὸ τῆς τϐ Κρόνϐ ἀποτομῆς ἐπὶ γῆς ἀποϛάξαντος, τϐς Φαίακας γεννηθῆναι· διαβεβαιϐμένων δέ πϐ, καίτοι ἀπιϛϐντων ἄλλων, ἔκϐν τϐς Φαίακας, τϐς δὲ Γίγαντας ἐντεῦθεν τϐ εἶναι τὴν ἀρχὴν εἰληφότας, ῥᾴδιον ἂν εἴη ἐπαγαγεῖν κἀκ τϐτϐ, μακρῷ ἑτέρϐς ἡγεῖσθαι χρῆναι τῶν Γιγάντων τϐς Φαίακας.

Τῆς μὲν ϐν Φαιακιακῆς Ὑπερέας, καὶ Στέφανος μέμνηται ὁ Βυζάντιος, καὶ Ἡσύχιος. Παρὰ δὲ τϐ Στεφάνϐ διδασκόμεθα ἔτι καὶ Ἄργος τὴν Κέρκυραν κληθῆναι. Καὶ ϐ μόνον παρὰ τϐ Στεφάνϐ, (ὅπερ ὑπείληφεν Ἀβραὰμ Βερχέλιος·) καὶ γὰρ καὶ Εὐϛάθιος, ὁ ἐν τοῖς εἰς τὸν Διονύσιον Σχολίοις, μετὰ τὸ Ἄργος τὸ Θεσσαλικόν τε καὶ Ἀμφιλοχικὸν ϛίξας, ἐν ἑτέρῳ Σχολίῳ (τῷ ϛ. 494.) Κέρ„κυρα, φησὶν, ἡ καὶ Φαιακία καλϐμένη, καὶ Σχε„ρία, καὶ Δρέπανον, καὶ Ἄργος.

Ἀλλὰ σφραγὶς ἐπιτεθείσθω τέως τοῖς περὶ Ναυσιθόϐ ῥηθεῖσι τὰ ἐκ Ποσειδῶνος κατὰ Φαιάκων ἐπαπειλήματα, περὶ ὧν Ἀλκίνοος διῆλθεν: (Ὀδυσ: Θ'.)

„Ἀλλὰ τάδ' ὥς ποτε πατρὸς ἐγὼν εἰπόντος ἄκουσα
„Ναυσιθόου· ὃς ἔφασκε Ποσειδάων, ἀγάσασθαι
„Ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονες εἰμὲν ἁπάντων.
„Φῆ ποτε Φαιήκων ἀνδρῶν εὐεργέα νῆα,
„Ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέϊ πόντῳ
„Ῥαισέμεναι, μέγα δ' ἧμιν ὄρος πόλιν ἀμφικαλύψειν.
Περὶ οὗ ὕστερον.

## ΚΕΦΑ΄Λ. Ε΄.

„Ναυσίθοος δ' ἔτεκεν Ῥηξήνορά τ' Ἀλκίνοόν τε·
„Τὸν μὲν ἄκουρον ἐόντα βάλ' ἀργυρότοξος Ἀπόλλων,
„Νυμφίον ἐν μεγάρῳ, μίαν οἴην παῖδα λιπόντα
„Ἀρήτην· τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν.

Ὁ μέν τοι Κόνων ἐν τοῖς Διηγήμασι, καὶ ἕτερον τῷ Ἀλκινόῳ ἀδελφὸν γενέσθαι καθιστορεῖ Λοκρὸν ὄνομα, Ὁμήρῳ τε σιγώμενον, καὶ τοῖς Ὁμήρου ἐξηγηταῖς. Περὶ δ' ἐκείνου ἀριθμεῖται τῷ Κόνωνι Διήγημα Γ'. τὸ ὑπὸ Φωτίου ἐν τῇ Βιβλιοθ: ἀριθμ: ΡΠϚ'. ἀναφερόμενον· ὅπερ ὧδε ἀναγράψασθαι οὐδαμῶς κατοκνήσομεν.

„Φαίακος τοῦ τῆς Νήσου (Κερκύρας) βασιλεύ-
„οντος, τελευτήσαντος, οἱ υἱοὶ Ἀλκίνοός τε καὶ
„Λοκρὸς στασιάσαντες, συνέβησαν πάλιν, ἐφ' ᾧ
„βασιλεύειν Ἀλκίνουν μὲν τῆς Φαιακίδος, Λοκρὸν
„δὲ κειμήλια, καὶ μοῖραν λαβόντα, τοῦ ἔθνους

„ἀποικίσεσθαι τῆς χώρας. Ὃς καὶ ἐπὶ Ἰταλίας
„πλεύσας ξενίζεται παρὰ Λατίνῳ Ἰταλῶν Βασιλεῖ,
„δόντι πρὸς γάμον καὶ τὴν θυγατέρα Λαυρίνην.
„Διὰ ταῦτα, ὡς συγγενεῖς, Φαίακες Λοκροὺς
„τοὺς ἐν Ἰταλίᾳ προσεποιοῦντο. Ὁ δὲ Ἡρακλῆς
„κατ᾽ ἐκεῖνο καιροῦ, τὰς τοῦ Γηρυόνου, περικαλλεῖς
„οὖσαι βόες, οὔσας ἐξ Ἐρυθίας ἐλαύνων εἰς Ἰταλίαν
„ἀφικνεῖται, καὶ ξενίζεται φιλοφρόνως παρὰ τῷ
„Λοκρῷ. Ὁ δὲ Λατῖνος πρὸς τὴν θυγατέρα ἐλθὼν,
„καὶ τὰς βοῦς ἰδὼν, ἠράσθη τε καὶ ἤλαυνεν. Ὅπερ ἀνα-
„μαθὼν Ἡρακλῆς, ἐκεῖνον τόξῳ βαλὼν ἀνεῖλε,
„τὰς δὲ βοῦς ἀνεκόμισε. Λοκρὸς δὲ δεδιὼς περὶ
„Ἡρακλεῖ, μή τι δεινὸν ὑπὸ Λατίνου πάθῃ· (ἦν γὰρ
„Λατῖνος σώματι γενναῖος καὶ ψυχῇ.) ἐξελαύνει ἐπὶ βο-
„ήθειαν τοῦ ξενισθέντος, ἀμειψάμενος καὶ στολήν.
„Ἡρακλῆς δ᾽ ἰδὼν αὐτὸν θανόντα, καὶ νομίσας τινὰ
„εἶναι ἄλλον πρὸς ἐπικουρίαν σπεύδοντα Λατίνου, βαλὼν
„ἄτρακτον κτείνει· ὕστερον δὲ μαθὼν, ἀπωλοφύρετο μὲν,
„καὶ τὰ ὅσια αὐτῷ ἐπετέλεσε· καὶ μεταστὰς δ᾽ ἐξ ἀνθρώ-
„πων ἔχρησε φάσματι φανεὶς τῷ λαῷ, πόλιν οἰκίζειν
„ἐπ᾽ Ἰταλίας, ἐν ᾧ ἦν τὸ σῶμα τοῦ Λοκροῦ, καὶ διαμένει
„τῇ πόλει τοὔνομα τιμώσῃ τῇ κλήσει τὸν Λοκρόν.

Τὸν Φαίακα τῷ Ἀλκινόῳ, καὶ οὐχὶ τὸν Ναυσίθοον ἀποδιδοὺς ὁ Κόνων γεννήτορα, τῷ Σικελιώτῃ Διοδώρῳ ἐν τῇ Δ΄. τῆς ἱστορίας συνᾴ-„δει, λέγοντι: „Φάιαξ, ἀφ᾽ οὗ τοὺς Φαίακας συνέβη τυχεῖν „ταύτης τῆς προσηγορίας· Φαίακος δ᾽ ἐγένετο Ἀλκίνοος: τοῦ δὲ Ὁμήρου ἀπᾴδει. Ἀλλὰ καὶ ὃ φησὶν, ὅτι Λατῖνον τὸν Ἰταλῶν βασιλεύοντα Ἡρακλῆς ἀνεῖλε, καὶ τούτου τὴν θυγατέρα Λαβρίναν, ἤτοι Λαβίναν, τῷ Λοκρῷ κατενύμφευσεν, ὡς λίαν ἐστὶν ἀπέχον τῶν παραδοθέντων τοῖς παλαιοῖς Λατίνων συγγραφεῦσι, τοῖς τὸν μὲν Ἄιακτα Λατῖνον ἐν τῇ κατὰ Ῥυτύλων μάχῃ πεσεῖν ἐξιστορηκόσι, τὴν δὲ τούτου

θυγατέρα Λαβινίαν, τὴν Τύρνῳ πρότερον κατεγγυηθεῖσαν, ἄλοχον ἐφεξῆς Αἰνείου ἀναδειχθῆναι. Καὶ θαυμάζειν ἔπεισιν, ὅτι οὐδεὶς τῶν καθ' ἡμᾶς ἀρχαιολογεῖν ἐπιβαλλομένων, τήν δε τὴν διαφωνίαν, ἔς γε καὶ νῦν, ἐπισεσημειακῶς φαίνεται. Ἐφ' οἷς κἀκεῖνο παρὰ τοὺς ἀρχαίους τῶν Γεωγράφων, καὶ τοὺς τούτων Σχολιαστὰς ὁ Κόνων ἐδόξασε: τοὺς τὴν Λοκρίδα ἐν τῷ Βρεττίῳ Κόλπῳ ὑποθεμένους, τῷ καὶ Λοκρίῳ ὀνομασθέντι ἀπὸ τῶν ἀρχαίων Λοκρῶν: τῶν εἴτε Ὀζόλων τῶν πρὸς Αἰτωλίαν, εἴτε Ἐπικνημιδίων τῶν πρὸς τὴν Εὔβοιαν. Τοὐναντίον γὰρ Κόνων ἐπὶ τοὺς Φαίακας τὴν τῶν Λοκρῶν καταρχὴν καὶ προσηγορίαν φέρων μυτήνεγκε: καὶ οὐδὲ περὶ τῆς δε τῆς διαφωνίας οὐδὲν κομιδῇ οὔτε παρὰ Κλουβερίῳ, ἐν τῆς περὶ τοῖς παλαιᾶς Ἰταλίας· (Βιβλ: Δ'. Κεφ: 15.) οὔτε παρὰ Χριστοφόρῳ τῷ Κελλαρίῳ, ἐν τῇ παλαιᾷ Γεωγραφίᾳ (Βιβλ: Β'. Κεφ: 9.) σημειωθὲν φαίνεται.

Ὅσης οὖν πίστεως ἄξια τὰ τοῦ Κόνωνος, οὐδὲν ἠξίωσεν εἰπεῖν Φώτιος, μόνον τὸν τῆς φράσεως χαρακτῆρα ἐπὶ τοῦ πονηματίου κρίνας, καὶ τὴν Ἀρχελάῳ τῷ Φιλοπάτορι γενομένην ὑπ' αὐτοῦ προσφώνησιν, τῷ ἐπὶ Αὐγούστου βασιλεύοντι, ὡς ἔκ τε τοῦ Δίωνος, καὶ τοῦ Στράβωνος, καὶ ἄλλων ἐπιφέρει ἐν τοῖς περὶ τῶν Γραικῶν Ἱστορικῶν, περὶ τὸ τέρμα τοῦ Α'. Βιβλ: Γέραρδος Ἰωάν: Βόσσιος.

Ἐφ' ᾧ γε μήν, μὴ ὡς μῦθον πάντῃ τὸ τοῦ Κόνωνος διαπλασθὲν ἀποκηρυχθῆναι, εἰκάσειέ τις ἐκ τῶν φερομένων ἀρχαίων Κερκυραϊκῶν Νομισμάτων, (παρὰ Οὐολφάγγῳ Λαζίῳ, καὶ Ἰωάννῃ Ἀρδουίνῳ, καὶ Οὐβέρτῳ Γολτζίῳ, καὶ ἄλλοις·) ὡς ἐπεὶ ὁ τῆς Νηὸς τύπος, ὁ τὴν Κέρκυραν ἐπισημαίνων, ἐκ δὲ θατέρας τῶν ἴψεων ἡ τῆς κεφαλῆς εἰκὼν τῆς στάχυϊ κατεστεμμένης, μετὰ τῆς ἐπιγραφῆς: ΜΕΤΑΠ. τῆς ἐν τοῖς Μεταποντίνων νομίσμασι συνήθους, τοῖς Κερκυραίοις ὁπωσδήποτε τοὺς Μεταποντίνους αὐτοὺς παρασυνάπτει, τοὺς τοῖς Λοκροῖς ἐπίσης ἀντιπαρακειμένους ἐκ γειτόνων πρὸς Φαίακας: διὰ τοῦτο οὐ πάντῃ „ ἔξω τοῦ εἰκότος ἡγητέον εἰρῆσθαι τὸ ὑπὸ τοῦ Κόνωνος παραδοθέν, ὅτι,

Φ φ

„ ὡς συγγενεῖς Φαίακες Λοκρὰς τὰς ἐν Ἰταλίᾳ προ-
„ σεποιᾶντο. Σημείωσαι δὲ τὸν ἐν τοῖς Μεταποντίνων νομίσμασιν ἐπικεχαραγμένον ὁρώμενον σάχυν, μηδὲν ἄλλ' ἢ τῆς χώρας δηλᾶν τὸ εὔφορον.

Τὸν Ἰάσωνα δὲ σὺν τῇ Μηδείᾳ, μετὰ τὴν ἁρπαγὴν τᾶ χρυσομάλλα δέρως, ἀπὸ Κολχίδος ἐπὶ Κορκύρας καταραντα, φιλοφρόνως ὑπὸ Κερκυραίων ἀπαδεδέχθαι, Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς ὅτω διέξεισιν :

„ . . . . . . . Οἳ δ' ἀγανοῖσιν
„ Ἀλκίνοος, λαοί τε θυηπολίῃσιν ἰόντες
„ Δειδέχατ' ἀσπασίως. ἐπὶ δὲ σφίσι καγχαλάασκε
„ Πᾶσα πόλις· φαίης κεν ἑοῖς ἐπὶ παισὶ γάνυσθαι.

Εἶτα τὴν Κόλχων κάθοδον ἐπὶ ἀπαιτήσει τῆς Μηδείας ἐπάγει :

„ . . . . . . . Στρατὸς ἄσπετος ἐξεφαάνθη
„ Κόλχων, οἳ πόντοιο κατὰ σόμα, ἢ διὰ πέτρας
„ Κυανέας μασῆρες ἀρισήων ἐπέρησαν·
„ Μήδειαν δ' ἔξαιτον ἐς πατρὸς ἄγεσθαι
„ Ἵεντ' ἀπροφάτως, ἠὲ σονόεσσαν ἀϋτὴν
„ Νωμήσειν χαλεπῇσιν ὁμόκλεον ἀτροπίῃσιν
„ Αὖθι τε, καὶ μετέπειτα σὺν Αἰήταο κελεύθῳ.

Μετὰ τᾶτο τὴν Μηδείας ἀνίαν ἐκτίθησι, καὶ τὰς ἱκεσίας τὰς πρὸς Ἀρήτην, καὶ τὰς πρὸς τὰς οἰκειωθέντας αὐτῇ Ἀργοναύτας καὶ τελευταῖον τὴν παρ' αὐτᾶ Ἀλκινόα ψῆφον ἐκφέρει :

„ Παρθενικὴν μὲν ἐοῦσαν, ἐοῦ ποτὶ δώματα πατρὸς
„ Ἐκδώσειν· Λέκτρον δὲ σὺν ἀνδρὶ πορσαίνουσαν
„ Οὐκέτι κουριδίης μιν ἀποτμήξειν φιλότητος.

Γνοῦσα δὲ παρὰ Ἀλκινόου τόδε τοῦ γαμέτου Ἀρήτη, ἐν τῇ αὐτῇ νυκτὶ τὸν Ἰάσωνα συνελθεῖν εἰς γάμον τῇ Μηδείᾳ ἐνετείλατο, ἐν ἱερῷ ἄντρῳ τὴν νυμφικὴν σφίσι παστάδα παρασκευάσασα:

„ Αὐτίκα δὲ κρητῆρα κερασσάμενοι Μακάρεσσιν
„ Ἧ θέμις, εὐαγέως ἐπιβώμια μῆλα τ' ἐρύσαντες,
„ Αὐτονυχὶ κούρῃ θαλαμήϊον ἔντυνον εὐνὴν,
„ Ἄντρῳ ἐν ἠγαθέῳ, τόθι δήποτε Μάκρις ἔναιεν.

Ἐξ οὗ δὴ παρὰ Κερκυραίοις ἔπειτα, φησί:

„ Κεῖνο καὶ εἰσέτι νῦν ἱερὸν κληΐζεται ἄντρον
„ Μηδείης. . . . . . . . . . .

Οἱ δὲ ἀποσταλέντες Κόλχοι, καὶ δυσαναχετήσαντες, ὅμως:

„ Δὴ τότε δὴ βασιλῆος ἐοῦ τρομέοντες ἐνιπὰς
„ Δέχθαι μειλίξαντο συνήμονας, αὖθι δὲ νήσῳ
„ Δὴν μάλα Φαιήκεσσι μετ' ἀνδράσι ναιετάασκον.

Οἱ δ' Ἀργοναῦται Νύμφαις τε καὶ Μοίραις ἐν Ναῷ τοῦ Ἀπόλλωνος θύσαντες, πολλά τε ξένια παρὰ Ἀλκινόου καὶ Ἀρήτης κομισάμενοι ἀπῆραν Κερκύραθεν.

„ Μοιράων δ' ἔτι κεῖσε θύη ἐπέτεια δέχονται,
„ Καὶ Νυμφέων Νομίοιο καθ' ἱερὸν Ἀπόλλωνος.

„Βωμοὶ, τὲς Μήδεια καθίσσατο. Πολλὰ δ' ἱε
„Ἀλκίνοος Μηνύαις ξεινήϊα, πολλὰ δ' ὄπασσεν
„Ἀρήτη . . . . . . . . . . . . . .

Ἀλλὰ γὰρ, ὅσα τῇ χώρᾳ ἀνήκει τῇ τῆς Νυμφεύσεως, τὰ
'λωνίῳ ἐπιμαρτυρεῖ μὲν Τίμαιος, ἀντιλέγεσι δὲ Διονύσιός τε ὁ Μ
καὶ Ἀντίμαχος, καὶ Τιμώναξ παρὰ τῷ Ἀπολλωνίε Σχολιαστῇ
„ραφότι: Τιμαίε λέγοντος ἐν Κερκύρᾳ τὲς γ
„ἀχθῆναι Διονύσιος ὁ Μιλήσιος, ἐν Β'. τῶν Ἀργ
„τικῶν, ἐν Βυζαντίῳ φησίν· Ἀντίμαχος ἐν Λ
„πλησίον τε ποταμε, μιγῆναι αὐτῇ φησὶ τὸ
„σονα. Τιμώναξ ἐν Α'. τῶν Σικελικῶν ἐν
„χοις φησὶν Ἰάσονα Μήδειαν γῆμαι, Αἰήτ
„τῷ ἐγγυήσαντος. Ἔνθα δὴ καὶ προστίθησι παρὰ τῷ
„Σχολιογραφεῖ ὁ Τιμώναξ: ὅτι δείκνυνται παρὰ τὸ
„ράπλεν ἔνδον τε πόντε κῆποι τινὲς Ἰασ
„καλέμενοι, καθ' ὧν τὴν ἀπόβασιν ἐποι
„το, καὶ κατὰ τὴν αἶαν Γυμνάσια, καὶ Δι
„καὶ τῆς Μηδείας θάλαμος καθ' ὃν τότε
„φεύθη. Καὶ πρὸς τῇ πόλει ἱερὸν ἱδρυμένι
„σονος, καὶ πρὸς τέτοις ἱερὰ πολλά. Καὶ ὁ
μώναξ ἕτω: Τίμαιος δὲ τεναντίον ἐν Κερκύρᾳ λέγων τετελέσ
γάμες, προσέθετο καὶ ἐπ' αὐτε ἔτι θυσίαν ἤδη θύεσθαι ἐν τῇ
ἐπὶ τῇ Μηδείας τελετῇ ἐν ἐκείνῳ τῷ ἱερῷ· καὶ περιεῖναι δ' ἐι
βωμὲς δύω εἰς αὐτὸ στηριχθέντας.

Τὰ τῶν Ἀργοναυτῶν ἐν Κερκύρᾳ πλατύτερον τῷ Ἀπολλων
ῥηθέντα, ἐπιτομώτερον Ὀρφεὺς διεξέρχεται, ὧδε:

„Κέρκυραν ζαθέην ἐξίκετο, τὴν σφὶν ἔναιον
„Ὑδριες εἰρεσίης, καὶ ἀλιπλάγκτοιο πορείης

„ Φαίηκες· τοῖσιν δ' ἄρ' ἐφημοσύνῃσι θέμιςας
„ Ἀλκίνοος κραίνεσκε δικαιότατος βασιλήων.

Παρίημι δὴ τέτοις ἐπισυνεῖραι τὰ ἄλλα, ἅτε τὰ πλεῖςα τοῖς τε Ἀπολλωνίε ταυτά· καὶ ὅτι, ἐδὲ τὰ ὑπὸ τῷ Ὀρφέως ὀνόματι φερόμενα, ἐδ' ἐμοὶ δοκεῖ εἶναι γνήσια. Καὶ γάρ τοι κατὰ Κικέρωνα (ἐν τῷ Α΄. Βιβλ: τῶν περὶ τῆς φύσ: τῶν Θεῶν:) ἐδ' ἐγένετό τις πώποτε Ὀρφεὺς τοιἕτος· ἀλλὰ τὰ αὐτῷ προσαναγραφόμενα ὑπὸ τῶν Πυθαγορικῶν Κέρκοπι τινι ἀπονέμεται: κατὰ δ' ἄλλες τῶν ἀρχαίων, (οἷς καὶ οἱ πλεῖςοι τῶν νεωτέρων συνᾴδεσιν.) Ὀνομακρίτῳ· τὰ πλεῖςα δ' ἔφην ὅτι ταυτά: ἐπεὶ καὶ τὴν μεταξὺ Ἀργοναυτῶν τε καὶ Κόλχων δίκην, κατά γε τὰ Ὀρφικὰ, ἐκ Ἀλκίνοος φέρεται διαλύσας, ἀλλὰ Ἀρήτη: τἕθ' ὅπερ ἀπραγμόνως παρῆλθε Βαρνέσιος, ἐν τῇ τε Ὀμήρε ἐκδόσει αὐτε: (Ὀδυσ: Η΄.) εἰς τὸ περὶ Ἀρήτης εἰρημένον: Καὶ ἀνδράσι νείκεα λύει· συμφώνως τῷ Ὀνομακρίτῳ, καὶ τὸν Ῥόδιον Ἀπολλώνιον προσθεῖναι ἀποφηνάμενος, τὸν μηδὲν τοιἕτον εἰπόντα. Ἀλλὰ τῷ Ἀπολλωνίῳ καὶ Ἀπολλόδωρος συναινεῖ, ἐν τῇ Βιβλιοθ: ἐν οἷς τὰ περὶ τῶν Ἀργοναυτῶν διεξέρχεται.

Ἰάκωβος δὲ Γρονόβιος, ἔνθα τὴν Κερκύρας χαρακτηριςικὴν ἐκτίθησι λίθον, ἐκ ὀρθῶς ἔκρινε διὰ τῆς Ὀδυσσέως καταίρσεως τὸ πρῶτον, τήν τε Νῆσον, καὶ τὴν ἐπωνυμίαν Κερκύρας τοῖς Ἕλλησιν ἐπιγνωσθῆναι. τὰ γὰρ Ἀργοναυτικὰ δῆλα ἅλις ὑπῆρχε καὶ ποιηταῖς περιᾳδόμενα, καὶ ἱςοριῶν συγγραφεῦσι, καὶ πρὸ τε Ὀδυσσέως κατάπλε: καὶ μὲν δὴ, καὶ ὑπὸ τῶν Ἀςρολογέντων ἐν ἐρανοῖς καταςερισθέντα. Ἀλλ' ὡς πεποιθότως Γρονόβιος αὐτὸς καὶ τὸν Ἀλκίνοον υἱοποιῆσαι ἐπεβάλετο Φαίακι, τὸν τε Ναυσιθόε καθ' Ὅμηρον. Εἶθ' ὁ αὐτὸς καὶ Ἀνδρέαν Μαρμαρᾶν ἐπιλαμπρύνει, ὡς ἐντελῶς τε καὶ ἀπηκριβωμένως τὰ τῆς

Νήσε Κερκύρας ἰσορηκότα, περὶ ἔ τὰ προειρημένα δηλώσει, καὶ τὰ ἑξῆς Εἰρησόμενα.

Πέρας ἐπικείσθω τῷ Κεφαλαίῳ τὰ ὑπὸ Παυσανίε ἐν τοῖς Κορινθιακοῖς ἀναφερόμενα: „ὅτι ἔπη ἐςὶν ἐν Ἕλλησιν Ναυπάκτια ὀνομαζόμενα. Πεποίηται δ' ἐν αὐτοῖς „Ἰάσονα ἐξ Ἰολκε μετὰ τὸν Πελίε θάνατον ἐς „Κέρκυραν μετοικῆσαι. Τῶν δ' ἐπῶν τέτων καὶ τοῖς Φωκικοῖς μεμνημένος, Μιλησίῳ τινὶ φησὶν αὐτὰ κοινῇ ἀπονέμεσθαι. Καίτοι γε πιθανώτερον ἡγεῖται Ναυπάκτιόν τινα γενέσθαι ἄνδρα τὸν συγγράψαντα. Τῶν αὐτῶν δὲ ἐπῶν συχνὰ, καὶ ὁ Σχολιαςὴς Ἀπολλωνίε μέμνηται.

## ΚΕΦΑΛ. ς'.

Τῶν Ἀργοναυτῶν ἀναχωρησάντων, μετ' ἐ πολὺ Ὀδυσσεὺς εἰς Κέρκυραν προσωρμίσατο ναυαγήσας ἐν ἡμέραις εἴκοσιν ἀπὸ Ὠγυγίας τῆς Νήσε τὸν διάπλεν περάνας. Ναυσικάᾳ δὲ πρὸς τὰς ἀκτὰς ἐντυχὼν τῇ θυγατρὶ Ἀλκινόε σὺν ταῖς ἀμφ' αὐτῇ Ἄβραις παιζέσῃ, ἐσθῆτα πρῶτον ᾐτήσατο, ὥςε καλύψαι τὴν γύμνωσιν· εἶτα, προηγησαμένης Ναυσικάας ἐπὶ τὰ Ἀνάκτορα ἵκετο, ἔνθα ὑπὸ Ἀλκινόε καὶ Ἀρήτης τῆς αὐτε γαμετῆς, καὶ τῶν τέκνων, ὑποδοχῆς φιλόφρονος κατηξίωται: μεθ' ὃ τέως καὶ εἰς τὴν ἑαυτε πατρίδα Ἰθάκην ὑπὸ τῶν Φαιάκων διαπεπόρθμευται.

Ταῦτα διὰ πλειόνων, ἐν τοῖς τῆς Ὀδυσσείας Ῥαψῳδήμασι διελθόντας, τὰ κατ' ἐκείνες τὲς Ἡρωϊκὲς χρόνες ἐπικρατεντα ἤθη τε καὶ ἔθη ἐςὶ μαθεῖν. Ἐξ ἂν καὶ ἡμεῖς τὰς Κερκυραϊκὰς Ἀρχαιολογίας ἐκθέσθαι ἐπιβαλόμενοι, ἐκ ἀλυσιτελές τι προθήσειν τοῖς φιλολογεῖν

αἱρȣμένοις οἰόμεθα, ὡς δῆλον ἔςαι τῷ τὰ ἡμέτερα τάδε, τοῖς Ἐβεράρδȣ Φεϊτίȣ περὶ τῶν Ὁμηρικῶν ἀρχαιοτήτων συναναγεγραμμένοις παραβαλεῖν ἐθελήσȣσιν. Ἐκ γάρ τοι τȣτων καὶ λόγος τις ἀναφανεῖται, καθ' ὃν ἔςιν ἄττα τῶν ποιητικῶν Μυθευμάτων νοεῖν δεήσει, τὰ καὶ τοῖς πεπαιδευμένοις ἐνίοτέ πως ἀπαντῶντα δυσξύνετα: καὶ εἰ μηδέντι πλέον, ἀλλὰ καὶ αὐτὴ ἡ τῶν Ὁμηρικῶν ἐπῶν ἐπαγομένη περὶ ταῦτα ἀνάγνωσις, ἡδονὴν τοῖς μετελευσομένοις ȣ τὴν τυχȣσαν ἐπιμνηςεύσεται. Ὅμηρος γὰρ ὡς Πλίνιος ἐν τῷ ΙΖ'. τῶν αὐτȣ καλῶς περιέςησεν: οἷα πηγή τις διανοημάτων πρόσκειται· ἤτοι:

„ . . . . Βαθυῤῥύταο μέγα σθένος ὠκεανοῖο

„ Ἐξ οὗπερ πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα,

„ Καὶ πᾶσαι κρῆναι, καὶ Φρέατα μακρὰ νάȣσιν.

Οὕτω γὰρ ἐκ τῶν αὐτȣ (Ἰλιάδ: Φ'.) Διονύσιος ὁ Ἁλικαρνασσεὺς, Ὅμηρον κρῆναι προσαγορεύειν ἡγήσατο.

Ὅμηρον καὶ γὰρ, ἐκ τῶν ἐπ' αὐτȣ Φερομένων πλασμάτων, ποιητικῇ χάριτι καθηδυνομένων, πολυωφελέςατον εἶναι μετιέναι, καὶ Πλȣταρχος ἐν τῷ πῶς χρὴ τῶν ποιημάτων ἀκȣειν, λαμπρῶς „ ἐδήλωσε φάσκων: Ἐπεὶ δὲ, ὥσπερ ἐν ταῖς νομαῖς, ἡ μὲν „ μέλιττα διώκει τὸ ἄνθος, ἡ δὲ αἲξ τὸν θαλλὸν, ἡ „ δὲ ὗς τὴν ῥίζαν, ἄλλα δὲ ζῶα τὸ σπέρμα καὶ τὸν „ καρπὸν, ȣτως ἐν ταῖς ἀναγνώσεσι τῶν ποιημά„ των, ὁ μὲν ἀπανθίζεται τὴν ἱςορίαν, ὁ δὲ ἐμφύε„ ται τῷ κάλλει καὶ τῇ κατασκευῇ τῶν ὀνομάτων, οἱ „ δὲ τῶν πρὸς τὸ ἦθος εἰρημένων ὠφελίμως ἔχον„ ται. Οὕτω κτ:

Ἐπ' Ἀλκινόȣ καὶ Ἀρήτης περιόντων ἔτι τῷ βίῳ, ἑκατέρα τῶν ἐποχῶν ἀνάγεται: ἤτε τῆς τῶν Ἀργοναυτῶν ἐκςρατείας δηλ:, καὶ ἡ

τῆς Ὀδυσσέας πλάνης ἢ μετὰ τὴν Τροίης ἅλωσιν. Τί τοίνυν, Σκαλίγερος μὲν (εἰς τὸ Εὐσεβ: Χρονικ: περὶ τὸ ἀπὸ Ἀβραὰμ ἑπτακοσιοςὸν πεντηκοςὸν ἔτος) τὰ Ἀργοναυτικὰ, ἐκ τῶν Ἡρακλέυς καὶ Κίρκης, καὶ Ἀσκαλάφυ χρόνων. Πετάβιος δὲ, ἐν τῷ κατ᾽ αὐτὸν Χρονικῷ Λογιςηρίῳ, (Μέρει Β΄. τῦ Β΄. Βιβλ: Κεφ. Θ΄.) ἐκ τῶν τῆς Πριάμυ Βασιλείας χρόνων προσδιορίσαι ἠγωνίσαντο, δέον Ἀλκινόυ τε καὶ Ἀρήτης μᾶλλον ἐπιμνησθῆναι, ἐν οἷς τὰ τῶν Ἀργοναυτῶν, καὶ τὰ κατὰ τὸν Ὀδυσσέα, ὡς ἐπὶ τὸν αὐτὸν σχεδὸν συμπεσεῖν ἔτυχε χρονικὸν ὅρον, τὰ μὲν προτερεύσαντα, τὰ δὲ ὐ πάνυ πολὺ ὑςερήσαντα: ὅπερ ἐκ τῶν Ἀργοναυτικ: Συγγραφ: καὶ ἐκ τῶν Ὁμήρυ Ῥαψῳδημάτων μυριάκις τὰ τοιάδε παρεισαγαγόντων ἐςὶ τεκμήρασθαι; Διαςήτην ὖν τοῖς χρόνοις ἑκάτερα, ὄκυν δὶ ἐτῶν ἐννέα ἐπὶ τοῖς ἑβδομήκοντα μεσολαβησάντων, κατὰ τὸν παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ παλαιὸν χρονολόγον: ᾧ δὴ καὶ Ἰάκωβος ὁ Καπέλλος ςοιχεῖ, καὶ ὅπερ ὐ πολὺ ἀπέχει ὁ παρ᾽ Εὐσεβίῳ ἐπιλογισμὸς, καθ᾽ ἑκατέραν, τήν τε Σκαλιγεριανὴν (λέγω) καὶ τὴν ποντακηνὴν ἔκδοσιν: ἀλλὰ δὶ ἐνιαυτῶν τὸ πολὺ τεσσαράκοντα, (ἥτις ἦν ἡ Πεταβίυ δόξα.) ἢ ἀμφὶ τὰ εἴκοσι συςελλομένων, (ὡς ὑπείληφεν ὁ Σκαλίγερος.). Καίπερ οἱ τῶν εἰρημένων ἀνδρῶν ἐπιλογισμοὶ ἐπὶ θεμελίοις ἧττον ἑδραίοις βεβήκασιν· ὁ δὲ τῦ Πεταβίυ, ἔτι καὶ μᾶλλον διασαλεύεται· τὰ γὰρ τετταράκοντα ἔτη (ἅπερ αὐτὸς ἔνθα εἴρηται καὶ δὴ ἐν τῷ Α΄. Μέρει τῦ Α΄. Βιβλ: Κεφ. Ι΄. ὑπέθετο:) ὐκ ἄλλοθεν ἔχει παραλαβὼν, ἢ ἐκ τῦ τὴν μικρὰν Ἰλιάδα συγγράψαντος, τὴν ὑπὸ Μιχαὴλ τῦ Νεάνδρυ ἐκδοθεῖσαν· ἥτις ἅτε ὑποβολιμαία παρὰ τοῖς σοφοῖς ἀδόκιμος κρίνεται, καὶ ὐκ ἀξιόπιςος. Καθάπερ ὖν καὶ ἡ καταλογικὴ πλινθὶς τῶν ἐπὶ Τροίας βασιλευσάντων, ἣν ὁ Πετάβιος ἡμῖν ἐκ τῦ αὐτῦ Συγγραφέως προέθετο.

Ἀλλὰ γὰρ τῷ ἐκ τῆς Ὁμήρυ Ποιήσεως τὰς Κερκυραϊκὰς Ἀρχαιολογίας ἐξανιχνεύοντι σκεπτέον πρὸ πάντων, εἰ τὰ περὶ τῆς Σχερίας καὶ τῶν Φαιάκων τῷ Ποιητῇ ῥαψῳδύμενα, περὶ Κερκύρας καὶ Κερκυραίων πάντη πάντως εἰρῆσθαι προσήκει νοεῖν. τὰ γὰρ ἐκ τῶν ἱςορηθέντων τοῖς πάλαι κοινῇ καὶ τοῖς ὕςερον πιςευόμενα, εἰσὶν οἱ ἐν τοῖς

ἀμφισβητησίμοις τάττουσι παρὰ Στράβωνι· ἐκεῖνοι μὲν περὶ Σικελίαν τε καὶ Ἰταλίαν τὰς Ὀδυσσέως περιγράφοντες πλάνας, περὶ δὲ τὰ τοῦ ὠκεανοῦ ἐξώτατα γενέσθαι διατεινόμενοι. Περὶ τούτου πλατύτερον διεξῆλθε Κλουβέριος ἐν τῷ τελευταίῳ Κεφαλαίῳ τῆς παλαιᾶς Σικελίας. τὰς γάρ τοι πλάνας ἐκείνας ἐν γένει ἐκ τῶν Ὁμήρου ἐκτιθέμενος, τὸν Οὐϊργιλίου Αἰνείαν τῷ Ὀδυσσεῖ διηνεκῶς παραβάλλων ἀποδείκνυσι, μηδαμόσε τὸν Ὁμηρικὸν Ὀδυσσέα προεξενεχθῆναι, οὗ μὴ καὶ ὁ Οὐϊργιλιακὸς Αἰνείας προσορμισθεὶς ὕστερον λέλεκται. Ἀλλ' ἅπερ ἰδιαίτερον ἐπανήκοντα ἐστὶ πρὸς Φαίακάς τε καὶ Σχέρειαν, ταῦθ' ἡμεῖς κατ' εἶδος ἀνεξετάσομεν, τοῖς Εὐσταθίου τοῦ Σχολιαστοῦ προδηγετοῦντος ἑπόμενοι ἴχνεσιν.

Ἐρατοσθένης μὲν οὖν καὶ Ἀπολλόδωρος παρὰ Στράβωνι, τοὺς ἐν τῇ ἐσωτέρᾳ θαλάσσῃ τὰς Ὀδυσσέως ἐμπεριλείοντας διασύρουσι πλάνας· καὶ Καλλιμάχῳ δὲ μάλιστα τῷ Γραμματικῷ προσεπηρεάζουσιν, ὅτι τὴν μὲν τῆς Καλυψοῦς Νῆσον ἀντὶ τῆς Γαύδου, τὴν δὲ Σχερίαν ἀντὶ „τῆς Κερκύρας ἐξείληφεν. Ἠνὶ δὴ τὰ Στράβωνος ἐν Βιβλ: Α'. Ἀπολ„λόδωρος δὲ ἐπιτιμᾷ Καλλιμάχῳ, συνηγορῶν τοῖς περὶ „Ἐρατοσθένην· διότι καίπερ Γραμματικὸς ὤν, παρὰ „τὴν Ὁμηρικὴν ὑπόθεσιν, καὶ τὸν ἐξωκεανισμὸν τῶν τό„πων, περὶ ὧν τὴν πλάνην φράζει, Γαῦδον καὶ Κόρκυραν „ὀνομάζει. Ἐν δὲ τᾷ Ζ'. Βιβλ: Καὶ τοῖς μὲν ἄλλοις συγ„γνώμην εἶναι, Καλλιμάχῳ δὲ μὴ πάνυ, μεταποιουμένῳ „γε Γραμματικῆς, ὃς τὴν Γαῦδον Καλυψοῦς Νῆσόν φησι, „τὴν δὲ Κέρκυραν Σχερίαν.

Οὐκ ἂν ἔξαρνος γενοίμην, πλεῖστα πρὸς Ὁμήρου περὶ τῆς Σχερίας εἰρῆσθαι, ἐξ ὧν ὁ ταύτης ἐκτοπισμὸς, εἴτουν ἐξωκεανισμὸς, ἐπιφέρεται ῥᾷστα, ἃ προσφυέστερον Νήσῳ τινὶ τοῦ Ἀτλαντικοῦ πο' κειμένη, ἢ τῇ ἡμετέρᾳ τῇ ἐγγὺς ἠπείρου κειμένῃ ἁρμόσειεν· ἐντεῦθεν γε μὴν οὐδέν τις ἂν δικαίως εἰσβάλοιτο, ἀλλ' ἢ ὅτι τὰ πολλὰ Ὅμηρος ποιητικώτερον συνειλίσας, τ' ἀληθὲς συνεσκίασεν. Αὐτὸς καὶ γὰρ ὁ Στράβων

„ (ἐν τῷ Α'. Βιβλ:) ὑπὲρ Ὁμήρȣ ἀπολογȣ́μενος: ἅτε δὴ, (φησὶ)
„ πρὸς τὸ παιδευτικὸν εἶδος ἀναφέρων τȣ̀ς μύθȣς ὁ Ποι-
„ ητὴς, ἐφρόντισε πολὺ μέρος τ' ἀληθȣ̃ς, ἐνετίθει καὶ
„ ψεῦδος· τὸ μὲν ἀποδεχόμενος, τῷ δὲ δημαγωγῶν, καὶ
„ στρατηγῶν τὰ πλήθη. (Καὶ μετ' ὀλίγα:) Ἐκ μηδενὸς δὲ ἀλη-
„ θȣ̃ς ἀνάπτειν κενὴν τερατολογίαν, ȣ̓χ Ὁμηρικὸν· προ-
„ σπίπτει γὰρ ὡς εἰκὸς, ὡς πιθανώτερον, ἂν ȣ̃τω τι ψεύδοιτο,
„ εἰ καταμίσγοι τι καὶ αὐτῶν τῶν ἀληθινῶν. Τȣ́τοις συνᾴδει
„ κἀκεῖνο τὸ τȣ̃ Λακταντίȣ ἐν τῷ Α'. Βιβλ: τῶν εἰσηγήσεων: Οὐ
„ γὰρ οἱ Ποιηταὶ τὰ πεπραγμένα ἀνέπλασαν· εἶεν
„ γὰρ ἂν ȣ̃τω ποιȣ̃ντες ἀνθρώπων κȣφότατοι· ἀλ-
„ λὰ τοῖς διαπεπραγμένοις ποιάντινα χρόαν
„ προσῆψαν. Ἀλλὰ γὰρ ἡμῖν τὰ τȣ̃ Ὁμήρȣ, ἐφ' οἷς ὁ τῶν Φαι-
άκων ἐκτοπισμὸς ἐπικέχρωσται, ὧδε παρ' Εὐσταθίȣ καταλεκτέον.

Α'. Ὀδυσ: Ζ'. Ναυσίθοος τȣ̀ς Φαίακας ἐπὶ τῆς Σχερείας κατα-
στήσασθαι λέγεται.

„ . . . . . Ἑκὰς ἀνδρῶν ἀλφηστάων.

„ Πρὸς ἅπερ Εὐστάθιος: τὸ δὲ ἑκὰς ἀνδρῶν ἀλφηστάων,
„ ἐκτοπισμόν τινα τῆς Σχερίας παραλαλεῖ, ὡς
„ εἴπερ μὴ ἦν ἡ νῦν Κέρκυρα γνωριζομένη, ἀλλά
„ τις ἄγνωστος κατὰ τὴν Ὠγυγίαν. Ὅτι δὲ τοιȣ̃-
„ τόν τι βȣ́λεται, καὶ περὶ τῆς Φαιακικῆς Σχερίας
„ ὁ Ποιητὴς, ἐν τοῖς ἐφεξῆς δηλωθήσεται σα-
„ φέστερον. Ὅς γε, φησὶν, ȣ̓δὲ ὠνόμασε Κέρκυραν
„ τὴν Σχερίαν, ἵνα μὴ ἐλέγχοιτο ῥᾳδίως, ὅτε
„ τῆς καθ' ἡμᾶς οἰκȣμένης πλάττει αὐτήν.

Β'. δὲ, ἐν τῷ αὐτῷ τῆς Ὀδυσσείας Βιβλίῳ Ναυσικάαν ποιῶν περὶ
τῶν ἑαυτῆς Φαιάκων διηγȣμένην:

„Οἰκέομεν δ' ἀπάνευθε πολυκλύςῳ ἐνὶ πόντῳ
„Ἔχατοι, ἐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.

„Ἔνθα σημείωσαι, (φησὶν Εὐςάθιος) ὅτι ἐκ αὐτὸς „ὁ Ποιητὴς, ἀναιδῶς ἔτω τὴν τῶν Φαιάκων ἐκτο„πίζει γῆν, ἀλλ' ἡ Ὁμηρικὴ κόρη. Καὶ οἱ λοιποὶ „δὲ Φαίακες ἐχ ἔτως ἐδ' αὐτοὶ εἰδότες, ἐδὲ „πρὸς ἀλήθειαν λαλἔντες, ἀλλ' ἐθέλοντες τοιἔ„τοι δοκεῖν τοῖς πολλοῖς διὰ τὸ ἀνεπιβέλευτον· „ἵνα δηλ: μὴ πολεμοῖντο φθονέμενοι διὰ τὸ „τῆς χώρας εὔδαιμον: ὃ πολλαχἔ γίνεται.

„Εἶτα προςίθησιν: Ἰςέον δὲ, καὶ ὅτι ἀςείως ἡ κόρη τὸ „ψεῦδος σοφίζεται: οἰκἔσι γὰρ ἀπάνευθε τῶν „Κυκλάδων οἱ Φαίακες, καὶ πολυκλύςῳ ἐνὶ πόν„τῳ, καθὰ Νησιῶται, καὶ ἔχατοι ἐκεῖ πρὸς τῇ „Ἠπείρῳ· καὶ ἔτις αὐτοῖς ἐπιμίσγεται ἁπλῶς „δίχα τἔ πλεῦσαι.

Γ'. Καὶ διὰ τἔ τῶν ὀπωρῶν ἐνδελεχισμἔ, τὸν Ποιητὴν (ἐν Ὀδυσ: Η'.) φησὶν Εὐςάθιος, τὸν τῆς Σχερίας ἐκτοπισμὸν ἐπεισάγειν: „Ἰςέον δὲ, ὅτι ψεῦδος μὲν ἐπὶ τῶν ἀληθινῶν „Φαιάκων τὸ ἔτω παράμονον τῶν καρπῶν· ἄλλως „μέντοι ἐπὶ πολὺ τἔ ἔτἔς διαρκἔσι καὶ ἐκεῖ οἱ „καρποὶ, ὡς οἴδασιν οἱ πεῖραν μαθόντες. Ὅμη„ρος δὲ ἐκτοπίζων τὴν Φαιακίαν κατά τινα, „ὡς καὶ προεδηλώθη, ποιητικὴν τερατείαν, καὶ „ποῤῥωτάτω μετάγων, ὑπερβάλλει τὸ ταῦτα „πλάττων περὶ αὐτῆς, ὡς εἴπερ Νῆσος ἦν τῶν „Μακάρων τοῖς ἀκἔσιν ἀνεξέλεγκτος.

Τελευταῖον δὲ καὶ Μακάρων Νῆσον τὲς Φαίακας οἰκεῖν καθ' Ὅμηρον εἰσβάλλει Εὐςάθιος, ἐκ τῆς παρ' αὐτὲς ἐπεισόδε τε Ραδαμάνθυος, περὶ ἧς ἐν τῷ Η'. τῆς Ὀδυσ: ὁ Ποιητὴς, καὶ ἡμεῖς κατωτέρω. „Φαίνεται γὰρ (φησὶν ὁ Παρεκβολεὺς) παραλαλεῖν „τὸν Ἀλκίνοον, ἐγγίζειν τὴν κατ' αὐτὸν γῆν „τῇ τῶν Μακάρων Νήσῳ, ἔνθα ἦν ὁ Ῥαδάμανθυς· „ὅθεν καὶ τὴν προϊςορηθεῖσαν εὐδαιμονίαν εἶναι „παρὰ Φαίαξιν, ὡς εἰ καὶ Νῆσον ὤκεν Μακάρων. „Τὸ δ' αὐτὸ ὡσαύτως καὶ ὁ Σχολιαςὴς Δίδυμος συνεπέραινεν.

Ἐκ τῶν τοιῶνδε ἐπεισοδίων, (κατά γε Στράβωνα:) τὰ θέλγητρα „τῆς Ὁμηρικῆς Ἀναγνώσεως τεχνεργεῖται. Ὅταν γὰρ προσῇ „καὶ τὸ θαυμαςὸν καὶ τὸ τερατῶδες, ἐπιτείνει τὴν „ἡδονὴν, ἥπερ ἐςὶ τε μανθάνειν φίλτρον.

Τὐναντίον γεμὴν ἐν ἄλλοις, φύκες ἄνευ ὁ Ποιητὴς τ' ἀληθὲς ἐμφανίζων ἐπεξεκάλυψε τὴν γνησίαν τῆς Σχερίας κατάθεσιν· ὡς ὅτε ἐπὶ τῶν προοιμίων τῆς Ὀδυσσείας περὶ τῆς τροφε λέγων τῆς Ναυσικάας:

„Γρηῢς ἀπειραίη θαλαμηπόλος Εὐρυμέδεσα
„Τήν ποτ' ἀπείρηθεν νέες ἤγαγον ἀμφιέλισσαι·
„Ἀλκινόῳ δ' αὐτὴν γέρας ἔξελον . . . . .

„Εἰς ἅπερ Εὐςάθιος, Σημείωσαι, ὅτι ὁ πολλαχε τὴν „Φαιακίαν ἐκτοπίζειν ἐθέλων διὰ τὸ τερατωδέ„ςερον, ἐνταῦθα ἐνέφηνε τὴν ἀληθῆ θέσιν αὐ„τῆς, πλάσας τὴν βασιλικὴν θαλαμηπόλον γραῦν „ἐκεῖθεν ποθὲν αἰχμαλωτισθεῖσαν ἐκ τῆς ἀντιπέ„ραν γῆς, ἰδίως ὅτω καλεμένης Ἠπείρε, ὡς „καὶ ἐν ἄλλοις ἐγράφη, ὁμωνύμως ὅλῃ τῇ γῇ.

Παρὰ ταῦτα δὲ, ὅτε (ἐν προοιμ: τῆς Ὀδυσ: Θ΄.) Ἀλκίνοος λέγει:

„Ἡμεῖς δ' ὡς τὸ πάρος περ ἐποτρυνώμεθα πομπὴν·
„Οὐδὲ γὰρ ὐδέ τις ἄλλος, ὅτις κ' ἐμὰ δώμαθ' ἵκηται,
„Ἐνθάδ' ὀδυρόμενος δηρὸν μένει εἵνεκα πομπῆς.

Ἐξ ὧν Εὐστάθιος ἐπιφέρει: ὐκ ἄρα πάντῃ ἐκτετοπισ-„μένοι ἦσαν κατὰ τὸν μῦθον· ἀλλ' ὑπεμφαίνει πυ „καὶ τὸ ἀληθὲς ὁ Ποιητής.

Αὖθις (Ὀδυσ: Ν΄.) ἔνθα ἐν Ἰθάκῃ ἐνορμισθῆναι οἱ Φαίακες λέγονται: Πρὶν εἰδότες: (Εὐστάθιος δὲ Σχολιογραφῶν:) πότε „εἰδότες, ἢ πῶς; ὐ φησὶν ὁ Ποιητὴς, ἀλλ' ἀφίησι „νοεῖν· ὅτι οἴδασιν, ὡς εἰκὸς, Φαίακες Κερκυραῖοι „ὄντες Ἰθακησίοις γείτονες. Τῦ γὰρ ἐκτοπισμῦ „πλάσματος ὄντος, ἀληθὲς ἐςὶ τῆς κατὰ Φαια„κίαν Κεφαλληνίας ὐ πολὺ ἀπέχειν τὴν Ἰθάκην. Τῶν μὲν ὖν Λατίνων οἱ ἑρμηνεύσαντες Ὅμηρον, ἄλλως πως, ἤπερ Εὐστάθιος, τὰ ῥηθέντα ἐξέλαβον· τὸ γάρ τοι, πρὶν εἰδότες, ἀντὶ τῦ, πρὶν ἤπερ ἂν εἰδεῖεν ἐνόησαν: ὡς ἐν τῇ Βαργεσίυ ἐκδόσει ἀναγι„νώσκεται: Ἀλλ' Εὐστάθιος ὧδε προσέθετο: Πάνυ πιθανῶς ἐν„ταῦθα ἐῤῥέθη τὸ πρὶν εἰδότες, ἵνα εἰκοτολογηθῇ „τὸ ἐν νυκτὶ τολμῆσαι τὺς Φαίακας, ἐπεῖξαι κατὰ „τῆς χέρσυ κώπαις ὅλαις τὴν νῆα.

Ἄλλως τε δ' ἔτι, καὶ τὴν Σχερίας θέσιν πρὸς Ὁμήρυ, φησὶν Εὐστάθιος, δηλωθῆναι, ἐν ᾧ τὰς ἀπειλὰς Ποσειδῶνος (περὶ ὧν ἐν ἰδίῳ τόπῳ) διεξιὼν, ὐ τολμᾷ μέντοιγε, φησὶ, προσθεῖναι, εἰ εἰς τέλος

προήχθησαν. Οὐ τολμᾷ μέντοι καὶ εἰπεῖν ἐκβῆναι τὰς „ἀπειλὰς εἰς τέλος, τὸ τῆς ἱστορίας δυσωπέμενος „ἀληθές· ἡ γὰρ τῶν Φαιάκων σώζεται φανερῶς.

Ο῾ δέ γε παρασυνάπτει Εὐστάθιος αὐτόθι: Λίθον ἐκεῖ πε „περίοπτον κείμενον ἐν θαλάσσῃ περὶ Κέρκυραν „νηὸς φαντασίαν πέμπειν, αὐτὸ τοῦτο καὶ Πλίνιος, πολὺ πρὸ τοῦ Εὐσταθίου παρέδωκεν (ἐν Βιβλ: Δ΄. Κεφ: ΙΒ΄.) γράψας: A Phalacro Corcyrae Promontorio fcopulus, in quem mutatam Uliffis navem, a fimili fpecie, fabula eft (Εἰς „τὸν ἀπ' ἄντικρυ τοῦ Φαλακροῦ τοῦ ἐν Κερκύρᾳ Α᾽κ„ρωτηρίου προκύπτοντα σκόπελον τὴν Ο᾽δυσσέως „ναῦν μεταποιηθῆναι, μῦθος ἐστί.) Τὸ δ' αὐτὸ καὶ ὁ Πολυΐστωρ, καὶ ὁ Σολῖνος παραδεδώκατον.

Α᾽λλὰ γὰρ οὐδαμοῦ ἐμφανέστερον Ο῞μηρος τὴν Κερκύρας θέσιν ἔοικεν ἀνακεκαλυφέναι, ἢ ἐν τῷ Ξ΄. τῆς Ο᾽δυσ: ἐν οἷς Ο᾽δυσσεὺς ὑπὸ σχήματι τῷ τοῦ προσαίτου Κρητὸς λανθάνων, τὰ συνενεχθέντα οἷ ἐν Κερκύρᾳ ὑπεξέφηνε τῷ Εὐμαίῳ, τὰ ψεύδεα τοῖς ἀληθέσι συγκαταμίξας:

„ Ε᾽ννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ μελαίνῃ,
„ Γαίῃ Θεσπρωτῶν πέλασεν μέγα κῦμα κυλίνδον·
„ Ε᾽νθα με Θεσπρωτῶν βασιλεὺς ἐκομίσσατο Φείδων
„ Ἥρως ἀπριάτην· τοῦ γὰρ φίλος υἱὸς ἐπελθὼν,
„ Αἴθρῳ καὶ καμάτῳ δεδμημένον ἦγεν ἐς οἶκον,
„ Χειρὸς ἀναστήσας ὄφρ' ἵκετο δώματα πατρὸς·
„ Ἔνθ' Ο᾽δυσῆος ἐγὼ πυθόμην· κεῖνος γὰρ ἔφασκε
„ Ξεινίσαι, ἠδὲ φιλῆσαι, ἰόντ' ἐς πατρίδα γαῖαν.

* * * * * * * * * * * * * * * * *

,, Τόν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα Θεοῖο
,, Ἐκ δρυὸς ὑψικόμοιο Διὸς βȣλὴν ἐπακȣ́σῃ,
,, Ὅππως νοςήσῃ Ἰθάκης ἐς πίονα δῆμον.

Τῆς ȣ῏ν Θεσπρωτίας, καὶ τȣ῀ Ναȣ῀ τȣ῀ Δωδωναίȣ Διὸς ἐπὶ τῆς ἀντιθέτȣ τῇ Κερκύρᾳ χέρσȣ, ἤτοι ἐπὶ τῆς Ἠπείρȣ κειμένων, ἀναμφίριςον ἐςὶ δήπȣ, μὴ ἄλλην Νῆσον τινὰ, Σχερίαν τὸν Ποιητὴν ὀνομάσαι, ἢ τὴν Κέρκυραν. ȣ̓δὲ δῆμον ἄλλον Φαίακας, ἢ τȣ̀ς Κερκυραίȣς αὐτȣ́ς.

## ΚΕΦΑ΄Λ. Ζ΄.

Τῆς τοίνυν περὶ τὴν Σχερίας κατάθεσιν ἀμφισβητήσεως ἐκ ποδῶν γενομένης, τὴν πρωτέυȣσαν νῦν τῶν ἐπὶ τῆς Νήσȣ πόλεων, καὶ τὰ ἐν αὐτῇ Ἀνάκτορα, καὶ τȣ̀ς Ἀλκινόȣ κήπȣς εἰσιόντες περισκεψώμεθα,

Τὸ μὲν ȣ῏ν τῆς πόλεως εἶδος, ȣ῞τως ἡ παρ' Ὁμήρῳ Ναυσικάα περιγράφȣσα τῷ Ὀδυσσεῖ φέρεται.

,, . . . . . . . . Ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω:
,, Αὐτὰρ ἐπὴν πόλεως ἐπιβήσομεν, ἣν πέρι πύργος
,, Ὑψηλὸς, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος·
,, Λεπτὴ δ' εἰσίθμη· νῆες δ' ὁδὸν ἀμφιέλισσαι
,, Εἰρύαται· πᾶσιν γὰρ ἐπίςιον ἐςὶν ἑκάςῳ·
,, Ἐνθάδε τε σφ' ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφὶς,
,, Ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ' ἀραρυῖα·
,, Ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγȣσι

,, Πέσματα, καὶ σπείρας, ϗ ἀποξύνȣσιν ἐρετμά.

Ὡς δ' Ὀδυσσεὺς πρῶτον εἰσέδυ τὴν πόλιν ἐθαύμασεν (Ὀδυσ: Ζ'.)

,, . . . . . . Λιμένας καὶ νῆας εἴσας
,, Αὐτῶν θ' Ἡρώων ἀγορὰς, καὶ τείχεα μακρὰ,
,, Ὑψηλὰ, σκολόπεσσιν ἀρηρότα, θαῦμα ἰδέσθαι.

Ἀλλ' ȣδὲν τῶν ἐν τῇ πόλει ὑπῆρχε τῶν Ἀλκινόȣ δόμων θαυμασιώτερον· (αὐτ: Ὀδυσ:) διὸ Ναυσικάα τῷ Ὀδυσσεῖ:

,, Καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν, ἠδ' ἐρέεσθαι
,, Δώματα πατρὸς ἐμȣ̃ μεγαλήτορος Ἀλκινόοιο.
,, Ρεῖα δ' ἀρίγνωτ' ἐςὶ, καὶ ἂν παῖς ἡγήσαιτο
,, Νήπιος· ȣ̓ μὲν γάρ τοι ἐοικότα τοῖσι τέτυκται
,, Δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
,, Ἥρωος. . . . . . . . . . . . .

Καὶ ταῦτ' ἄρα Ὀδυσσεὺς μέγα ἠγάσσατο· (αὐτ:)

,, . . . . . . . Αὐτὰρ Ὀδυσσεὺς
,, Ἀλκινόȣ πρὸς δώματ' ἴε κλυτά· πολλὰ δέ οἱ κῆρ
,, Ὥρμαιν' ἱςαμένῳ, πρὶν χάλκεον ȣ̓δὸν ἱκέσθαι.
,, Ὥςε γὰρ ἠελίȣ αἴγλη πέλεν, ἠὲ σελήνης,
,, Δῶμα καθ' ὑψερεφὲς μεγαλήτορος Ἀλκινόοιο.
,, Χάλκεοι μὲν γὰρ τοῖχοι ἐληλάδατ' ἔνθα ϗ ἔνθα
,, Ἐς μυχὸν ἐξ ȣ̓δȣ̃, περὶ δὲ θριγκὸς κυάνοιο.
,, Χρύσειαι δὲ θύραι πυκινὸν δόμον ἐντὸς ἔεργον·
,, Σταθμοὶ δ' ἀργύρεοι ἐν χαλκέῳ ἕςασαν ȣ̓δῷ·
,, Ἀργύρεον δ' ἐφ' ὑπερθύριον, χρυσέη δὲ κορώνη,

„Χρύσεοι δ' ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν·
„Οὓς Ἥφαιστος ἔτευξ' εἰδυίῃσι πραπίδεσσι,
„Δῶμα φυλασσέμεναι μεγαλήτορος Ἀλκινόοιο,
„Ἀθανάτους ὄντας, καὶ ἀγήρως ἤματα πάντα.
„Ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα,
„Ἐς μυχὸν ἐξ οὐδοῖο διαμπερὲς, ἔνθ' ἐνὶ πέπλοι
„Λεπτοὶ ἐΰννητοι βεβλήατο, ἔργα γυναικῶν.

Τῆς τοιᾶς δὲ τῶν δωμάτων εὐπρεπείας καὶ καλλονῆς, οὐδὲν ἐνδέουσαν τὴν τρυφήν τε καὶ πολυτέλειαν τῶν Ἀλκινόου παραδείσων Ὀδυσσεὺς ἐθεάσατο ἐφεξῆς: οὕς τινας ἔστιν ὃς τῶν Λατίνων πατέρων ὕστερον, ὄνομα Bonjour, ἀνὴρ σοφίᾳ διαπρέπων (ἥπερ αὐτὸν ὁ Συγγραφεὺς ἐπικλεῖζει:) ἐκ τοῦ ἐν Ἐδὲμ ἐν Ἱεραῖς περιγραφομένου παραδείσου Βίβλοις, ἡγήσατο ὑποτυπωθῆναι. Ἐξ ὧν δὴ καὶ οἱ Ἀλκινόου κῆποι ἐλήφθησαν εἰς παροιμίαν· καὶ συχνὰ τούτων παρὰ τοῖς Ποιηταῖς, μάλιστα Λατίνοις, τὰ τῆς ἐν ὀπώραις καλλικαρπίας ἐγκώμια πλέκεται: οἷον παρ' Ὀυϊδίῳ ἐν ταῖς Μεταμορφώσεσιν, (ὡς ἐν τῇ ΙΓ'.)

Proxima Phaeacum felicibus obſita pomis
Rura petunt. . . . . . . . . . . . . . . .

(Τοὺς ἔγγιστα Φαιακείοις μακαρίοις ἐμφράκτους μήλοις
Ἀγροὺς μετίασιν. . . . . . . . . . . . . . .

Καὶ παρὰ τῷ Ἰουβεναλίῳ, ἐν Σατύρ: Ε'.

. . . . . . . . . . Illa jubebit
Poma dari quorum ſolo paſceris odore,
Qualia perpetuus Phaeacum autumnus habet.

„ . . . . . . . (Ἣ δὲ κελεύσει
„ Μῆλα δοθῆναι, ὧν μόνη βόσκοι τῇ ὀσμήσει,
„ Οἷα διαμπερὲς τὸ Φαιάκων μετόπωρον ἴχει.)

Καὶ Προπέρτιος δὲ ἐν Α'. Ι. γράφων:

Nec mea Phaeacas aequant pomaria fylvas.
„(Οὐδ' ἢ μοὶ Φαιακείοις ἰσοῦνται μηλεῶνες δρυμόσιν.)

Καὶ Παπίνιος Βιβλ: Α'. τῶν Ἄλσεων, Γ'.

Quid bifera Alcinoi referam pomaria? vosque
Qui nunquam vacui prodiftis in aethera rami?
„(Τί τοὺς διφόρους Ἀλκινόου εἴπω μηλεῶνας; ὑμᾶς τε
„ Οἳ οὔποτε κενοὶ προὐκύψατε εἰς αἰθέρα κλῶνες;)

Καὶ ἄλλως δέ πως πεπαροιμίασται: Alcinoo poma dare, τῷ Ἀλκινόῳ ὀπώρας παρέχειν: ἐπειδάν τις τινὶ προσάγει, ὧν ὄντος ἐν περιουσίᾳ ἐστὶν ἀπολαύων ἀφθόνως. Ἔνθεντοι ὁ Μαρτιάλιος, ἐν τῷ Β'. τῶν πρὸς Καστρίκιον:

Tam mala cur igitur dederím tibi carmina quaeris?
Alcinoo nullum poma dediffe putas?
„(Οὕτω φαῦλα τί τοίνυν παρέσχον σοι ἔπη πυνθάνῃ;
„ Ἀλκινόῳ μῆλα μηδένα παρασχεῖν ποτε οἴῃ;)

Μέτιθι δὲ περὶ ἑκατέρων τῶν παροιμιῶν τούτων, τὰς Ἀδριανοῦ Γουνίου ἑκατοντάδας.

Τὰ δ' Ὁμήρου ἔπη ταῦτα ἐστίν:

„ Ἔκτοσθεν δ' αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων
„ Τετράγυος· πέρι δ' ἕρκος ἐλήλαται ἀμφοτέρωθεν·
„ Ἐνθάδε δένδρεα μακρὰ πεφύκει τηλεθόωντα,
„ Ὄχναι, καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι
„ Συκαῖ τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι,
„ Τάων ὔποτε καρπὸς ἀπόλλυται, ὐδ' ἀπολείπει,
„ Χείματος, ὐδὲ θέρευς, ἐπετήσιος· ἀλλὰ μάλ' αἰεὶ
„ Ζεφυρίη πνείυσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει
„ Ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,
„ Αυτὰρ ἐπὶ ςαφυλῇ ςαφυλὴ, σῦκον δ' ἐπὶ σύκῳ.
„ Ἔνθάδε οἱ πολύκαρπος ἀλωὴ ἐῤῥίζωται·
„ Τῆς ἕτερον μὲν θειλόπεδον λευρῷ ἐνὶ χώρῳ,
„ Τέρσεται ἠελίῳ· ἑτέρας δ' ἄρα τε τρυγόωσιν,
„ Ἄλλας δὲ τραπέυσι· πάροιθε δέ τ' ὄμφακες εἰσὶν,
„ Ἄνθος ἀφιεῖσαι, ἕτεραι δ' ὑποπερκάζυσιν.
„ Ἐνθάδε κοσμηταὶ πρασιαὶ παρὰ νείατον ὄρχον
„ Παντοῖαι πεφύασιν, ἐπηετανὸν γανόωσαι.
„ Ἐν δὲ δύω κρῆναι, ἡ μέν τ' ἀνὰ κῆπον ἅπαντα
„ Σκίδναται, ἡ δ' ἑτέρωθεν ὑπ' αὐλῆς ὐδὸν ἵησι
„ Πρὸς δόμον ὑψηλὸν, ὅθεν ὑδρεύοντο πολῖται.

Ο' μὲν ἔν Διονύσιος ὁ Περιηγητὴς, **λιπαρὰν** τὴν Κερκύραν εἶπε διὰ τὸ πολύκαρπόν τε καὶ εὔκαρπον κατ' Εὐςάθιον· ὁ δ' Α'πολλώνιος ἐν τοῖς Α'ργοναυτικοῖς (Βιβλ: Δ'.) **πίειραν: ἀμφιλαφὴς**

πίειρα: Ἄλλως γε μὴν τὸ ἀμφιλαφὴς, ὁ τούτου Σχολιαστὴς ἐξε-
„δέξατο, ἑρμηνεύσας: Ἀμφιλαφὴς: ἀμφοτέρωθεν ἐπι-
„τηδείως πρὸς ὅρμον ἔχουσα. Καλλίμαχος δὲ ἀμφίδυμον εἶπε τὸν ἀμφιλαφῆ λιμένα. Ἱστορικῶς δὲ Ἀπολλώνιος ἀμφιλαφῆ τὸν λιμένα φησίν. Ἱστορεῖ δὲ περὶ τοῦ λιμένος τῶν Φαιάκων Ἀπολλωνίδης ἐν τῷ περίπλῳ τῆς Εὐρώπης. Τὸ δέ τοι ἑκατέρωθεν τῆς Φαιάκων πόλεως λιμένα κεῖσθαι ἀνωτέρω καὶ Ὅμηρος παρέδωκεν: ἀλλὰ Σκύλαξ ὁ Καρυανδηνὸς ἐν τῷ περίπλῳ, καὶ τρίτον ἔτι λιμένα προσέθετο·
„Κατὰ δὲ Χαονίαν Νῆσος ἐστὶ Κόρκυρα, καὶ πόλις
„Ἑλληνὶς ἐν ταύτῃ, λιμένας ἔχουσα τρεῖς κατὰ
„τὴν πόλιν: τούτων εἷς κάλλιστος.

## ΚΕΦΑΛ. Η΄.

Τὰ περὶ τὴν θρησκείαν, καὶ τὴν τῶν Θεῶν θεραπείαν ἐπιμελῶς σπουδάσαι τοὺς Φαίακας, Ὅμηρος ἐστὶν ἐπιμαρτυρῶν, ἀγχιθέους προσαγορεύσας, ὥστε καὶ τῆς παρὰ τῶν Θεῶν ἀξιοῦσθαι ἐπιφανείας, ὡς Ἀλκίνοος διεξήει: (Ὀδυσ: Η΄.)

„Αἰεὶ γὰρ τὸ πάρος γε Θεοὶ φαίνονται ἐναργεῖς
„Ἡμῖν, εὖτ' ἔρδομεν ἀγακλυτὰς ἑκατόμβας·
„Δαίνυνταί τε παρ' ἄμμι καθήμενοι, ἔνθα περ ἡμεῖς·
„Εἰ δ' ἄρα τις καὶ μοῦνος ἰὼν ξύμβληται ὁδίτης,
„Οὔ τι κατακρύπτουσιν, ἐπεὶ σφίσιν ἐγγύθεν εἰμὲν·
„Ὥσπερ Κύκλωπές τε, καὶ ἄγρια φῦλα γιγάντων.

Α᾽μέλει τοι αὐτοῖς, ἅτε Θεοφιλέσιν, οἱ Θεοὶ ἐπήμυνον ἑτοίμας. Ε᾽νθεντοι καὶ ἡ Ναυσικάα τῦ Ο᾽δυσσέως ἐπιφανέντος, παρῄνει ταῖς θεραπαίναις μηδαμῶς πτήσσειν (Ο᾽δυσ: Ζ΄.)

„Στῆτέ μοι ἀμφίπολοι, πόσε φεύγετε, φῶτα ἰδῦσαι;
„Η᾽ μήπυ τινὰ δυσμενέων φάσθ᾽ ἔμμεναι ἀνδρῶν;
„Οὐκ ἔσθ᾽ ὗτος ἀνὴρ διερὸς βροτὸς, ὑδὲ γένηται,
„Ο῞ς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
„Δηϊοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.

Υ᾽πῆρχον δὲ τοῖς Φαίαξι Θεοὶ κατ᾽ ἐξοχὴν προςάται Ζεύς. Ζηνὶ καὶ γὰρ Κασίῳ Νεὼς ἐπὶ τῆς νήσυ ἵἱρωτο, ὡς ἱςορεῖ Πλίνιος, Βιβλ: Δ΄. Κεφ: ΙΒ΄.) τῦθ᾽ ὃ καὶ τὰ Κερκυραϊκὰ δηλῦσι νομίσματα, τὰ ὑπὸ τῦ Α᾽νδρέυ τῦ Μαρμαρᾶ προβαλλόμενα, ἐφ᾽ οἷς ἐπιγέγραπται: ΖΕΥΣ ΚΑΣΙΟΣ. Καὶ ὁ ὑπὸ Α᾽λκινόυ δὲ τυθεὶς βῦς (Ο᾽δυσ: Ν΄.) Ζηνὶ κελαινεφεῖ Κρονίδῃ. Καὶ τὸ ἐν τῇ ἀνθολογίᾳ (Βιβλ: Α΄. Κεφ: 30.) Γ᾽ελλίυ Πολυαίνυ ἐπίγραμμα:

„Εἴ καὶ σεῦ πολύφωνος ἀεὶ πίμπλησιν ἀκυὰς
„ Η᾽ φόβος εὐχομένων, ἢ χάρις εὐξαμένων,
„Ζεῦ, Σχερίης ἐφέπων ἱερὸν πέδον· ἀλλὰ καὶ ἡμῶν
„ Κλῦθι, καὶ ἀψευδεῖ νεῦσον ὑποσχεσίῃ.

Ε᾽πίσημον δὲ λίαν γενέσθαι Ζηνὸς τὸ Κασίυ ἐπώνυμον, παρέδωκε καὶ Λακτάντιος (Βιβλ: Δ΄. Κεφ: ΚΒ΄.) ἀπὸ ὄρυς Κασίυ, καὶ τῆς Αἰγυπτιακῆς πόλεως, λέγων, (ἐκ Στεφάνυ ἐν τοῖς περὶ πόλ:) αὐτὸ παρειλῆφθαι. Ἰώσηπος δὲ ὁ Γσαῖος περὶ τῦ Λακ-

„ταντίᾳ ῥηθέντος, (ἐν Ἐκδόσ: τῇ ἐν Βαταβίῳ) γράφων: ἠγνοη„κέναι (φησὶν) ἔοικεν, ὅτι Ζεὺς ὁ Κάσιος, ἐ μόνον „ἐν Αἰγύπτῳ, ἀλλὰ καὶ ἐν Φαιακίᾳ Ναὸν ἦν ἔχων „εἰς θεραπείαν αὐτῷ ἀνατεθειμένον. Ναὸν ἐκεῖνον, „ἐν ᾧ Νέρων (ἧ λέγει Σϐετόνιος ἐν τῷ αὐτῷ βίῳ Κεφ: ΚΒ΄.) ὡς „πρῶτον ἐς Κασσιώπην ἐπεραιώθη. Statim ad aram Jovis Caſſii cantare auſpicatus eſt (Αὐτίκα πρὸς τὸν βωμὸν Διὸς τῷ Κασσίῳ ἤρξατο ᾄδειν.) Ἦν δ' ἡ Κασσιώπη, Ἄϛυ Κερκύρας διάσημον ὡς εἴρηται, τὸ ὑπὸ Σϐετονίῳ, ὡς ἐγ᾽ ὦμαι, ἱϛορηθὲν· εἰ καὶ τὴν Κασσιώπην ἕτεροι ἐπὶ τῆς Κερκύρᾳ ἀντικειμένης χέρσῳ ὑπέθεντο. Τὸ δέ τοι Κάσιος καὶ Κάσσιος, γραφόμενα ἀδιαφορεῖ.

Ὡσαύτως καὶ Ποσειδῶνος παρὰ Φαίαξιν ἐτυπῦτο νομίσματα εἶδος ἔχοντα, τὰ ὑπὸ Ἀνδρέῳ τῷ Μαρμαρᾷ προβαλλόμενα. Εἰκὸς γὰρ Φαίακας τὸν Θεὸν διαφερόντως εἶναι γεραίροντας, ὡς ἐξ αὐτῷ τὸ γένος ἄγειν νομίζοντας, τῷ καὶ θαλάσσης ἐπιδεσποτεύοντος, ἐν ᾗ πλεῖϛα ὑπῆρχον ἰσχύοντες. Οὐ γὰρ (καί τοιγε Ποσειδῶνος πρὸς Ζῆνα ποτνιωμένῳ ὑπὸ Φαιάκων ὑπερορᾶσθαι: (Ὀδυσ: Μ΄.)

„. . . . . . . Βροτοὶ ἔτι τίσι
„Φαίηκες τοί περ ἐμῆς ἐξ εἰσὶ γενέθλης.

Οὐ δ' ἦν ἡ κατὰ τέτων αὐτῷ ἐκδικία, ὧν τὴν Ναῦν ἐξ Ἰθάκης ἐπανιόντων:

„. . . . . . Λᾶαν ἔθηκε καὶ ἐῤῥίζωσεν ἔνερθε
„Χειρὶ καταπρηνεῖ ἐλάσας . . . . . . .

Τῆς προσηκέσης τῷ Θεῷ θεραπείας ἀπέτρεψε Φαίακας, τὲς μηδ' ἐν τῇ ἐκπομπῇ τῇ τῷ Ὀδυσσέως, ὕβριν τῷ Ποσειδῶνι τινὰ μελετήσαντας. Αὐτίκα καὶ γὰρ Ποσειδῶνα ἐξιλάσασθαι θυηπολίαις ἔσπευσαν· καὶ

τῦ περὶ τὰς ἀνδρῶν ἐκπομπάς, τόγε ἑξῆς, ἀφέξεσθαι προὔθεντο. Ὁ δ' Ἀλκίνοος εἰς λίθον τὴν ναῦν τραπεῖσαν ἰδὼν, παρὰ χρῆμα τοιάδε τοῖς Φαίαξιν ἐνετείλατο:

„ Δεῦρ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
„ Πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
„ Ἡμέτερον προτὶ ἄςυ. Ποσειδάωνι δὲ Ταύρους
„ Δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ.
„ Μηδ' ἡμῖν περίμηκες ὄρος πόλει ἀμφικαλύψῃ.

Καὶ μὲν δὴ καὶ Κερκύρᾳ τῇ θυγατρὶ Ποσειδῶνος, Νύμφῃ τε οὔσῃ, τιμὰς πρὸς Φαιάκων ἀποδοθῆναι, ἐκ πολλῶν παρὰ τοῦ Μαρμαρᾶ προενεχθέντων φανερὸν γίνεται Νομισμάτων, ταύτης τε τὸ πρόσωπον παριςώντων, καὶ τὴν ἐπιγραφὴν τοῦ ὀνόματος.

Ἀλλὰ καὶ τῷ Ἑρμῇ, τοὺς Φαίακας σπένδοντας Ὀδυσσεὺς τὸ Ἀνάκτορον εἰσελθὼν (Ὀδυσ: Η'.) κατεῖδεν:

„ Εὗρε δὲ Φαιήκων ἡγήτορας ἠδὲ μέδοντας,
„ Σπένδοντας δεπάεσσιν ἐϋσκόπῳ Ἀργειφόντῃ·
„ Ὧι πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου.

Τὰς δέ τοι Ἑρμῇ τελουμένας σπονδὰς μετὰ τὴν εὐωχίαν ἀναφέρει Ἀθήναιος (ἐν τῷ Α'. Βιβλ:) αἰτίαν ἐπάγων: Δοκεῖ γὰρ Ἑρμῆς, ὕπνου προςάτης εἶναι.

Καὶ Ἀθηνᾶν δὲ, καὶ Ἀπόλλωνα ἐν τιμῇ παρὰ τοῖς Φαίαξι γενέσθαι οὐκ ἄλλοθεν εἰσβάλλω, ἢ ἐξ ὧν Ἀλκίνοος Ὀδυσσέα εἰς γαμβρὸν θέσθαι πεισθήσας ηὔξατο: (Ὀδυσ: Η'.)

„ Αἲ γὰρ Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον!

Καὶ Βάκχῳ δὲ, καὶ τῷ τούτου υἱεῖ Διονύσῳ τινὰ τῶν Κερκυραϊκῶν Νομισμάτων ὁ Μαρμαρᾶς ἀπονέμει, διὰ τὸ ἔμπροσθεν μὲν ἡβάσκοντος, ὄπισθεν δὲ κλῶνας, καὶ κισσὸν, καὶ κάλυκας ἐν αὐτοῖς κεχαραγμένους ὁρᾶσθαι· ἐν ἑνὶ δὲ καὶ ΔΙΟΝΥΣΙΟΝ ἀναγινώσκεσθαι, ὅπερ ἦν αὐτῷ τῷ Βάκχῳ ἐπώνυμον. Ἐπὶ δὲ δὴ τούτοις καὶ τὰς ἀλωὰς Ἀλκινόου ἐκ τῆς τῶν ἀμπελώνων εὐφορίας, κατείδομεν ἐπαινουμένας τῷ Ὁμήρῳ· καὶ τὸν Κερκυραϊκὸν δὲ οἶνον ἴσμεν παρ' Ἀθηναίῳ (ἐν Βιβλ: Α'.) διαφερόντως τιμώμενον: Χαριέστατος δ' οἶνος εἰς παλαίωσιν ὁ Κερκυραῖος.

Ἐπὶ τούτοις καὶ ἄλλο Νόμισμα προσεπάγει ὁ Μαρμαρᾶς, οὗπερ ἐν μέσῳ τοῖς ἐμπροσθίοις ὁ διπρόσωπος Ἰανὸς ἐπικεχάρακτο, ἐν δὲ τοῖς ὄπισθε Ναῦς παρίστατο καὶ ἐπιγραφὴ ΚΕΡΚΥΡΑΙΩΝ. Ἦν μὲν γὰρ, ὥσπερ εἴρηται, ἡ Ναῦς τῶν Κερκυραϊκῶν Νομισμάτων τοὐπίσημον. Ἀλλὰ κὰν τοῖς Ἰανοῦ Ναῦς κεχάρακτο, ἔνθεντοι παρ' Ὀυϊδίῳ: ἐν τῷ Α'. τῶν Fastorum:

Multa quidem didici; fed cur navalis in aere
 Altera fignata eft, altera forma biceps?
At bona pofteritas puppim formavit in aere
 Hofpitis adventum teftificata Dei.

„(Πολλ' ἐδιδάχθην. ἀλλὰ τί ναῦς χαλκῷ ἐπὶ τῷδε
„ Ἔνθεν σημάνθη, δισσὸν ἔτερθε δὲ κάρ;
„ Ἢ διὰ τῆς χαλκῆς τῆς δ' οἱ μετέπειτα πρύμνης,
„ Ξεῖνον πιστοῦνται σφὶν θεὸν ἐλθέμεναι.)

Τὴν γεμὴν δόξαν ὁ Πλέταρχος ἐκ ἔοικεν ἐγκρίνειν (ἐν τοῖς Ρ῾ωμαϊκοῖς) διερωτῶν: „διατὶ τὸ παλαιὸν νόμισμα τῇ μὲν „εἶχεν Γ῾ανὲ διπρόσωπον εἰκόνα, τῇ δὲ πλοίε πρύ„μναν, ἢ πρῶραν; Α᾽ντιβάλλει δὲ, ὅτι ὁ μόνον Κρόνος, ἀλλὰ καὶ Γ῾ανὸς, καὶ Εὔανδρος, καὶ Αἰνείας ἐκ θαλάττης προσεκομίσθησαν.

## ΚΕΦΑΛ. Θ΄.

Α᾽ριστοκρατηθῆναι κατ᾽ ἀρχὰς τὲς Φαίακας ὑπέληφε Πλέταρχος, ἐπιφέρων ἐκ τῶν Ὁμήρε (Ὀδυσ: Θ΄.) τὰ ἑξῆς ἔπη:

„ Α᾽λλ᾽ ἄγε οἱ δῶμεν ξεινήϊον, ὡς ἐπιεικές.
„ Δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέος βασιλῆος
„ Α᾽ρχοὶ κραίνεσι, τρισκαιδέκατος δ᾽ ἐγὼ αὐτός.

Κἀκ τῶν ἐν τῇ αὐτῇ Ρ῾αψωδίᾳ ἀνωτέρω: ἔνθα τὲς Φαιάκων πρωτεύοντας προσκαλεῖται Α᾽λκίνοος:

„ Σκηπτέχοι βασιλῆες, ἐμὰ πρὸς δώματα καλὰ
„ Ε᾽ρχεσθ᾽, ὄφρα ξεῖνον ἐνὶ μεγάροις φιλέωμεν.

Α᾽λλὰ γὰρ ἐκ πολλῶν ἄλλων τῆς Ὀδυσσείας τόπων, πάρεστι τῆς παρὰ Φαίαξι Μοναρχίας τεκμήρια προσευρεῖν. Τῷ δ᾽ ὄντι τὰ περὶ τὴν ἐκπομπὴν Ὀδυσσέως, βασιλικῶς φαίνεται Α᾽λκίνοος ἐπιτάξας (Ὀδυσ: Η΄.) ὅς γε.

„ . . . . . . . . . . Πᾶσι
„ Φαιήκεσσιν ἄνασσε, Θεὲ δ᾽ ὡς δῆμος ἄκεε.

Ω ω

Καὶ περὶ Ἀλκινόου δ' ὁ Ποιητὴς (Ὀδυσ: Ζ'.) σαφῶς ἐστὶ φάσκων:

„ Τοῦ δ' ἐκ Φαιήκων ἔχεται κάρτος τε βίη τε.

Ὁ γε μὴν Εὐστάθιος, μικτὸν τὸ Φαιάκων κράτος γενέσθαι ἡγήσατο·
„Φησὶ γάρ: Γ'ςέον δὲ, ὅτι εἶπεν, ὡς ἐξ Ἀλκινόου ἔχε-
„ται, καὶ ἐξήρτηται τοῦ Ἀλκινόου ἡ τῶν Φαιάκων
„ἀρχή· ὃ δὴ καὶ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται:
„Βασιλέα ὑποβάλλει Φαιάκων νοεῖν τὸν Ἀλκίνοον.
„Ἐν δὲ τοῖς ἑξῆς Ἀριστοκρατεία ἐμφαίνεται παρὰ
„Φαίαξιν, ἔνθα τρισκαίδεκα ἰσορρηθήσονται βασι-
„λεῖς· καὶ ἔστιν οἷον συνέλευσις ἐν τούτοις Βασι-
„λείας τε καὶ Ἀριστοκρατείας: ὁποῖον τι καὶ περὶ
„Λακεδαίμονα ὕστερον, τὸ κατὰ τοὺς ἐφόρους καὶ τοὺς
„Βασιλεῖς. Εἰ δὲ ὑπερέχει μὲν τῶν ἄλλων Ἀλκίνοος,
„αὐτὸς δὲ πείθεται, ὡς φανεῖται, οἷς ἡ γυνὴ Ἀρήτη
„βούλεται· εἴποι ἄν τις γυναικοκρατεῖσθαι τὴν γῆν
„τὴν Φαιάκων.

Τοιαύτην γὰρ Γυναικοκρατείαν συνιστᾷν ἔοικε τὰ περὶ Ἀρήτης ῥηθέντα: ( Ὀδυσ: Η'. )

„ . . . . . Τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν,
„ Καί μιν ἔτισ', ὡς οὔτις ἐπὶ χθονὶ τίεται ἄλλη,
„ Ὣς κείνη πέρι κῆρι τετίμηταί τε καὶ ἐστὶν,
„ Ἔκ τε φίλων παίδων, ἔκ τ' αὐτοῦ Ἀλκινόοιο,
„ Καὶ λαῶν, οἵ μίν ῥα, Θεὸν ὥς, εἰσορόωντες
„ Δειδέχαται μύθοισιν, ὅτε στείχησ' ἀνὰ ἄστυ.
„ Οὐ μὲν γάρ τι νόου γε καὶ αὐτὴ δεύεται ἐσθλοῦ,
„ Οἷσιν τ' εὖ φρονέῃσι, καὶ ἀνδράσι νείκεα λύει.

Ἀλλὰ γὰρ εἰ καὶ τῶν Ἀρήτης βουλῶν ἐπὶ τῆς Φαιάκων δυναστείας πολὺς ἦν ὁ λόγος, πάντα γεμὴν τῷ Ἀλκινόου νεύματι διεπράττετο. Ταύτῃ τοι καὶ πρὸς τὴν Ἀρήτης βουλὴν (Ὀδυσ: Λ'.) περὶ τοῦ ἀναβληθῆναι τὴν πομπὴν χρῆναι, τοιάδ' ὁ γέρων Ἐχένηος ὑπολαβὼν ἔφη:

„Ὦ φίλοι, οὐ μὰν ὔμμιν ἀπὸ σκοποῦ, οὐδ' ἀπὸ δόξης
„Μυθεῖται βασίλεια περίφρων, ἀλλὰ πίθεσθε·
„Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργον τε ἔπος τε.

Ἀλκίνοος δὲ, ὡς ἐν ἐξουσίᾳ βασιλικῇ ἀποφαινόμενος ἀπεκρίνατο:

„Τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος, αἴκεν ἔγωγε
„Ζωὸς, Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω.

Προσέθετο δέ:

„. . . . . . Πομπὴ δ' ἄνδρεσσι μελήσει
„Πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ δήμῳ.

Ὁ δὲ Εὐστάθιος, τὸ σκηπτοῦχοι Βασιλῆες ἑρμηνεύων:
„Σκηπτούχους βασιλεῖς λέγει τοὺς δώδεκα, οἳ συνάρχουσι τῷ Ἀλκινόῳ, οὐκ ἀποστερήσας οὐδ' αὐτοὺς τῆς βασιλικῆς κλήσεως, εἰ καὶ ὑπερέχει ὁ Ἀλκίνοος· ὑποκαταβὰς δὲ σκηπτούχους μόνον αὐτοὺς λέγει, ἐλλείψας τὸ βασιλεῖς· οὓς καὶ ἕπεσθαι ἡγουμένῳ Ἀλκινόῳ λέγει, ὡς ἐλάττονας μείζονι:

„Ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο
„Σκηπτοῦχοι . . . . . . . . .

Ὅτι δ' ȣ̓ μόνον τῇ βȣλῇ, ἀλλὰ καὶ τῇ δυνάμει Ἀλκίνοος αὐτῶν ἡγεῖτο, δῆλον ἐκ τȣ̃ προσεθέντος:

„ Μηδέ τις ἀρνείσθω.

Σκηπτροφορεῖν δ' ȣ̓ μόνοις τοῖς βασιλεῦσιν ἀνῆκεν, ἀλλὰ καὶ τοῖς δικάζειν τεταγμένοις ἐφεῖτο, ὡς ἐστὶ φανερὸν ἐκ τȣ̃ Ἀχιλλέως περὶ τȣ̃ ἰδίȣ σκήπτρȣ φάσκοντος: (Ἰλ: Α΄.)

„ Ναὶ μὰ τόδε σκῆπτρον. . . . . . .
„ . . . . . Νῦν αὖτέ μιν υἷες Ἀχαιῶν
„ Ἐν παλάμῃς φορέȣσι δικασπόλοι, οἵ τε θέμιστας
„ Πρὸς Διὸς εἰρύαται . . . . . . . . . . . .

Ἐν οἷς Εὐστάθιος: Ἔστι γὰρ τὸ σκῆπτρον (φησὶν) ȣ̓ μόνον βασιλείας, ἀλλὰ καὶ θέμιδος σύμβολον.

Τȣ́των βεβαιότερα περὶ τȣ̃ παρὰ τοῖς Φαίαξι κράτȣς, οἷον περ ἦν: καὶ περὶ τȣ̃ Κερκυραίων πολιτεύματος, Ἀριστοτέλης ἂν ἡμᾶς ἐδιδάξατο, εἰ περιῆν αὐτȣ̃ τὸ σύγγραμμα καθ' ἡμᾶς νῦν σωζόμενον, ἐν ᾧ τὰς Κερκυραϊκὰς διεπραγματεύσατο Ἀρχαιότητας.

## ΚΕΦΑ΄Λ. Ι΄.

Ἥτις ἂν ἄρα ποτὲ καὶ ἦν ἡ πάλαι Κερκυραίων πολιτικὴ διοίκησις, ἀλλὰ τὸ τȣ̀ς ἐν τῇ Νήσῳ ἡγεμονεύοντας, τῇ περὶ τȣ̀ς παρὰ σφίσιν ἐπιξενȣμένȣς φιλοφροσύνῃ διαφερόντως ἐπιθρυλληθῆναι ȣ̓κ ἄδηλον, ἔκ τε τῆς τῶν Ἀργοναυτῶν τὸ πρῶτον καταίρσεως, καὶ τῆς Ὀδυσσέως ἔπειτα καθορμίσεως, καὶ μὴν καὶ ἐκ τῆς Ῥαδαμάνθυος ἐκπομπῆς, περὶ ἧς Ἀλκίνοος διεξῆλθεν (Ὀδυσ: Η΄.)

„ . . . . . . Ὅτε τε ξανθὸν Ῥαδάμανθυν
„ Ἤγον ἐποψόμενον Τιτυὸν, γαιήϊον υἱόν.

Ἀποδείκνυται δὲ τὸ τῶν Φαιάκων φιλόξενον, καὶ ἐξ ὧν αὐτὸς Ἀλκίνοος προσέθετο ( Ὀδυσ: Η'. ) ὅτι καὶ οἱ Θεοὶ αὐτοῖς τοὺς τῶν ξένων ἐφικομένους ἀπεδήλουν:

„ Εἰ δ' ἄρα τις καὶ μοῦνος ἰὼν ξύμβληται ὁδίτης
„ Οὔ τι κατακρύπτουσι . . . . . . . . .

Καὶ ἐξ ὧν ( Ὀδυσ: Θ'. ) ἔφη: ὡς οὐδεὶς ξένος αἰτήσας ἀπέτυχε πομπῆς:

„ Οὐδὲ γὰρ οὐδέ τις ἄλλος, ὅτις κ' ἐμὰ δώμαθ' ἵκηται,
„ Ἐνθάδ' ὀδυρόμενος δηρὸν μένει, εἵνεκα πομπῆς.

Καὶ ἐξ ὧν ἔτι Ἀλκίνοος ἱλασκόμενος Ποσειδῶνα ἐποργισθέντα, πᾶσαν οὑτινοσοῦν πομπὴν τοῦ λοιποῦ παραιτεῖσθαι ἐντέλλεται Φαίαξιν: ( Ὀδυσ: Ν'. )

„ Πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
„ Ἡμέτερον προτὶ ἄστυ . . . . . . . . .

Σὺ γὰρ δὴ ἐπ' Ὀδυσσεῖ μόνῳ πομποὺς γενομένους αἰτιάσασθαι τοὺς Φαίακας ἔοικεν ὁ Ποσειδῶν, ὡς δῆλον ἐξ ὧν τὴν ἀπολίθωσιν τοῦ πλοίου ἐπιτάξας ἔφησεν:

„ . . . . . Ἵν' ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
„ Ἀνθρώπων . . . . . . . . . . .

Ἀλκίνοος δὲ ( αὐτόθι ), καὶ παλαιοτέρας ἐπεμνήσθη, περὶ τοῦ πράγματος, ἧς παρὰ τοῦ ἰδίου γεννήτορος ἀκηκοὼς ἦν χρησμῳδίας, ἐφ' ᾗπερ καὶ ποτνιᾶται:

„ Ὢ πόποι! ἦ μάλα δή με παλαίφατα θέσφαθ᾽ ἱκάνει,
„ Πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων᾽ ἀγάσασθαι
„ Ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονες εἰμὲν ἁπάντων.

Αὕτη ἡ Φαιάκων περὶ τοὺς ξένους τε καὶ ἀπόρους φιλανθρωπία ἐφύετο ἐκ τοῦ ἡγεῖσθαι αὐτοὺς, ὅτι οἱ Θεοὶ τῶν τοιούτων ἥκιστα ὀλιγωροῦσιν· ὅθεν καὶ ἡ Ναυσικάα ταῖς ἀμφιπόλοις ἔφασκεν (Ὀδυσ: Ζ'.) περὶ τοῦ Ὀδυσσέως λέγουσα:

„ Ἀλλ᾽ ὅδε τις δύστηνος ἀλώμενος, ἐνθάδ᾽ ἱκάνει,
„ Τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
„ Ξεῖνοί τε πτωχοί τε . . . . . . . . .

Προήρχετο δὲ καὶ ἀπὸ οἴκτου καὶ συμπαθείας, τῆς φύσει ἀνθρώποις ἐνεγειρομένης πρὸς τοὺς δεομένους, καὶ ἱκέτας προσπίπτοντας. Διὸ ἡ αὐτὴ μικρὸν ἀνωτέρω

„ Νῦν δ᾽ ἐπεὶ ἡμετέρην τε πόλιν, καὶ γαῖαν ἱκάνεις,
„ Οὔτ᾽ οὖν ἐσθῆτος δευήσεαι, οὔτε τευ ἄλλου
„ Ὧν ἐπέοιχ᾽ ἱκέτην ταλαπείριον ἀντιάσαντα.

Καὶ Ἀλκίνοος δὲ ὡσαύτως τὸ περὶ τὸν ξένον φιλόφρον τε καὶ φιλάγαθον ἐπισυνιστὰς (Ὀδυσ: Θ'.) παραινεῖ τοῖς γε νοῦν ἔχουσιν:

„ Ἀντὶ κασιγνήτου ξεῖνός θ᾽ ἱκέτης τε τέτυκται
„ Ἀνέρι, ὅς τ᾽ ὀλίγον περ ἐπιψαύει πραπίδεσσιν.

Ἀλλὰ γὰρ ὁ τηλικοῦτος τῆς φιλοξενίας ἔπαινος, τοῖς ἐν τῇ Νήσῳ πρωτεύουσιν, οὕκουν δὲ καὶ κοινῇ τῷ ἔθνει δίκαιος ἂν εἴη ἀποδιδόμενος. Ἀντιμαρτυρεῖ γὰρ ἡ παρ᾽ Ὁμήρῳ (Ὀδυσ: Η'.) Ἀθήνη, ἡ Ὀδυσσεῖ εἰς τὴν πόλιν πορευομένῳ θεσπεσίην ἀχλὺν ἐπικαταχέυσασα:

„Μή τις Φαιήκων μεγαθύμων ἀντιβολήσας
„Κερτομέοι τ' ἐπέεσσι, κ) ἐξερέοι θ' ὅτις εἴη.
Καὶ περὶ τῶν Ἀλκινόυ δὲ δόμων διερωτῶντι (αὐτ:) ἀπαντῶσα :
„ . . . . Ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω,
„Μηδέ τιν' ἀνθρώπων προτιόσσεο, μηδ' ἐρέειναι:
„Οὐ γὰρ ξείνυς οἵδε μάλ' ἀνθρώπυς ἀνέχονται,
„Οὐδ' ἀγαπαζόμενοι φιλέυσ', ὅς κ' ἄλλοθεν ἔλθοι.

Τὴν διαφορὰν δὲ ταύτην τὴν τῶν ἀριστευόντων μεταξὺ καὶ τῦ δήμυ, καλῶς οἱ σχολιογραφήσαντες παρεσημειώσαντο, Δίδυμός τε καὶ „Εὐστάθιος: ὧν ὁ μὲν, εἰς τὸ: Οὐ γὰρ ξείνυς, κτ: ὕτω φησίν: „Οὐ ξενίζυσι τὺς ἀνθρώπυς. Πῶς ὖν ἐν τοῖς ἑξῆς „φιλοξεινοτάτυς λέγει; ἤ, τὸν μὲν ναυτικὸν ὄχλον „τῶ ὄντι εἶναι ἀηδῆ, τὺς δὲ βασιλεῖς φιλοξένυς· „ἤ, ἴσως ἵνα φυλάξηται τινὸς πυθέσθαι· ἢ πρὸς „ἕτερον κατασχεθῆναι. Τὴν μὲν ὖν πρώτην τῶν ἑρμηνειῶν „Εὐστάθιος ἐγκρίνει, λέγων: τὸ δὲ ὐκ ἀνέχονται ξείνυς, „ὐδ' ἀγαπαζόμενοι φιλέυσι, περὶ τῦ κατὰ Φαίακας „Ναυτικῦ ὄχλυ λέγεται, ἤγυν τῦ δήμυ, ὡς καὶ „πρὸ ὀλίγων ἐῤῥέθη. Εἰ γὰρ καὶ ἀγχίθεοι γεγάασιν οἱ Φαίακες, ἀλλ' ὐ πάντων τῦτο ἐςὶ τὸ σεμνὸν, μόνυ δὲ τῦ βασιλικῦ γένυς.

Ἡ δέ τοι διαφορὰ Ἰεζεκιὴλ τῶ Σπαγχεμίω, ἢ δοκεῖ, ἠγνόηται. Ἐν γὰρ ταῖς αὐτῦ ἐπιςασίαις, ταῖς περὶ τὸν Καλλιμάχυ ὕμνον τὸν εἰς τὴν Δῆλον, ἀποβλητέαν ὅλως ἐπικελεύει τὴν λέξιν: κακοξεινοτάτη: ἥν τινες τῶν ἀπογράφων τῦ Ποιητῦ ἐκείνυ Κωδίκων σώζυσιν, ἀναγνωςέον δὲ ὅλως φιλοξεινοτάτη:

" . . . . . Κέρκυρα φιλοξεινωτάτη ἄλλων.

Ἀνθυποφέρει γοῦν Σπαγχέμιος ἑαυτῷ, τὸ ἀθετηθῆναι Κερκυραίοις τὴν περὶ τὸν υἱὸν τοῦ Περιάνδρου ξενίαν: κἀντεῦθεν, ἐπὶ τῷ τὸ ἐν Κορίνθῳ πατρῷον κράτος ἐπικαταχεῖν προσκληθέντα ὑπ' αὐτῶν ἀθέσμως ἀναιρεθῆναι: (περὶ οὗ Ἡρόδοτος Βιβλ: Γ'. Κεφ. κγ'.) Ἀλλ' Ὅμηρον πρὸ πάντων, καὶ τοὺς τούτου Σχολιαστὰς, ἀντεπαγαγεῖν Σπαγχέμης ἑαυτῷ ὤφειλεν, ἄλλως τούτους δοξάζοντας· ὡς οὐκ ἠγνόει ἀνὴρ ὢν τῷ ὄντι πολυμαθείᾳ μάλιστα διαφέρων, οἷον ἐν τοῖς αὐτῷ πεφιλοπονημένοις συγγράμμασι λαμπρῶς ἑαυτὸν ἐνέφηνε, κἀν ταῖς εἰς τοὺς Καλλιμάχου ὕμνους λοιπαῖς ἐπιστάσεσι, περὶ ὧν εἴρηται ἄνωτ:, καὶ ταῖς εἰς τὴν περὶ χρήσεώς τε καὶ ὠφελείας τῆς ἐκ τῶν παλαιῶν Νομισμάτων παρατηρήσεσι, ταῖς οἷα εἰκὸς ἐκθειαζομέναις, ὑπὸ τοῦ τὰ κατ' αὐτὸν βιογραφήσαντος. Τούτου ἀλλ' ἐγὼ τὴν ἀντεισαγωγὴν τῆς λέξεως (φιλοξεινωτάτη), οὔτι πάνυ μέμφομαι· κακίζω δὲ τὸ θαῤῥαλέον τε καὶ ἰταμὸν ἐπὶ τῆς ἄλλης (κακοξεινωτάτη:) ἥν περ ἀπὸ τῶν ἀπογράφων Κωδίκων ῥᾷθ' οὕτως ἀπεσκοράκισε. Μετριώτερον δήπου Ἄννα „συνέβαλλεν ἡ Δακερία, οὕτω γράψασα: Φιλοξεινωτάτη ἀναγι„νώσκεται, ᾗ δὴ καὶ κακοξεινωτάτη: ἀλλὰ τὴν δημοσιευ„θεῖσαν ἀνάγνωσιν ἑλοίμην ἂν αὐτὴ κατέχειν: Φιλοξεινωτάτη), ἣν δὴ δόξαν τῇ Νήσῳ προεμνηστεύσατο ἡ παρ„Ἀλκινόῳ τοῦ Ὀδυσσέως ἐπιξένωσις. Προσθεῖναι δ' εἶχεν, ὅτι καὶ ἡ τῶν Ἀργοναυτῶν ὁμοίως, καὶ ἄλλων.

Τὸν τῶν Φαιάκων Ναυτικὸν ὄχλον, οἷς τὸ ἄξεινον Ὅμηρός τε καὶ οἱ τούτου Σχολιασταὶ ἐπιμέμφονται, διὰ τὸ τῆς εὐπιστίας γνήσιόν τε καὶ ἄρωγον οἱ αὐτοὶ δι' ἐπαίνου ἄγουσιν: ὅτι προσορμισάμενοι τῇ Ἰθάκῃ: (Ὀδυσ: Ν'.)

„ Πρῶτον Ὀδυσσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν,
„ Αὐτῷ σύν τε λίνῳ, καὶ ῥήγεϊ σιγαλόεντι·
„ Κὰδ δ' ἄρ ἐπὶ ψαμάθῳ ἔθεσαν, δεδμημένον ὕπνῳ·
„ Ἐκ δὲ κτήματ' ἄειραν, ἅ οἱ Φαίηκες ἀγαυοὶ
„ Ὤπασαν οἴκαδ' ἰόντι, διὰ μεγάθυμον Ἀθήνην·
„ Καὶ τὰ μὲν οὖν παρὰ πυθμέν' ἐλαίης ἀθρόα θῆκαν
„ Ἐκτὸς ὁδοῦ, μήπου τις ὁδιτάων ἀνθρώπων,
„ Πρίν γ' Ὀδυσῆ' ἔγρεσθαι ἐπελθὼν δηλήσαιτο.

Ὅτι μὲν οὖν τῷ Ὀδυσσεῖ καθεύδοντι, τὰ παρ' Ἀλκινόου καὶ τῶν ἄλλων Φαιάκων δεδωρημένα οἱ Ναῦται ἀδηλήτως παρακατέθεσαν, τῆς αὐτῶν πιστωσύνης τοῦτο μαρτύριον· ὅτι δ' οἱ αὐτοὶ οὐδὲ φιλοκερδείας ἥττονες ὑπῆρχον, αἱ Διδύμου τε καὶ Εὐσταθίου διερμηνεύσεις δεικνύουσι· τὸ αἴτιον ζητούντων, τί δήποτε τὸν Ὀδυσσέα ἐπὶ τῆς ψάμμου κατα„θέντες οἱ ναῦται, οὐχὶ πρότερον αὐτὸν διαφύπνισαν; Οὐ διανίστα„σαν, φησὶ Δίδυμος, παρὰ τὸ μὴ δοκεῖν χάριν τῆς „παραπομπῆς ἀπαιτεῖν. Αὐτὸ δὲ τοῦτο καὶ Εὐσάθιος παρασημειοῦται πρὸς τοῖς ἄλλοις, οἷσπερ ὡς λόγους τοῦ προβαλλομένου ἐπάγουσιν.

Ἀριστοτέλης δὲ, (ἐν τοῖς περὶ Ποιητ:) τὰ περὶ τῆς Ὀδυσσέως ἐπὶ τῆς Ἰθάκης ἐκθέσεως ταύτης ἀναφέρων: Τὰ ἐν Ὀδυσσείᾳ, φη„σὶν, ἄλογα τὰ περὶ τὴν ἔκθεσιν, ὡς οὐκ ἂν ἦν ἀνεκ„τὰ, εἰ αὐτὰ φαῦλος Ποιητὴς ποιήσει· νῦν δὲ τοῖς ἄλ„λοις ἀγαθοῖς ὁ Ποιητὴς ἀφανίζει ἡδύνων τὸ ἄτο„πον: Μέτιθι περὶ τούτου Πέτρον Οὐικτόριον ἐν τῷ αὐτοῦ ὑπομνήματι.



ΔΗΜΟΚΡΑ... ΒΑΛΤΣΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

## ΚΕΦΑ΄Λ. ΙΑ΄.

Τερατώδη τινὰ, καὶ ἅπασαν μικρῦ ὑπερβαίνεσαν πίςιν, τὴν Φαιάκων περὶ τὰ Ναυτικὰ ἐμπειρίαν ἡ Ποίησις ἐπιμαρτυρεῖ.

Τὸ τῆς πόλεως εἶδος τῷ Ὀδυσσεῖ Ναυσικάα διατυπῦσα (Ὀδυσ: Ζ΄.) ἐπιφέρει:

„Οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς, ὐδὲ φαρέτρη·
„Α'λλ' ἱςοὶ, καὶ ἐρετμὰ νεῶν, καὶ νῆες ἐίσαι,
„Ἧσιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν.

Α'θήνη δὲ τῷ Ὀδυσσεῖ παραινῦσα, ἐν ᾧ ἂν πρὸς δόμον τὸν Α'λκινόυ πορεύοιτο, μηδενὸς τῶν καθ' ὁδὸν διαπυθέσθαι, αὐτίκα προςίθησιν (Ὀδυσ: Η΄.)

„Νηυσὶ θοῇσιν τοίγε πεποιθότες ὠκείῃσι,
„Λαῖτμα μέγ' ἐκπερόωσιν, ἐπεὶ σφίσι δῶκ' Ἐνοσίχθων
„Τῶν νέες ὠκεῖαι, ὡσεὶ πτερὸν, ἠὲ νόημα.

Τῷ δ' Ὀδυσσεῖ αὐτὰ Α'λκίνοος ἀσφαλῆ καὶ βεβαίαν τὴν παρακομπὴν ὑπισχνεῖτο τὴν ἐπὶ τῆς ἰδίας αὐτῦ, κἂν εἰ προελθεῖν δέοι Εὐβοίας ἐπέκεινα. Οἱ γὰρ Φαιάκων Ναυτῖλλοι, καὶ Ῥαδάμανθυν, φησὶ, μετεκόμισαν. (Ὀδυσ: Η΄.)

„Καὶ μὲν οἱ ἔνθ' ἦλθον, καὶ ατερ καμάτοιο τέλεσσαν
„Ἤματι τῷ αὐτῷ, καὶ ἀπήγαγον οἶκον ὀπίσσω.

Ἔνθα Εὐςάθιος, Σημείωσαι (φησὶν) εἴτε ἄντικρυ τῆς „ἰδίως ὅτω καλυμένης Ἠπείρυ, κατὰ τὴν ἰσο„ρίαν ἡ Νῆσος τῶν Φαιάκων ᾤκιςαι, εἴτε καὶ πυ„ποῤῥωτάτω ἐν ἀπανθρώπῳ τόπῳ, καθὰ φαίνεται

„δοκεῖν Ὁμήρῳ, ὑπερβολικὸς ὁ ἐνταῦθα λόγος.
„Προςίθησι δ' οὖν: ἔςαι δ' ὅμως ἡ τοῦ τοιούτου πλοῦ ἱςο-
„ρία δυνατὴ, εἰ τὸ τάχος τῶν Φαιακικῶν νηῶν, εἴη
ὡσεὶ πτερὸν, ἠὲ νόημα.

Καί τοι γε πολλῷ Ἰθάκη Κερκύρας κεῖται ἀπωτέρω ἢ Εὐβοια· ἀλλ' ἔτι οὐ πάνυ πιςὸν τὸ Φαίακας ἐν νυκτὶ μιᾷ ἀπὸ Κερκύρας εἰς Ἰθάκην περαιωθῆναι. Ὡς γὰρ (Ὀδυσ: Ν'. (ἡλίου δύοντος ἐκ Κερκύρας ἔλυσαν.

„Εὖτ' ἀςὴρ ὑπερέσχε Φαάντατος, ὅς τε μάλιςα
„Ἔρχεται ἀγγέλλων Φάος ἠοῦς Ἠριγενείης,
„Τῆμος δὴ νήσῳ προσεπίλνατο ποντοπόρος νηῦς.

Τοῦτὶ δὴ, φημὶ, ἥκιςα πιςευτέον: ἀλλ' ὃ φησὶν Εὐςάθιος, τὸ πάνυ πολὺ τάχος τῶν Φαιακικῶν νηῶν, εὐπαράδεκτόν πως τὸν λόγον ποιεῖ, καθ' ὃν δηλονότι πτηνοῦ τάχιον ἡ ναῦς τὸν πλοῦν πεποίηται.

„. . . . . . . Οὐδέ κεν Ἴρηξ
„Κίρκος ὁμαρτήσειε ἐλαφρότατος πετεεινῶν.

Ἀλλ' οὐδὲν οὕτω πίςιν ἅπασαν ἐςὶν ὑπερπεπτηὸς, ὡς τὸ ὑπὸ Ἀλκινόου τῷ Ὀδυσσεῖ ῥηθὲν: (Ὀδ: Θ'.)

„Εἰπὲ δέ μοι γαῖαν τε τεὴν, δῆμον τε, πόλιν τε·
„Ὄφρα σε τῇ πέμπωσι τιτυσκόμεναι φρεσὶ νῆες.
„Οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασσιν,
„Οὐδέ τι πηδάλι' ἐςὶ, τά τ' ἄλλαι νῆες ἔχουσιν·
„Ἀλλ' αὐταὶ ἴσασι νοήματα καὶ φρένας ἀνδρῶν,
„Καὶ πάντων ἴσασι πόληας, καὶ πίονας ἀγροὺς

„ Ἀνθρώπων, καὶ λαῖτμα τάχισθ' ἁλὸς ἐκπερόωσιν
„ Ἠέρι καὶ νεφέλῃ κεκαλυμμέναι. Οὐδὲ ποτέ σφιν
„ Οὔ τέ τι πημανθῆναι ἔπι δέος, οὐδ' ἀπολέσθαι.

Ἔνθα δὴ Εὐστάθιος, ἐντεῦθεν (φησὶν) οἱ μεταγενέστε-
„ροι ἐπὶ πλέον ἄλλοθι τερατείας τερπόμενοι, φω-
„νήεσσαν τῇ Ἀργοῖ τὴν τρόπιν, ὡς ἐκ τῆς Δωδωναίας
„δρυὸς, προσπλάττουσιν· ὃ δὴ καὶ μόνον ταῖς Φαια-
„κικαῖς ναυσὶν ἐνέλιπεν. Οἱ μέν τοι γε τὸν τὰ Ὀρφέος Ἀργοναυτικὰ συγγράψαντα τοῦ Ὁμήρου κρίνοντες ἀρχαιότερον, οὐδαμῶς παραδέξονται τὸ ὑπὸ Εὐσταθίου ῥηθέν: ἤγουν τὸ τοὺς μεταγενεστέρους τὴν τῆς Ἀργοῦς τρόπιν προσπλάσαι φωνήεσσαν. Ἐν γὰρ τοῖς Ἀργοναυτικοῖς ἐκείνοις: ὅτι Ἔυλαλος Ἀργὼ, καὶ λάλον τρόπιν ἀναγινώσκομεν.

Ἐπὶ πᾶσι, τὸ διαφερόντως περὶ τὴν Ναυτιλλίαν σπουδάσαι τοὺς Φαίακας, καὶ τὰ ἐπίθετα δείκνυσιν ἐκεῖνα: Δολιχόρετμοι, Ναυσίκλυτοι, Φιλήρετμοι, οἷς ὑπὸ Ὁμήρου πυκνῶς καλλύνονται. Παρὰ δὲ ταῦτα, καὶ τὰ τῶν ἀνδρῶν ἐπώνυμα, καθόπερ Εὐστάθιος παρετήρησεν: (Ὀδυσ: Θ'.) ὅτι τὰ πλείω τῶν κατὰ τοὺς φαίακας ἀνομάτων Ναυτικά.

## ΚΕΦΑΛ. ΙΒ'.

Παρὰ τὴν περὶ τὸν πλοῦν ἐμπειρίαν, καὶ τὴν ἐν παντοίοις γυμνασμάτων εἴδεσι δεξιότητα τοῖς αὐτοῦ Φαίαξιν ἀπονέμει Ἀλκίνοος (Ὀδυσ: Θ'.) ὡς δῆλον, ἐξ ὧν ἄθλων, χάριν Ὀδυσσέως προέθηκε ::

„ Νῦν δ' ἐξέλθωμεν, καὶ ἀέθλων πειρηθῶμεν
„ Πάντων, ὥς χ' ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν,
„ Οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ' ἄλλων
„ Πύξ τε, παλαισμοσύνῃ τε, καὶ ἅλμασιν, ἠδὲ πόδεσσιν.

Αὐτίκα ἓν τῶν ἀκμαιοτέρων νεάνων ἑσμὸς ἐπὶ τῆς ἀγορᾶς συνέδραμεν· ἐν οἷς:

„ Ἀν δ' ἔσαν τρεῖς παῖδες ἀμύμονος Ἀλκινόοιο
„ Λαοδάμας θ', Ἅλιός τε, καὶ ἀντίθεος Κλυτόνηος.

Ἀρχὴ δὲ τῶν ἀγώνων ὁ δρόμος ἐτέθη:

„ Οἳ δή τοι πρῶτον μὲν ἐπειρήσαντο πόδεσσι·
„ Τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· οἱ δ' ἄρα πάντες,
„ Καρπαλίμως ἐπέτοντο κονίοντες πεδίοιο·
„ Τῶν δὲ θέων ὄχ' ἄριστος ἔην Κλυτόνηος ἀμύμων.

Εἶτα εἰς Πάλην ἦλθον, εἰς Ἅλμα, εἰς Δίσκον, εἰς Πυγμήν:

„ Οἱ δὲ παλαισμοσύνης ἀλεγεινῆς πειρήσαντο.
„ Τῇ δ' αὖτ' Εὐρύαλος ἀπεκαίνυτο πάντας ἀρίστους·
„ Ἅλματι δ' Ἀμφίαλος πάντων προφερέστερος ἦεν·
„ Δίσκῳ δ' αὖ πάντων προφερέστατος ἦεν Ἐλατρεύς·
„ Πὺξ δ' αὖ Λαοδάμας, ἀγαθὸς παῖς Ἀλκινόοιο.

Τῶνδε δὲ τελεσθέντων, ἐπιστραφεὶς Λαοδάμας ὁ τοῦ Ἀλκινόου πρὸς Ὀδυσσέα ἔφη:

„ Δεῦρ' ἄγε καὶ σὺ ξεῖνε πάτερ, πείρησαι ἀέθλων,
„ Εἴ τινά πȣ δεδάηκας· ἔοικε δέ σ' ἴδμεν ἀέθλȣς·
„ Οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ἦσιν,
„ Ἢ ὅ, τι ποσσίν τε ῥέξῃ, καὶ χερσὶν ἑῇσι.

Ὀδυσσεὺς δὲ παρὰ χρῆμα λίθον ἄρας μείζονα τȣ̃τον, ᾧ παίζοντες εἰώθεσαν Φαίακες χρῆσθαι, καὶ βαλὼν ὡς πορρωτάτω, ȣ̓δενὸς δεύτερον ἐπὶ τᾶδε ἑαυτὸν ἀπέφηνε τῷ ἀγωνίσματι· καὶ ἅμα προσέθετο ἑτοίμως ἔχειν, εἴτις Φαιάκων ἐθελήσειεν, ἤτοι Δίσκῳ, ἢ Πάλῃ ἢ δρόμῳ, ἢ τόξῳ, ἢ ἀκοντίῳ παραβαλέσθαι. Πρὸς ὃν Ἀλκίνοος:

„ Οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες, ȣ̓δὲ παλαισταί·
„ Ἀλλὰ ποσὶ κραιπνῶς θέομεν, καὶ νηυσὶν ἄριστοι.

Εἶτα πρὸς Φαίακας τȣ̀ς οἰκείȣς:

„ Ἀλλ' ἄγε Φαιήκων βητάρμονες, ὅσσοι ἄριστοι
„ Παίσατε, ὥς χ' ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν
„ Οἴκαδε νοστήσας, ὅσσον περιγινόμεθ' ἄλλων
„ Ναυτιλίῃ, καὶ ποσσὶ, καὶ ὀρχηστυῖ, καὶ ἀοιδῇ.

Οἱ δὲ τῇ Ἀλκινόȣ πείθονται κελεύσει:

„ Αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν
„ Δήμιοι, οἳ κατ' ἀγῶνας ἐϋπρήσσεσκον ἕκαστα·
„ Λείηναν δὲ χορὸν, καλὸν δ' εὔρυναν ἀγῶνα.

Ἐν δὲ δὴ τȣ́τοις Δημοδόκος ὁ ἀοιδὸς τὴν κιθάραν ἔχων ἐς μέσον ȣ̓νέθορεν.

„ . . . . . . Ἀμφὶ δὲ κῦροι
„ Πρωθῆβαι ἵςαντο δαήμονες ὀρχηθμοῖο
„ Πέπληγον δὲ χορὸν θεῖον ποσὶν· αὐτὰρ Ὀδυσσεὺς
„ Μαρμαρυγὰς θηεῖτο ποδῶν· θαύμαζε δὲ θυμῷ.

Ὑπὲρ δὲ τοὺς λοιποὺς, Ἅλιός τε καὶ Λαοδάμας οἱ τοῦ Ἀλκινόου ὑπερεῖχον. Ἔνθεντοι ὁ γεννήτωρ:

„ . . . . . . . κέλευσεν
„ Μουνὰξ ὀρχήσασθαι, ἐπεὶ σφίσιν οὔτις ἔριζεν·
„ Οἱ δ᾽ ἐπεὶ οὖν σφαίραν καλὴν μετὰ χερσὶν ἕλοντο
„ Πορφυρέην, τήν σφιν πόλυβος ποίησε δαΐφρων,
„ Τὴν ἕτερος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα
„ Ἰδνωθεὶς ὀπίσω· ὁ δ᾽ ἀπό χθονὸς ὑψόσ᾽ ἀερθεὶς
„ Ῥηϊδίως μεθέλεσκε, πάρος ποσὶν οὖδας ἱκέσθαι.
„ Αὐτὰρ ἐπειδὴ σφαίρην ἀν᾽ ἰθὺν πειρήσαντο,
„ Ὠρχείσθην δὴ ἔπειτα ποτὶ χθονὶ πουλυβοτείρῃ
„ Ταρφέ᾽ ἀμειβομένω, κοῦροι δ᾽ ἐπελήκεον ἄλλοι
„ Ἑςαότες καὶ ἀγῶνα, πολὺς δ᾽ ὑπὸ κόμπος ὀρώρει.

Τηνικαῦτα δ᾽ Ὀδυσσεὺς πρὸς Ἀλκίνοον:

„ Ἀλκίνοε κρείων, πάντων ἀριδείκετε λαῶν
„ Ἠ μὲν ἀπείλησας, βητάρμονας εἶναι ἀρίςους,
„ Ἠ δ᾽ ἄρ ἑτοῖμα τέτυκτο· σέβας μ᾽ ἔχει εἰσορόωντα.

Τῷ ὄντι δὲ τὰς τοιαύτας ὀρχήσεις τε καὶ χορείας ἐν δόξῃ ἐ τῇ τυχέσῃ γεγονέναι τοῖς πάλαι, διδάσκει Α'θήναιος: (Βιβλ: ΙΔ'. Κεφ: „ϛ') Ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς „χοροῖς, εὔσχημον τότε καὶ μεγαλοπρεπὲς, καὶ „ὡσανεὶ τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἀπομιμέμενον. Ὅθεν καὶ Σωκράτης ἐν τοῖς ποιήμασι τὲς κάλλιστα χορεύοντας ἀρίστες φησὶν εἶναι τὰ πολέμια, λέγων ἕτως:

„Οἳ δὲ Θεὲς κάλλιστα χοροῖς τιμῶσιν ἄριστοι
„Ἐν πολέμῳ. . . . . . . . . . . . . .

Σχεδὸν γὰρ ὥσπερ ἐξοπλισία τις ἦν ἡ χορεία, καὶ ἐπίδειξις ἐ μόνον τῆς λοιπῆς εὐταξίας, ἀλλὰ καὶ τῆς τῶν σωμάτων ἐπιμελείας.

Ὁ δ' αὐτὸς Α'θήναιος (Βιβλ: Α'. Κεφ: ΙΓ'.) τῆς Φαιάκων „ὀρχήσεος μνησθεὶς: Οἱ Φαίακες (φησὶ) παρ' Ὁμήρῳ καὶ „ἄνευ σφαίρας, καὶ μετὰ σφαίρας ὠρχἕντο· „καὶ ὀρχἕνται που ἀνὰ μέρος πυκνῶς· τἕτο „γάρ ἐστι τό: ταρφέ' ἀμειβόμενοι, ἄλλων ἐφεστώτων, „καὶ ἐπικροτέντων τοῖς λιχανοῖς δακτύλοις· ὅ φησὶ ληκεῖν.

Τῆς μὲν ἕν φερομένης ἀναγνώσεως τἕ Α'θηναίε ἁπλῶς ἐχέσης: Οἱ Φαίακες δὲ παρ' Ὁμήρῳ καὶ ἄνευ σφαίρας ὠρχἕντο: Ἰσαὰκ ὁ Κασαέβονος, ἐν ταῖς αὐτἕ παρασημειώσεσιν αὐτόθι, τὸ χωρίον ἐπανορθέμενος, προσθεῖναι δεῖν ἡγήσατο τὸ ἐλλεῖπον, καὶ ἀναγνωστέον εἶναι ἑκάτερον: Καὶ ἄνευ σφαίρας, καὶ μετὰ σφαίρας ὠρχἕντο. Ὡσαύτως δ' ὁ αὐτὸς αὐτόθι Κασαέβονος, μὴ συνορᾶν ἔχειν φησί: τί ὅτι τῷ Α'θηναίῳ τὸ ληκεῖν, ἀντὶ τἕ κροτεῖν τοῖς

λιχανοῖς εἴληπται δακτύλοις; ὁπότε Δίδυμος, τὸ παρ' Ο'μήρῳ ἐπελήκεον ἑρμηνεύων, ἔγραφεν: ἐπεβοῶντο, ἐπεκρότεν τοῖς ποσίν;

## ΚΕΦΑ'Λ. ΙΓ'.

Πρὸς τοῖς ἄλλοις καὶ τὰ κατὰ Μεσικὴν ἀγῶνος ἀριθμηθέντος, ἐν οἷς τὲς Φαίακας διαπρέπειν Α'λκίνοος προλαβὼν ἔφη, Δημοδόκον ἐκέλευσε τὸν ἀοιδὸν προσκληθῆναι (Ο'δυσ: Θ'.)

„ . . . . Καλέσασθε δὲ θεῖον ἀοιδὸν,
„ Δημοδόκον· τῷ γάρ ῥα Θεὸς πέρι δῶκεν ἀοιδὴν
„ Τερπνὴν, ὅππῃ θυμὸς ἐποτρύνησιν ἀείδειν.

Καὶ δὴ κατάγε τὸ κελευθέν:

„ Κήρυξ ἐγγύθεν ἦλθεν, ἄγων ἐρίηρον ἀοιδὸν
„ Τὸν πέρι Μεσ' ἐφίλησε, δίδε δ' ἀγαθόν τε, κακόν τε·
„ Ο'φθαλμῶν μὲν ἄμερσε, δίδε δ' ἡδεῖαν ἀοιδήν.
„ Τῷ δ' ἄρα Ποντόνοος θῆκε θρόνον ἀργυρόηλον
„ Μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας·
„ Καδδ' ἐκ πασσαλόφιν κρέμασεν φόρμιγγα λιγεῖαν
„ Α'υτε ὑπὲρ κεφαλῆς, καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι·
„ Κήρυξ παρ δ' ἐτίθει κάνεον, καλήν τε τράπεζαν,
„ Παρ δὲ δέπας οἴνοιο, πιεῖν ὅτε θυμὸς ἀνώγοι.

Τῆς δ' εὐωχίας πέρας ἐχέσης,

„ Μȣ̃σ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν
„ Οἴμης, τῆς τότ' ἄρα κλέος ȣ̓ρανὸν εὐρὺν ἵκανε,
„ Νεῖκος Ὀδυσσῆος, καὶ Πηλεΐδεω Ἀχιλῆος.

Αὖθις δὲ μετὰ τὴν ὄρχησιν ὁ Δημοδόκος

„ . . . . Ἀνεβάλλετο καλὸν ἀείδειν
„ Ἀμφ' Ἄρεος φιλότητος, ἐϋςεφάνȣ τ' Ἀφροδίτης,
„ Ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίςοιο δόμοισι.

Εὐωχίας δὲ καινῆς παρατεθείσης, παρῆν ὁμοίως μέσον τῶν δαιτυμόνων Δημοδόκος, ȣ̃ τὴν περὶ τὸ ᾄδειν ἐμπειρίαν Ὀδυσσεὺς παρὰ τȣ̀ς Φαίακας σφόδρα ἠγάσατο:

„ Κῆρυξ, τῆ δὴ τȣ̃το πόρε κρέας, ὄφρα φάγησι
„ Δημοδόκῳ, καί μιν προσπτύξομαι ἀχνύμενός περ.
„ Πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ
„ Τιμῆς ἔμμοροι εἰσὶ καὶ αἰδȣ̃ς, ȣ̃νεκ' ἄρα σφέας
„ Οἴμας Μȣ̃σ' ἐδίδαξε· φίλησε δὲ φῦλον ἀοιδῶν.

Εἶτα δὲ Δημοδόκον αὐτὸν προσφθεγξάμενος:

„ Δημοδόκ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων·
„ Ἤ σέ γε Μȣ̃σ' ἐδίδαξε Διὸς παῖς, ἢ σέγ' Ἀπόλλων·
„ Λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις.

Ἔπειτα:

„ Ἀλλ' ἄγε δὴ μετάβηθι, καὶ ἵππȣ κόσμον ἄεισον
„ Δȣρατέȣ, τὸν Ἐπειὸς ἐποίησε σὺν Ἀθήνῃ.
„ Ὅν ποτ' ἐς ἀκρόπολιν, δόλον, ἤγαγε δῖος Ὀδυσσεὺς

„ Ἀνδρῶν ἐμπλήσας, οἳ Ἴλιον ἐξαλάπαξαν.
„ Αἴκεν δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς,
„ Αὐτίκ' ἐγὼ πᾶσιν μυθήσομαι ἀνθρώποισιν
„ Ὥς ἄρα τοι πρόφρων Θεὸς ὤπασε θέσπιν ἀοιδήν.

Εἶξε δὴ Δημοδόκος: Ὀδυσσεὺς δὲ μεταξὺ τοῦτο ᾄδοντος, καθὰ καὶ πρὶν, ὅτε τὸ μεταξὺ Ὀδυσσέως τε καὶ Ἀχιλλέως διεμέλπετο νεῖκος, δάκρυσι τὰς παρειὰς περιέῤῥει. Ὅπερ Ἀλκίνοος παρατηρήσας, παύσασθαι τῆς ᾠδῆς ἐπεκέλευσε Δημοδόκῳ.

Ἐπὶ δ' ἄρα τοῦ τελευταίου εὐωχήματος, τῆς νηὸς ἤδη Ὀδυσσέως ἐπιβησομένου, μολπὴν αὖθις ἀναγινώσκομεν Δημοδόκον ἀναβαλέσθαι: (Ὀδυσ: Ν'.)

„ . . . . μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
„ Δημοδόκος, λαοῖσι τετιμένος . . . . . . .

Ταῦτα περὶ Δημοδόκου ἐκ τῶν Ὁμήρου, ὧν καὶ Πλούταρχος μέμνηται ἐν τῷ περὶ Μουσικῆς κατ' ἀρχὰς τοῦ Βιβλίου, ἐκ τῆς Ἡρακλείδου „ συναγωγῆς τῶν ἐν Μουσικῇ ἀναλέξας: Γεγονέναι „ γὰρ διέξεισι καὶ Δημοδόκον Κερκυραῖον παλαιὸν „ Μουσικὸν ὃν πεποιηκέναι Ἰλίου τε πόρθησιν, καὶ „ Ἀφροδίτης καὶ Ἡφαίστου γάμον. Μᾶλλον δὲ δήπου: Φιλότητα Ἄρεος, καὶ Ἀφροδίτης εὐστεφάνου: καθ' Ὅμηρον εἰπεῖν.

Κέρκυραν δ' ὑπάρξαι τὴν Δημοδόκου πατρίδα, παραπλησίως τῷ Πλουτάρχῳ καὶ ὁ Κέκης φησὶν, ἐν τοῖς εἰς τὸν Λυκόφρονα προλεγομένοις, ὡς ἐκ Δημητρίου τοῦ Φαληρέως· τοὺς γὰρ ἐπὶ Μουσικοῖς „ ὀργάνοις ἔπη προσᾴδοντας ἀναφέρων: Οἷοι περ ἦσαν, (φησὶ) „ Ποιηταὶ, ὡς ὁ Φαληρεὺς Δημήτριος γράφει: „ Αὐτομέδης, καὶ Δημόδοκος, καὶ Χαίρις, οἱ Κερκυ-

„ϱαῖοι, καὶ ὁ Ἰθάκιος Φήμιος, καὶ οἱ λοιποὶ, ὃς ὁ „Φαληϱεὺς Δημήτϱιος γϱάφει. Οὐδὲ γὰϱ αὐτὸς „ἀγνοῶ. Ἀλλὰ γὰϱ τὸν Δημοδόκον Λακεδαιμόνιον εἶναι, Εὐστάθιος ἀποφαίνεται, (Ὀδυσ: ἐν τῷ Γ'.) τὸν αὐτὸν Φαληϱέα Δημήτϱιον μάϱτυϱα πϱοκαλέμενος. Πεϱὶ δὲ τοῦ Δημοδόκου, Ἰωάνν: Ἄλβεϱτος ὁ Φαβϱίκιος (ἐν τῇ αὐτοῦ Ἑλλην: Βιβλιοθ: Βιβλ: Α'. Κεφ: Α'., καὶ ἐν Κεφ: δὲ Γ'. τοῦ αὐτοῦ Βιβλ: πεϱὶ τὸ τέλος αὖθις μεμνημένος:) οὐ φησὶ τὸν Κέκην ἀνεγνωκέναι Αὐτομέδην, ἀλλ' οὐδὲ Δημοδόκον, καὶ Χαῖϱιν Κεϱκυϱαῖον, ἢ Φήμιον Ἴθακον: Ἀναγινώσκει δὲ αὐτὸς ἐν τοῖς Κέκου, ὥσπεϱ ὁ Κέκης οὐ γέγϱαφεν· ἐξείληφέ τε (ὡς ἔγ' ᾦμαι) τὸ ἀγνοῶ, ὃ σημαίνει τὸ οὐκ οἶδα: ἀντὶ τοῦ ἀναγινώσκω· ὃ δηλοῖ τό: τὰ γεγϱαμμένα ἐν Βιβλίῳ διέϱχομαι.

Παϱαπλησίως Ἰωάνν: Μεοῦϱσιος ἐν τῇ Ἑλλην: Βιβλιοθ: τὰς Δημοδόκου ποιήσεις καταλέγων: Γλίου τε πόϱθησιν, καὶ Ἡφαίστου καὶ Ἀφϱοδίτης γάμον ἀναφέϱων, συνᾴδει Πλουτάϱχῳ τε καὶ Ἡϱακλείδῃ, ἀλλ' Ὁμήϱου λανθάνων διαπεφώνηκε, καθ' ὅ, τι ἀνήκει τῷ δευτέϱῳ ποιήματι· ὅ, τι δὲ τῷ πϱώτῳ ἀνήκει, οὕτως Ἡφαίστου Πτολεμαῖος ἔχει παϱὰ Φωτίῳ. (Βιβλιοθ: ἐν Κώδικ: Ἑκατοστῷ ἐννε„νηκοστῷ) Ὀδυσσεὺς ἐν Τυϱϱηνίᾳ ἠγωνίσατο Αὐλη„τικὴν, καὶ ἐνίκησεν. Ἤλισε δὲ Δημοδόκου ποίη„μα, Ἰλίου ἅλωσιν. Παυσανίας δὲ (ἐν τοῖς Λακωνικοῖς·) τὸν „Ἀμυκλαίου κλιντῆϱα (ἢ δίφϱον) πεϱιγϱάφων: καὶ Φαιάκων „(φησὶ) χοϱὸς ἐστὶν ἐπὶ τῷ θϱόνῳ, καὶ ᾄδων ὁ Δη„μοδόκος.

Ἐπὶ τῆς παλαιᾶς τε καὶ πολυκϱότου διαμφισβητήσεως, τῆς: πότεϱον πϱὸ Ὁμήϱου Ποιηταὶ ὑπῆϱξαν: τὰ Δημοδόκου τε καὶ Φημίου ἔπη, τὸν Κικέϱωνα εἰς κατάφασιν εἵλξαν: Οὐ χϱὴ ἐν„δοιάζειν (φάσκοντα) ἐν τῷ Βϱούτῳ), εἰ καὶ πϱὸ τοῦ

„Ὁμήρου Ποιηταί τινες ἐτύγχανον γεγονότες; ἃ „ξυνορᾶν πάρεστιν ἐξ ὧν παρ᾽ αὐτῷ ἐν ταῖς τῶν „Φαιάκων καὶ τῶν Μνηστήρων εὐωχίαις λεγομένων „ἀκούομεν. Ἀλλὰ μήποτε τὰ τοιαῦτα ἔπη ὑπὸ Ὁμήρου ποιητικώτερον πέπλασται, οἷα δήπου καὶ τὰ πλεῖστα τῶν ἐν ταῖς μάχαις ἀριστευσάντων ἀνδραγαθήματα; οὕτω γὰρ καὶ Λέων ὑπειληφὼς ἦν ὁ Ἀλλάτιος, (ἐν τῷ περὶ τῆς Ὁμήρου: Πατρίδ: Κεφ: Δ'.) Καὶ γάρ τοι καὶ Σέξτος ὁ Ἐμπειρικὸς (ἐν Α'. τῶν κατὰ τῶν Μαθηματ:) ἔφη: „Ποίημα οὐδὲν πρεσβύτερον ἧκεν εἰς ἡμᾶς τῆς „Ὁμήρου ποιήσεως. Γενέσθαι μέντοι γε καὶ πρὸ αὐτοῦ Ὁμήρου, καὶ ἐπ᾽ ἐκείνου ὁ αὐτὸς Συγγραφεὺς πιθανὸν ἡγεῖται, ἐξ αὐτῶν Ὁμηρικῶν ποιημάτων· καὶ τόδ᾽ ἐπάγει ἐκ τοῦ ἐν Ὀδυσ: Α'.

„Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ᾽ ἄνθρωποι,
„Ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.

Περὶ δὴ τούτου τοῦ ζητήματος πολλοὶ ἐπραγματεύσαντο, καὶ πρό γε τῶν ἄλλων Λέων ὁ Ἀλλάτιος ἐν τῷ ῥηθέντι συγγράμματι: ἔνθα καὶ τὴν Βελλείου τοῦ Πατέρκλου περιπτύσσεται κρίσιν: Clarissimum (Βελλέιος ἔφη Βιβλ: Α'.) deinde Homeri illuxit ingenium fine exemplo maximum; qui magnitudine operum, et fulgore carminum, solus appellari Poëta meruit: in quo hoc maximum est, quod neque ante illum, quem ille imitaretur, neque post illum, qui eum imitari posset, inventus est: neque quemqam alium, cujus operis primus author fuerit, in eo perfectissimum, præter Homerum, et Archilochum, reperiemus. Τουτέστι: Περιαυγεστάτη ἐφεξῆς ἡ Ὁμήρου ἐπέλαμψεν εὐφυία, ἀπαραβλήτως „μεγίστη, ὅστις διά τε τὸ μεγαλεῖον τῶν πεποιημένων „καὶ τὴν τῶν ἐπῶν αἴγλην, μόνος ἀνεφάνη Ποιητὴς

„ ὀνομάζεσθαι δίκαιος· ἐν ᾧ τουτὶ δὴ τὸ μέγιστόν ἐστιν,
„ ὅτι οὔτε δὴ πρὸ αὐτοῦ τις, ὃν ἂν αὐτὸς ἐκμιμηθείη,
„ οὔτε δὴ μετ' αὐτὸν, ὃς ἂν τοῦτον ἀπομιμήσασθαι δύ-
„ ναιτο, ἀνεφάνη. Οὐδὲ γὰρ ἂν ἕτερόν τινα εὕροι-
„ μεν, τὸν πρῶτον, καθ' ἑαυτό τι τελεώτατον, ἐκ-
„ πεπονηκότα, παρεκτὸς Ὁμήρου καὶ Ἀρχιλόχου.

## ΚΕΦΑ'Λ. ΙΔ'.

Ἡ περὶ τὴν Ἀφροδίτης καὶ Ἄρεος μίξιν ἀοιδὴ Δημοδόκου, καὶ περὶ τῆς Φαιάκων τρυφῆς (ἥτις εἰς παροιμίαν προεξηνέχθη) διελθεῖν τι ἡμᾶς
„ ἐνάγει. Ἐπεὶ κατὰ τὸν Ἀθήναιον, (ἐν Βιβλ: Α'. Κεφ: ΙΒ'.) Ὁ
„ παρὰ Φαίαξι Δημοδόκος, ᾄδει Ἄρεος καὶ Ἀφροδίτης
„ συνουσίαν, οὐ διὰ τὸ ἀποδέχεσθαι τὸ τοιοῦτον πάθος,
„ ἀλλ' ἀποτρέπων αὐτοὺς παρανόμων ὀρέξεων, εἰδὼς ἐν
„ τρυφερῷ τινὶ βίῳ τεθραμμένους, κἀντεῦθεν
„ τὰ ὁμοιότατα τοῖς τρόποις αὐτῶν τὰ πρὸς ἀνα-
„ παυσιν προφέρων. Τὰ δ' αὐτὰ καὶ Σουίδας ἔχει ἐν τῇ Φωνῇ
„ (ἀοιδός.) καὶ Δίδυμος ὁ Σχολιαστὴς ὡσαύτως: Παιδεύει (φησὶν)
„ αὐτοὺς μὴ ἀσελγένειν, ὡς καὶ Θεῶν διὰ ταῦτα ἀσχημονούντων.

Ἡ ἐν ῥαστώνῃ τε καὶ τρυφῇ ὄρεξις τοῦ βίου, ᾗ Φαίακες ὑπεφλέγοντο, ὡς ὀλίγον ἐστὶ συμβαίνουσα τοῖς ἐς τόδε περὶ τῶν ἠθῶν τε καὶ τρόπων αὐτῶν εἰρημένοις: ἀμέλει τοι περί τε τῆς ἐν τῇ θρησκείᾳ ὁσιότητος, καὶ περὶ τῆς φιλοξενίας, καὶ τῆς περὶ τὴν Ναυτιλλίαν ἐμπειρίας, καὶ περὶ τῶν ἐν ἄθλοις ἀγωνισμάτων: ῥᾷστον ἐστὶ συνιδεῖν. Τὰ γὰρ τοιαῦτα, οὐχὶ τοῖς φιληδονοῦσι τε καὶ τρυφῶσιν· ἀλλ' ἔθνει δήπου τῷ χρηστοήθει τε καὶ κοσμίῳ, καὶ καρτερικῷ, καὶ φιλοπόνῳ προσγίνεται. Ἀλλ' ὁ δῆμος ὁ τῶν Φαιάκων, οὐ καλῶς, ᾗπερ ἔφην, παρὰ τοῖς

ἀρχαιοτέροις ἀκήκοεν. Ἔνθεν τοι καὶ κατὰ τὸν Ὁράτιον, ἄνδρες τρυφηλοί τε καὶ ἡδοναῖς προσετηκότες κέκληνται Ἀλκίνοός τε καὶ Φαίακες· (ἐν ἐπιστ: Α΄. Βιβλ: Α΄.)

Nos numerus ſumus, & fruges conſumere nati
Sponſi Penelopes, nebulones, Alcinoique,
In cute curanda plus aequo operata juventus.

„ (Ἥμες ἀριθμὸς, καὶ καρποὺς ἀναλοῦν πεφυκῶτες,
„ Πηνελόπης μνηστῆρες, ἀχρήϊοι, Ἀλκίνοοί τε,
„ Δέρματι δουλέυουσα ὑπὲρ τὸ δέον νεολαία.)

Καὶ ἐν Ἐπιστολῇ δὲ τῇ ΙΕ΄.)

Pinguis ut inde domum poſſim Phaeaxque reuerti.

„ (Ὡς λιπαρὴς ἕξειν ἐπανελθεῖν οἴκαδε Φαίαξ.)

Ἡ μὲν οὖν Φαιάκων αὕτη ἐπὶ τρυφηλότητι παροιμία, ἐξ ὧν Ἀλκίνοος αὐτὸς ἔφη διεξεπήγασεν (Ὀδ: Θ΄.)

„ Αἰεὶ δ' ἡμῖν δαίς τε φίλη, κίθαρίς τε, χοροί τε·
„ Εἵματά τ' ἐξαμοιβὰ, λοετρά τε θερμὰ, καὶ εὐναί.

Εἶτ' ἐπειδή τινες διέβαλλον Ὀδυσσέα, ὡς δογματιστὴν Ἐπικουρείου τρυφῆς, διὰ τὸ εἰπεῖν, τὰ ἐν (Ὀδυσ: Ι΄.)

„ Οὐ γὰρ ἔγωγέ τι φημὶ χαριέστερον εἶναι,
„ Ἢ ὅ αν ἐυφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
„ Δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
„ Ἥμενοι ἑξείης· παρὰ δὲ πλήθωσι τράπεζαι

„ Σίτȣ, καὶ κρειῶν· μέθυ δ᾽ ἐκ κρητῆρος ἀφύσσων
„ Οἰνοχόος φορέησι, καὶ ἐγχείη δεπάεσσι·
„ Τȣ̃το τι μοι κάλλιςον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

Ἐντεῦθεν Μεγακλείδης παρ᾽ Ἀθηναίῳ (Βιβλ: ΙΒ΄. Κεφ: Α΄.) ὡς ἂν Ὀδυσσέα τῆς μέμψεως ἀπαλλάξειεν, ἐπὶ Φαίακας αὐτὴν μετέῤῥιψε, „ λέγων: Τὸν Ὀδυσσέα καθομιλȣ̃ντα τȣ̀ς καιρȣ̀ς, ὑπὲρ τȣ̃ „ δοκεῖν ὁμοήθης τοῖς Φαίαξιν εἶναι, τὸ ἁβροδιαίτατον αὐ- „ τῶν ἀσπάζεσθαι προπυθόμενον τȣ̃ Ἀλκινόȣ: Αἰεὶ δ᾽ ἡμῖν „ δαίς τε φίλη κτ: μόνως γὰρ ȣ̂τως ᾠήθη, ὧν ἤλπιζε „ μὴ διαμαρτεῖν.

Ἄλλως μέντοι γε τῷ Ὀδυσσεῖ ἐπαμῦναι, δίχα τȣ̃ τοῖς Φαίαξι λοιδορήσασθαι, ἐξεῦρε παρὰ τῷ αὐτῷ Ἀθηναίῳ (Βιβλ: Α΄. Κεφ: ΙΔ΄.) τὰ προεκτεθέντα Ὁμήρȣ ἔπη, παραινῶν ȣ̂τω χρῆναι ἀναγινώσκεσθαι: „ Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κακότητος ἀπȣ́σης: τὰς δύο τελευτίȣς τȣ̃ ἔπȣς λέξεις τιθεὶς ἀντὶ τῶν: κατὰ δῆμον „ ἅπαντα. Προςίθησι γὰρ Ἐρατοσθένης, ὅτι ἀδύνατον μὴ „ φρονίμȣς εἶναι Φαίακας, οἳ μάλα φίλοι εἰσὶ Θεοῖ- „ σιν, ὡς ὁ Ναυσικράτης φησί.

Τὴν τεθεῖσαν Ἐρατοσθένȣς ἐπιδιόρθωσιν ὁ Κασαȣβόνος ἥκιςα δοκιμάζει, ἐν ταῖς ἐπιςασίαις αὐτȣ̃ ταῖς εἰς τὸν Ἀθήναιον. Ἐν γὰρ τῷ Ὁμηρικῷ ἔπει, κομψῶς (φησὶν) ἠχεῖ: τὰ, ἔχῃ κατὰ δῆμον ἅπαντα· τὰ ὑπὸ Ἐρατοσθένȣς ἀποκρȣσθέντα ῥήματα. Καὶ ȣ̓δ᾽ ἐκεῖνο δ᾽ ὁ Κασαȣβόνος ἐγκρίνει, ὅτι ἡ παρὰ τȣ̃ Ναυσικράτȣς μαρτυρία παρείληπται, τῆς ἐξ Ὁμήρȣ παρȣ́σης· (Ὀδυσ: Η΄.) καθ᾽ ἣν Ἀλκίνοος τȣ̀ς αὐτȣ̃ Φαίακας ἐμεγάλυνεν, ἀγχιθέȣς ὄντας ἐμφαίνων. Προσθεῖναι

δ' εἶχε, μηδ' ἐκεῖνο ἐγκρίνειν: ὅτι τὰ τοῦ Ὀδυσσέως ῥήματα: **Οὐ γάρ ἔγωγέ τι** κτ: τῷ Ἀλκινόῳ προσνέμεται, καὶ μὲν δὴ καὶ τοῖς Ἀλκινόου ἐκείνοις: **Αἰεὶ δ' ἡμῖν** κτ:, συνάπτεται: ἐφ' οἷς Ἀθήναιον δήπου ἡ μνήμη διέλιπε. Τελευταῖον δὲ οὐδ' ἐκεῖνο ἦν ἐγκριτέον, τὸ ὑπὸ Ἰακώβου Δαλεκαμπίου ἐν τῇ μεταφράσει ἐπιπροστεθὲν (haud recte:) **οὐκ ὀρθῶς**: ὡς εἴπερ Ἀθήναιος τὴν Ἐρατοσθένους ἐπιδιόρθωσιν ἀπεβάλλετο, ὅπερ οὖν ἐκ τοῦ Ἑλληνικοῦ ὕφους οὐ φαίνεται. Παρὰ δὲ ταῦτα καὶ ἡ τοιάδε προσθήκη τὴν διάνοιαν συγχεῖ τῆς Λατινικῆς ἑρμηνείας, ὡς δῆλον ἔσται τῷ μετιόντι. Τοιγαροῦν αὐτὸς τῆς Ἀθηναίου ἐκδοχῆς, καὶ τῆς Ἐρατοσθένους ἐπιδιορθώσεως, μᾶλλον ἂν ἑλοίμην τὴν Διδύμου δόξαν, ὃς ἐπὶ τοῖς ῥήμασιν: **Οὐ γάρ ἔγω-**
„**γέ τι φημί**: παρασημειοῖ οὕτω: Ταῦτα ἁρμοζόμενος
„τῷ καιρῷ λέγει· οὐ τοῦ παντὸς δὲ βίου τέλος εἴρηκε
„τὴν ἡδονήν, ἀλλὰ συμποσίου τινός. Καὶ ἑτέραν δέ τινα
„τοῦ Ἀθηναίου διερμήνευσιν αὐτοὶ μετ' οὐ πολλὰ παραθήσομεν.

Τὴν πολυτελῆ, καὶ τρυφῆς ἁπάσης γέμουσαν εὐωχίαν ὁ Ναζιανζηνὸς Γρηγόριος ἐν τοῖς ἐμμέτροις αὐτοῦ λόγοις παραδηλώσων, **Ἀλκινόου τράπεζαν** αὐτὴν ἐπωνόμασεν. Καὶ ἐν τῇ ἐπισ: δὲ τῇ πρὸς τὸν Βασίλειον ὡσαύτως. Διεβλήθη δὲ τυχὸν ἡ τοῦ Ἀλκινόου τράπεζα κἀντεῦθεν, ὅτι τῶν δαιτυμόνων πάλαι τῆς νυκτὸς ἐγγιζούσης ἀπέρχεσθαι εἰωθότων, οἱ Φαίακες ἐπὶ μακρὸν τῆς νυκτὸς παρέτεινον προάγοντες τὰ συμπόσια: χρύσεοι ἐπεί τοιγε νεανίσκοι τινὲς, ἐπ' ὀκριβάντων ἱστάμενοι, διέφαινον τοῖς συμπόταις: (Ὀδ: Η'.)

„Ἔνθα δὲ Φαιήκων ἡγήτορες ἑδριόωντο
„Πίνοντες καὶ ἔδοντες· ἐπηετανὸν γὰρ ἔχεσκον.

„ Χρύσεοι δ᾽ ἄρα κȣ̃ροι εὐδμήτων ἐπὶ βωμῶν
„ Εἵστασαν, αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες,
„ Φαίνοντες νύκτας κατὰ δώματα δαιτυμόνεσσιν.

Ἀλλ᾽ ὡς ἂν δῆλον γένοιτο ταῖς Φαιάκων εὐωχίαις μέτρον τε καὶ ὅρȣς ἐπιτεθεῖσθαι, ὓς ἄλλοι μακρῷ τρυφηλότεροι γεγονότες παρελθεῖν εὕρηνται, ἐκ πλείστων παραδειγμάτων παρὰ τȣ̃ αὐτȣ̃ Ἀθηναίȣ ληφθέντων, δεῖξαι ῥᾴδιον. Καὶ πρῶτον (ἐκ τȣ̃ Α΄. Βιβλ: Κεφ: Η΄.) περὶ τῆς διαίτης αὐτὸς λέγων, ἧς Ὅμηρος τοῖς κατ᾽ αὐτὸν Ἥρωσιν ἀπονέμει, ὀπτὰ τȣ́τοις κρέα ἐπαρκεῖσθαι γράφει, καὶ Ἀλκινόῳ δὲ τῷ τὸν τρυφερὸν ἐπανῃρημένῳ βίον. Καὶ μετ᾽ ὀλίγα δὲ, ταῖς τῶν Ἡρώων τραπέζαις, ȣ̓δέποτε (φησὶν) Ὅμηρος τὰς ἐξ ἰχθύων ἁβρότητας παρατιθέμενος φαίνεται, καί τοιγε τȣ̀ς Φαίακας πλωτικωτάτȣς ποιῶν. Ἀλλ᾽ ȣ̓δὲ τὰς ἐκ τῶν ὀπορῶν τρυφὰς, καίπερ αὐτοῖς τὴν ὀπώραν, πάντα χρόνον παρασκευάζων ἀθάνατον. Ὁ δ᾽ αὐτὸς αὐτȣ̀ς, διαίτης
„ ȣ̓κ ἀπλήστως ἀπολαύοντας παρίστησιν, ἀλλ᾽ ὡς οἱ
„ κράτιστοι τῶν ἰατρῶν ἀφαιρεῖ τὰς πλησμονάς:

„ Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο.

„ Καὶ τὴν ἐπιθυμίαν πληρώσαντες, οἱ μὲν ἐξώρμων ἐπὶ μελέτην ἀθλητικὴν, δίσκοισι τερπόμενοι καὶ αἰγανέαις, τῇ παιδιᾷ τὰ πρὸς σπȣδὴν ἐκμελετῶντες· οἱ δὲ κιθαρῳδῶν ἠκροῶντο, τὰς Ἡρωϊκὰς πράξεις ἐν μέλει καὶ ῥυθμῷ ποιȣ́ντων. Ταῦτα δὲ πάντως ȣ̓κ ἄλλ᾽ ἢ τὸν Φαιάκων παρίστησι καὶ ἐπαινεῖ τρόπον, περὶ ȣ̃ ἀνωτέρω ἐλέγετο.

Αὖθις δὲ (ἐπὶ τῦ Δ'. Βιβλ: ) τὰ τῶν Μνηςήρων καὶ τῶν Φαι-
„ άκων συμπόσια παραβάλλων ἀλλήλοις ἐκ τῶν Ὁμήρυ: ἔςι γὰρ
„ ( φησὶν ) αὐτῷ τὸ μὲν τῶν μνηςήρων, οἷον ἂν γένοι-
„ το νεανίσκων μέθαις καὶ ἔρωσιν ἀνακειμένων· τὸ
„ δὲ τῶν Φαιάκων, ἐυςαθέςερον μὲν τύτων, φιλήδονον δέ.

Ἔπειτα (Βιβλ: Ε'. Κεφ: ϛ'.) διεξελθὼν Ἀθήναιος τὴν Ἀλκινόυ παι-
„ δαισίαν, πρὸς ἣν ὁ τῦ Ὀδυσσέως ἀφορᾷ λόγος: Οὐ γὰρ ἔγωγέ τοι
φημὶ κτ: δι' ὗ, ὅτι φιλανθρώπως τε καὶ φιλοφρόνως ἐνδεκτέος
„ ἐςὶν ὁ ἐπιξενύμενος δείκνυται, προςίθησιν: Ὅπερ συμβάλλων
„ τις πρὸς τὸ τῶν φιλοσόφων συμπόσια, κοσμιώ-
„ τερον ἂν εὕροι· καί τοι τῦτο περιέχον καὶ ἱλαρό-
„ τητα, καὶ παιδίαν ἐυσχήμονα. (Εἶτα ἐπάγει: ) Μετὰ
„ γὰρ τὸν ἀγῶνα τὸν γυμνικὸν ᾄδει ὁ ᾀδὸς ἀμφ' Ἄρε-
„ ος φιλότητα μῦθον τινά, χλέυῃ κεκραμένον, καί τοι
„ εἰς τὴν μνηςηροφονίαν ὑποθηκῶν ὑποτιθεμένων
„ τῷ Ὀδυσσεῖ, τῦ Ἡφαίςυ, καὶ τῦ Κυλλοποδίωνος τὸν ἀν-
„ δρειότατον Ἄρη καταγωνισαμένυ.

Τελευταῖον (ἐν Βιβλ: ΙΓ'. Κεφ: Η'.) καί τινα ἑτέραν τῶν Φαι-
άκων πρὸς Στράτωνα τὸν Σιδονίων Ἄνακτα παράθεσιν προβαλλόμενος,
„ πρώτην ἐν ἀμφοτέροις διαφορὰν ὑπέθετο: Οἷα γὰρ τὺς Φαίακας
„ Ὅμηρος ποιεῖν μεμυθολόγηκεν ἑορτάζοντας, καὶ πίνον-
„ τας, καὶ κιθαρῳδῶν, καὶ ῥαψῳδῶν ἀκροωμένυς, τοιαῦτα
„ καὶ ὁ Στράτων διετέλει ποιῶν πολὺν χρόνον. Καὶ ἄλλην
„ δὲ προσετίθει διαφορὰν: ὅτι, ὁ μὲν Στράτων, Γυναικαρίοις τε
„ καὶ ἑταιρίσι συνευωχεῖτο, Φαίακες δὲ (ὡς φησὶν Ὅμηρος)
„ μετὰ τῶν οἰκείων γυναικῶν καὶ θυγατέρων ἐποι-
„ ῦντο τὺς πότυς.

Ἐξ ὧν δὴ πάντων γίνεται φανερὸν, τὺς Φαίακας, καὶ τοῖς τρυ-
φαῖς ἐκδότοις συγκαταλεγομένυς δήμοις, πολὺ μέν τοι ἀποχέιθαι τῆς

δι ἀκρασίαν ἄμετρον δυσφημίας· αὐτὸς γὰρ περὶ οἰνοφλυγίαν ὅτως ἐξώλεις γενέσθαι ἡγήσαιτ' ἄν τις ὑπὸ Γακώβε παρακεσθεὶς τε Δαλεκαμπίε, τε τὸ Ἀλκινόε πρὸς Ποντόνοον ῥηθὲν ( Ὀδυσ: Η'. ) προβαλλομένε.

„ . . . . . . . . Μέθυ νεῖμον
„ Πᾶσιν ἀνὰ μέγαρον . . . . .

Οὕτω δηλονότι ( παρ' Ἀθην: Βιβλ: Α'. Κεφαλ: ΙΑ'. ) μεταφράζοντος.

Fac ut ſint temulenti in noſtris aedibus omnes.

„ ( Οἰνοβαρεῖς ποίησον ἐν ἡμῖν δώμασι πάντας. )
Κακῶς δήπε τὸ ( ὡς ἔδει ) μεταφραςέον.

Vinum diſtribue omnibus per domum.

Ἀλόγως γὰρ ἐκεῖνος μεταφράσας, μετείληφε τὸ μέθυ ἀντὶ τῆς μέθης, ἐκ ἀντὶ τε οἴνε, ὡς σύνηθες Ὁμήρῳ ὑποτίθεσθαι. Ἀλλὰ γὰρ πολλὰ ἐπὶ τῆς Δαλεκαμπίε μεταφράσεως, ἐλέγχε ἐςὶν ἄξια, ἅπερ ἀνεξέλεγκτα παρῆλθε Κασαυβόνος, κἂν ἄλλως αὐτῷ γε τέτῳ τὴν τε Ἀθηναίε ἐπανόρθωσίν τε καὶ ἀποκατάςασιν ἐποφείλωμεν.

Τὴν τῶν οἰνοφλύγων ἐθνῶν καταγραφὴν Ἀθήναιος ( ἐπὶ τε Ι'. Βιβλ :) προσέθετο. Καὶ Αἰλιανὸς δὲ, ( ἐν τῷ Γ'. τῶν αὐτε Κεφ : ΙΕ'.) ἀλλ' ἑδέτερος ἐκείνοις τὲς Φαίακας συγκατέταξεν.

Περὶ δὲ τε, ὅτι Φαίακες Ὀδυσσέα ἐπὶ Ἰθάκης μεταπορθμεύσαντες, ᾗπερ εἴρηται, ἑδαμῶς ἀφύπνισαν, ἀλλ' ἠρέμα ἐπὶ χθονὸς καταθέντες ὅτω πως εὕδοντα εἴασαν, πρὸς δὴ πολλαῖς ἄλλαις Εὐςάθιος,

„καὶ ταύτην αἰτίαν ἐπιφέρει τὴν ἐφεξῆς: Τυχὸν δὲ καὶ δεδίασι,
„μὴ συχεθέντες καταμηνύσωσι τὴν τέως κεκρύφ-
„θαι δοκοῦσαν Φαιακίαν, καὶ οὕτω ῥᾷον ἐπιβουλευ-
„θῶσιν, ἄνθρωποι φιληδονίαν συνειδότες ἑαυτοῖς,
„καὶ βίον ἀπολαυστικὸν καὶ ἀπόλεμον· οἷς οὐ βιὸς
„μέλει, οὐδὲ φαρέτρη, ἀλλὰ δαῖτες, καὶ χοροὶ, καὶ
„λουτρὰ, καὶ τὰ τούτοις σύστοιχα· ὅθεν καὶ νυκτὸς
„αὐτοῖς ὁ ἀνάπλους γέγονεν, ἵνα μὴ ἔχῃ Ὀδυσ-
„σεὺς, ἡμέρας οὔσης, παρασημειοῦσθαι τόπους τι-
„νάς. Ἀλλ' ὅπως δὴ ταῦτα συμβαίνει, τοῖς περὶ τῶν παρὰ Φαία-
ξιν ἀθλητικῶν ἀγωνισμάτων, καὶ τῆς περὶ τὴν ναυτιλλίαν ἐμπειρίας
αὐτῶν καὶ δεξιότητος· περὶ ὧν ἀνωτέρω ἐκ τῶν Ὁμήρου λόγος ἐγένετο·
ἰδέτω Εὐστάθιος, ὁ Σχολιαστὴς ἐκείνου ὁ ἀκριβέστατος.

## ΚΕΦΑΛ. ΙΕ'.

Ἐπειδὴ δὲ ἐκ τῆς περὶ τὰς τρυφὰς ἀκρασίας, ἡ περὶ τὸ νοεῖν γεννᾶται νωθρότης τε καὶ νωχέλεια, διὰ δὴ τοῦτο καὶ ἐν παροιμίαις, ὡς ἀμβλεῖς τινες καὶ εὐήθεις οἱ Φαίακες κοινῇ περιᾴδονται, καθότι καὶ τοῖς Ὀδυσσέως διηγήμασι, τῆς ὑπερβαλλέσης ἔμπλεω τερατείας, προσοχήν τε παρεσχηκόσι καὶ πίστιν. Οἷον τοῖς περὶ τῶν Κικόνων ἐκείνοις, καὶ τοῖς τῶν Λωτοφάγων, καὶ τῶν Κυκλώπων, καὶ τοῦ Αἰόλου, καὶ τῶν Λαιστρυγόνων, καὶ τῆς Κίρκης· καὶ περὶ τῶν ἐν Ἅδου, καὶ Σειρήνων πέρι, καὶ Σκύλλης, καὶ Χαρύβδεως, καὶ τῶν Ἡλίου βοῶν, ἅπερ ἐν τέσσαρσιν ὅλοις βιβλίοις Ὅμηρος περιείληφεν· ὅθεν καὶ ἡ Παροιμία, τοῦ **Ἀλκινόου ἀπολόγους** ἀποκαλεῖν χαίρει τὰς μακράς τε καὶ γραώδεις διαμυθεύσεις, παρά τε τῷ Διογενιανῷ, καὶ Ἰουλίῳ τῷ Πολυδεύκει· ἧς περ καὶ Πλάτων ἐμνήσθη, καὶ Ἀριστοτέλης· ὡς ἰδεῖν ἐστὶν ἐν ταῖς χιλιάσι ταῖς τῶν Παροιμιογράφων.

Ἰουβενάλιος, (ἐν τῇ ΙΕ΄. Σατύρᾳ τοῦ Ε΄. Βιβλ:) κατὰ τῆς τῶν ἀπανθρώπων Αἰγυπτίων ἀπηνείας καταφερόμενος, οἳ, τῶν κρεῶν τῶν κτηνῶν ἀποχόμενοι, κρέασιν ἀνθρωπικοῖς ἐσιτοῦντο, ποιάδ᾽ ἔχει, πρός γε τὸ προκείμενον ἐπανήκοντα.

. . . . . . . . . Attonito cum
Tale ſuper coenam facinus narraret Ulyſſes
Alcinoo, bilem aut riſum fortaſſe quibusdam
Moverat, ut mendax aretalogus. In mare nemo
Hunc abiicit, ſaevâ dignum veraque Charybdi,
Fingentem immanes Leſtrygonas, atque Cyclopas?
Nam citius Scyllam, vel concurrentia ſaxa
Cyanes, plenos et tempeſtatibus utres
Crediderim, aut tenui percuſſum verbere Circes,
Et cum remigibus grunniſſe Elpenora porcis
Tam vacui capitis populum Phaeaca putavit?
Sic aliquis merito nondum ebrius, et minimum qui
De Corcyrea temetum duxerat urna.
Solus enim hoc Ithacus nullo ſub teſte canebat.

„Ὅτε τὸ οὕτω μιαρὸν ἔργον ἐπὶ δαιτὸς Ὀδυσσεὺς διηγεῖτο, τοῦ Ἀλκινόου τεθηπότος, χολὴν, ἢ γέλωτα τυχὸν ἐνίοις ἐκίνει, οἷα ψεύστης Ἀρετολόγος. Πῶς δ᾽ οὔτις κατὰ πελάγους ὤσατο, τὸν ὠμῆς Χαρύβδεως ἀληθοῦς τε ἄξιον ὄντα; Λαιστρυγόνας τε θηριώδεις καὶ Κύκλωπας διαπλάττοντα; Θᾶττον αὐτὸς πιστεύσαιμι τὰ περὶ τῆς Σκύλλης, καὶ τὰς κυανέας συμπληγάδας, καί γε τοὺς ἀσκοὺς τοὺς μεστοὺς χειμώνων, καὶ τὸν πληγῇ κούφῃ πληγέντα ὑπὸ Κίρκης Ἐλπήνορα σὺν αὐτοῖς

„Ἐρέταις εἰς χοίρους τραπέντα γρύλλιξαι. Οὕτω
„κενεγκέφαλον τὸν Φαιάκων δῆμον ἡγήσατο; Ταῦ-
„τα τις, οὐπω ὅσον ἔδει οἰνόληπτος οὐκ ἂν ἀποδέ-
„ξαιτο, ὅς τ' ἐκ Κερκυραϊκῆς σάμνου ἐλάχιστον
„ἀφύσσατο μέθυ. Μόνος γὰρ τόδ' ὁ Ἴθακος, ὑπ'
„οὐδενὶ μάρτυρι ἀείδεν.

Ἤπου δ' οὐχ ὅπως οὐ χολὴν οὐδὲ γέλωτα τοῖς Φαίαξιν Ὀδυσσεὺς ἐκίνησε τοιαῦτα διεξελθὼν οὐχ ὅπως, οὐχὶ ὡς ψεύστης ληράδης τε καὶ φλήναφος ὑπ' αὐτῶν ἐκσεσύρικται· ἀλλὰ τοὐναντίον μεγάλῳ σὺν θαύματι, καὶ σὺν ἡδονῇ οἱ ἐκείνου ὕθλοι προσαπεδέχθησαν. (Ὀδυσ: Λ'.)

„Ὣς ἔφατ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
„Κηληθμῷ δ' ἔχοντο κατὰ μέγαρα σκιόεντα.

Ταῦτα δὲ ταὔτ' ἔπη (κἀν τοῖς Ὀδυσ: Ν'.) κεῖται κατ' ἀρχάς. Ὅπως δὲ πρόγε τούτου καὶ οἱ Φαίακες τοῖς διηγήμασιν ἐκείνοις ἐπίστευσαν, κἀξ ὧν εἴρηκεν Ἀλκίνοος φαίνεται:

„Ὦ Ὀδυσεῦ, τὸ μὲν οὔτι σ' ἐΐσκομεν εἰσορόωντες
„Ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς
„Βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους
„Ψεύδεά τ' ἀρτύνοντας, ὅθεν κέτις οὐδὲ ἴδοιτο·
„Σοὶ δ' ἔνι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί.
„Μῦθον δ', ὡς ὅτ' ἀοιδὸς, ἐπισταμένως κατέλεξας
„Πάντων τ' Ἀργείων, σέο τ' αὐτοῦ κήδεα λυγρά.

Καὶ μετ' ὀλίγα δὲ, ὡς κἂν ὅλην τὴν νύκτα ἡδέως ἄϋπνος διαγάγοι, ἀκροώμενος Ὀδυσσέως, ὁ αὐτὸς Ἀλκίνοος μαρτυρεῖ:

„ Καί κεν ἐς ἠῶ δῖαν ἀναχοίμην, ὅτε μοι σὺ
„ Τλαίης ἐν μεγάρῳ τὰ σὰ κήδεα μυθήσασθαι.

Πολλὴν μὲν οὖν ἡδονὴν ἐκ τῶν Ὀδυσσέως διηγημάτων κεκαρπῶσθαι τοὺς Φαίακας, οὐ μέν τοι καὶ πάντα ἡγήσασθαι πρὸς ἱστορικὴν ἀλήθειαν ἀπεξεσμένα εἰρῆσθαι, κἂν, ἐξ ὧν Ὅμηρος φησὶ δῆλον γένοιτο. Ἐπεὶ τὰ μὲν ἐξ αὐτῶν τοῦ ἱστορικοῦ εἶναι, τὰ δὲ τοῦ Ποιητοῦ, εὐφυῶς μάλα ἔοικεν Ἀλκίνοος συνεωρακέναι, εἰπών:

„ Μῦθον δ' ὡς, ὅτ' ἀοιδὸς ἐπισαμένως κατέλεξας.

Διόπερ οὐδ' ἔχω εἰδέναι, ὅπως ἐκ τῶν ἀφηγημάτων ἐκείνων ἔχοι ἄντις δικαίως ἀγροικίαν τε καὶ ἠλιθιότητα τῶν Φαιάκων καταψηφίσασθαι.

Λουκιανὸς ἐν τῷ Α'. τῶν περὶ ἀληθοῦς ἱστορίας, ἐν αὐτοῖς προοιμίοις, περὶ τῶν Κτησίου καὶ Ἰαμβούλου ψευδῶν διηγημάτων λέγων, „Ἀρχηγὸς αὐτοῖς (γράφει) καὶ διδάσκαλος τῆς τοιαύτης Βωμολοχίας ὁ τοῦ Ὁμήρου Ὀδυσσεύς, „τοῖς περὶ τὸν Ἀλκίνοον διηγούμενος ἀνέμων τε „δουλείαν, καὶ μονοφθάλμους, καὶ ὠμοφάγους, καὶ „ἀγρίους τινὰς ἀνθρώπους· ἔτι δὲ πολυκέφαλα ζῶα, „καὶ τὰς ὑπὸ φαρμάκων τῶν ἑταίρων μεταβολάς, „οἷα πολλὰ ἐκεῖνος πρὸς ἰδιώτας τοὺς Φαίακας ἐτερατεύσατο.

Καίτοι γοῦν ἐκ τῶνδε τῶν Λουκιανοῦ, καὶ ἐξ ἄλλων ἀρχαιοτέρων μαρτυριῶν, γίνεται φανερόν, τοὺς Ἀλκινόου ἀπολόγους περὶ τῶν Ὀδυσσέως παρὰ τῷ Ἀλκινόῳ μυθολογημάτων δεῖν ἐκλαμβάνεσθαι, πλὴν τὶ μέντοιγε τῶν σοφωτέρων τινὲς μὴ συνεωρακότες (ἐν οἷς καὶ Ἰάκωβος ὁ Περιζώνιος, ἐν τῷ εἰς τὴν Αἰλιανοῦ ποικίλην ἱστορίαν αὐτοῦ ὑπομνήματι) ἀντὶ τῶν λόγων αὐτοῦ Ἀλκινόου, ἡρμήνευσαν. Καὶ

δεόντας μὲν Περιζώνιος, τὴν Σχεφέρε δοξασίαν (τὴν ἐν Κεφ: ΙΔ΄. τȣ̃ ΙΓ΄. βιβλ:) ἀποβάλλεται: τȣ̃ ὑπ᾽ ἐκείνῃ τῇ Ἐπιγραφῇ τὴν Η΄. Ῥαψῳδ: τῆς Ὀδυσ: δηλȣ̃σθαι ὑπολαμβάνοντος, ἐν ᾗ δήπȣ, ȣ̓δὲν τῶν εἰς τὸ προκείμενον ἐπανῆκον ἐμφέρεται, μόνης ὑπομνημονευομένης αὐτόθι τῆς τȣ̃ Ὀδυσσέως ἐπαφίξεως πρὸς Ἀλκίνοον. Ἀλλὰ γὰρ ȣ̓κέτι κατὰ τὸ προσῆκον προςίθησιν, ὡς ἡ ἐφεξῆς Ῥαψῳδία Θ΄. continet multos fermones Alcinoi pro concione Phaeacum, et in coena; nec dubito, quin iste illa appellatione a nostro defignetur. „(Περιέχει πολλȣ̀ς λόγȣς τȣ̃ Ἀλκινόȣ ἐπίτε τῆς τῶν Φαι„άκων ὁμηγύρεως, κἀν τῷ δείπνῳ· οὐδ᾽ ἐνδοιάζω, μὴ ȣ̓χὶ „τȣ̃τον ὑπ᾽ ἐκείνῃ τῇ ἐπικλήσει πρὸς τȣ̃ ἡμετέρȣ ὑπο„σημαίνεσθαι.) Ἀλλ᾽ αὐτὸς ἀπόφημι: τȣ̀ς Ἀλκινόȣ ἀπολόγȣς, ἐν τοῖς ὑπὸ Ἀλκινόȣ εἰρημένοις χρῆναι ζητεῖσθαι. Ἀπόφημι δὲ προσέτι, καὶ τῶν Ἀλκινόȣ λόγων πολλȣ̀ς, ἐν ἐκείνῃ τῇ Ῥαψῳδίᾳ ἐμφέρεσθαι, ἐν ᾗ δηλονότι, ἥτε τῶν ἀγώνων περιγραφὴ καὶ αἱ τȣ̃ Δημοδόκȣ ἀοιδαὶ, τὸ πλεῖςον τῆς διατριβῆς ἐπέσχον. Καὶ τοίνυν: τῷ Δημοδόκȣ ὀνόματι πολλῷ δικαιότερον, ἢ τῷ τȣ̃ Ἀλκινόȣ, φημὶ χρῆναι τȣ̀ς ἀπολόγȣς προσεπιγράφεσθαι.

Ὁμολογῶ δ᾽ ȣ̓̃ν ἔμπης ἐν ἄλλαις τῆς Ῥαψῳδίας ἐκείνης ἐπιγραφαῖς, καὶ τήν: (Ἀλκινόȣ ἀπόλογοι:) προσαναγινώσκεσθαι· καὶ τῇ αὐτῇ δ᾽ ἐντυχεῖν εἶναι, καὶ ἐν τῇ Ἀριςοτέλȣς Ποιητικῇ τέχνῃ: ἔνθα περὶ παντοίων ἐπιγνωρισμῶν διαλεγόμενος, καὶ τὸν Ὀδυσσέως „παρὰ Φαίαξιν ἐπιγνωρισμὸν εἰσάγει, φάσκων: Καὶ ἡ ἐν τῷ Ἀλκι„νόȣ ἀπολόγῳ ἐπίγνωσις· ἀκȣ́ων γὰρ τȣ̃ Κιθαριςȣ̃, „καὶ μνησθεὶς ἐδάκρυσεν. Ὁ δὲ λόγος ἐνταῦθα περὶ τῶν ᾠδῶν Ἀλκινόȣ, ἢ Δημοδόκȣ ἐν τοῖς Ἀλκινόȣ μεγάροις, καὶ τῶν ἐπ᾽ αὐταῖς Ὀδυσσέως δακρύων· περὶ ὧν (ἐν Ὀδυσ: Θ΄.) Ἐπεὶ δὲ τὰ τοιαῦτα, ὡς ἐκ τȣ̃ ἀπολόγȣ τȣ̃ Ἀλκινόȣ Ἀριςοτέλης διέξεισιν, ἐοικέ-

πως τῇ Ῥαψῳδίᾳ ἐκείνῃ τὸ ἐπώνυμον ἐφαρμόζεσθαι. Ἀλλὰ περὶ τῆς τοιᾶς δε ἐπιγραφῆς, καὶ περὶ τῦ Ἀριστελικῦ ὕφυς, ὐδὲν φησὶ Περιζώνιος· καί τοιγε οὐκ] ὀλίγον συντελεῖν κατὰ πρῶτον τύτων δοκύντων· **κατὰ πρῶτον** φημί: ἐπειδὴ γὰρ δῆλον ἐστὶν, **διὰ τῶν Ἀλκινόυ ἀπολόγων**, τὰς τῆς Ὀδυσσείας τέτταρας Ῥαψῳδίας: λέγω δὴ τὰς I. K. Λ. M. διασημαίνεσθαι, ἐντεῦθεν καὶ τὴν πρὸ ἐκείνων ἀμέσως ἡγυμένην, περιποιεῖσθαι ἐκράτησε τὴν εἰρημένην ἐπωνυμίαν, διὰ δὴ τῦτο καὶ μόνον, ὅτι τῶν παρεπομένων μυθολογημάτων αὕτη, οἱονεί τις ἐστὶ προανάκρυσις καὶ προαναφώνησις. Ἐνταῦθα καὶ γὰρ, ὡς τὰ τελευταῖα τῶν ἐπῶν ἀποδείκνυσιν, οἱονεί τις σωρεία ἐρωτημάτων προτίθεται, ἐξ ὧν αἱ τῶν ἐφεξῆς τεττάρων Ῥαψῳδιῶν ὑποθέσεις τε καὶ ἐπιδιηγήσεις ἐξήρτηνται· ὅθεν καὶ ἡ Ῥαψῳδία ἐκείνη κατ' Εὐστάθιον ἐπικέκληται: **Τὰ τῆς παρὰ Ἀλκινόῳ προδιηγήσεως**· ἢ, τῶν παρὰ Ἀλκινόῳ προδιήγησις. Ὁ τοίνυν τὴν προτέραν ἐπιγραφὴν μὴ συνιδὼν (ὡς ἔλεγον) Περιζώνιος, κἂν ταῖς δευτέραις δὴ ταύταις, ὐδὲν ὅλως κατεῖδεν, ἃς ὕτω διερμηνεύων ἐστὶν: Ea quae apud Alcinoum accidere ante longam illam narrationem rerum ſuarum, quam ſequentibus totis quatuor libris facit Ulyſſes. — Vel expoſitio eorum, quae apud Alcinoum accidere, ante narrationem ſubſequentem. „Τυτέστι: τὰ παρ' Ἀλκινόῳ συμβάντα πρὸ τῆς μακρᾶς „ἐκείνης ἐκδιηγήσεως τῶν καθ' ἑαυτὸν, ἣν ἐν τοῖς „ἐφεξῆς ὅλοις τέσσαρσι βιβλίοις Ὀδυσσεὺς ποι„εῖται. — ἢ γῦν, ἔκθεσις τῶν παρὰ Ἀλκινόῳ συμβάν„των, πρὸ τῆς ἑπομένης ἐκδιηγήσεως.

**Προδιήγησις ἐστὶ προπαρασκευή τις πρὸς διήγησιν:** καθ' Ἑρμογένην· καὶ δὴ καὶ κατ' Ἀριστοτέλην, ἐν τῷ Γ'. τῶν Ῥητορικῶν, καθὰ καὶ οἱ Λεξικογράφοι διδάσκυσι· καὶ ὕτως ἄρα: **Ἀλκι-**

νόυ ἀπόλογος, ἐπικληθῆναι εἶχεν ἡ Βίβλος, ἐν ᾗ παρεσκευάσθη ἡ ὑπόθεσις τῶν ὅσον οὔπω ἐναρξομένων τοῦ Ὀδυσσέως ἐκδιηγήσεων.

Ἐξ ὧν ἁπάντων σαφὲς καθίσταται, ὅτι περὶ τὸ τοῦ Αἰλιανοῦ χωρίον ἐκεῖνο, οὐ μικρόν τι προσέκρουσεν ὁ Περιζώνιος, καίτοιγε τὰ τοῦ Συγγραφέως: Difficilia quaeque, obfcura, ignota, corrupta, partim ex MSS. partim ex graeca lingua, antiquitate, Hiftoria, lectoribus explicare, et liquida perfundere luce. „(Ὅσα δυσχερῆ ἦν, ἀσαφῆ, ἀγνοούμενα, διεφθαρ-„μένα, τὰ μὲν ἀπὸ Κωδίκων χειρογράφων, τὰ δὲ „ἐκ τῆς ἑλληνικῆς γλώσσης, ἐκ τῆς ἀρχαιολογίας, „ἐκ τῆς Ἱστορίας, τοῖς ἀναγινώσκουσιν ἀναπτύξαι, „καὶ φωτὶ καθαρῷ διατρανῶσαι) ἐπιβαλόμενος: ὡς αὐτὸς φησὶν, ἐν τῇ ἀρτίως ἐκδοθείσῃ ὑπ' αὐτοῦ διαλέξει· ὧν τε τὰ παραπλήσια σχεδὸν ἔχει κἀν τῇ προεισηγήσει τῇ πρὸ τῆς καινοτέρας προεκτεθείσῃ ἐκδόσεως. Ἅπερ οὖν οὕτω πως αὐτῷ εἰρημένα, ἐγὼ μὲν μεγαλορρημοσύνης ἥκιστα αἰτιῶμαι, ὡς οὐ δεόντως ἐποίησεν Ἰάκωβος ὁ Γρονόβιος, ἐν τῇ προσφάτῳ αὐτοῦ εἰδήσει, τῇ περὶ τῶν Αἰλιανοῦ διαφόρων τόπων. Ἐπεὶ καὶ τοιάδέ τινα ἐπὶ τῆς Περιζωνίου ἐκείνης προεισηγήσεως εἴρηται: Sed et nullus dubito, quin, quum tam varia & multa hic tractaverim, aliquando quoque humani quid fuerim paffus. Prudentiae enim foret & vigilantiae inufitatae, in tanta rerum varietate & copia, nunquam dormitaffe. Ἀλλ' οὐδὲ περὶ ἐκεῖνο πάν-„τῃ ἀναμφιλέκτως ἔχω, ὡς οὕτω ποικίλων πέρι „καὶ πολλῶν ἐνταῦθα πραγματευσάμενος, οὐχὶ καί-„τι ἀνθρώπινον ἐνίοτε πεπονθὼς εἴην. Συνέσεως „γὰρ ἂν εἴη, καὶ ἐγρηγόρσεως οὔτοι συνήθους, ἐν το-„σαύτῃ ποικιλίᾳ τε καὶ πληθύϊ πραγμάτων, τὸ

„μηδαμῇ μηδέποτε καὶ ἐπινυςάξαι. Ἀλλ᾽ ἀναγνωςέον αὐτὰ τὰ τῦ Περιζωνίυ, ἐν τῇ αὐτῦ ἀπαντήσει τῇ πρὸς τὴν εἰρημένην **Εἴδησιν.**

Ὁ μὲν ὖν Θεοφύλακτος ἐν τῷ περὶ τῶν ἱςοριῶν προοιμίῳ, περὶ ὑπεροχῆς τε καὶ ὠφελείας τῆς ἱςορίας διαλεγόμενος, καὶ μηδὲν ὕτω συντελεῖν φάσκων τῷ βίῳ, ὡς τὰ παντοῖα τῶν ἱςορυμένων εἰδέναι, ὃ καὶ ἀκοῆς ἐςὶν ἐντρύφημα, καὶ τῇ ψυχῇ οἷόν τι ταμεῖον μαθήσεων καθίςαται εἰς κατασκευὴν τῦ λεγομένυ τὰ ὑπὸ τῦ Ὀδυσσέως παρ᾽ Ἀλκινόῳ ἱςορύμενα εἰς παράδειγμα ἐπάγει, ταῦτα γράφων: Τὺς „δὲ Φαίακας ὕτω τὰ τῆς ἱςορίας ἐνήυφρανεν, ὡς „χαίρειν εἰπόντας τῷ πότῳ, θέατρον εἶναι δοκεῖν „τὸ συμπόσιον, καὶ διανιςᾶν τὰ ὦτα, καὶ κεχηνέ„ναι θεωμένυς τὸν ἄνδρα, καὶ τῷ μήκει μηδαμῶς „τῆς διηγήσεως ἀποκναίεσθαι: καί τοι τὰ πολλὰ „τῶν ἀφηγημάτων κατηφεῖς εἶχε τὰς ὄψεις· με„γίςων γὰρ κινδύνων ἐμπειρία περιέῤῥει τῇ συ„νυσίᾳ.

Πρὶν ἢ ἐφ᾽ ἕτερα μεταβῆναι, σημειωτέον εἶναι μοι δοκεῖ καὶ τόδε: ὅτι καὶ τὰ τῇ Πηνελόπῃ πρὸς Ὀδυσσέως ἀφηγηθέντα, παραπλήσια μὲν ἐςὶ τοῖς τῷ Ἀλκινόῳ, ἐπιτομώτερα δ᾽ ἔμπης. Ἀλκινόυ δὲ ἀπόλογος καὶ αὐτὰ ὑπὸ Ἀριςοτέλυς ὠνόμαςαι (Ῥητορικ: Βιβλ: Γ΄.) Περὶ ὃν δήπυ τόπον, Ἔρασμός τε, καὶ οἱ ἄλλοι τῶν Παροιμιογράφων, οἱ διερμηνεῦσαι ἐπιχειρήσαντες, τῦ σκοπυμένυ διήμαρτον. Πέτρος δὲ Βικτώριος, εὐθὺ ἐτόξευσεν ἧ δοκεῖμοι, ἐν τῷ αὐτῦ ὑπομνήματι, ἐξ ὗ καὶ τὴν ἐπενεχθεῖσαν ἀνάπτυξιν εἴληφα. Διδάσκει γὰρ ὁ κλεινὸς ἀνὴρ ὗτος, ὅτι τὸ Ἀριςοτελικὸν ὕφος (**Παράδειγμα ὁ Ἀλκινόυ ἀπόλογος, ὃς πρὸς τὴν Πηνελόπην ἐν ἑξήκοντα ἔπεσι πεποίηται**) διττῆς χρήζει τῆς ἐπιδιορθώσεως: τῆς μὲν, ὅτι **ἔπεσι** χρὴ θέσθαι, ἀντὶ τῦ **ἔτεσι**· τῆς δὲ, ὅτι τὸν ἀριθμὸν **ἑξήκοντα**

κατά γε τὸ ἥμισυ δεῖ ἐκμαθεῖν· τὰ γὰρ ἔπη, οἷς Ὀδυσσεὺς τῇ Πηνελόπῃ τὰ καθ᾽ ἑαυτὸν διηγήσατο, κατὰ μὲν τὰ ἐκδοθέντα Βιβλία, τριάκοντα καὶ δύο εἰσίν· ἤγουν ἓν ἐπὶ τοῖς τριάκοντα. Ἐὰν δὲ τῷ τοῦ Εὐσταθίου στοιχήσωμεν ἐπιλογισμῷ, τὸ χωρίον ἐπανορθωθὲν, τοιάνδε τὴν διάνοιαν ἀποδίδωσι. („Παράδειγμα ὁ τοῦ Ἀλκινόου ἀπόλο-
„γος, ὁ τῇ Πηνελόπῃ δηλ: ἐν ἔπεσιν ὡσεὶ τριά-
„κοντα ἐκτεθείς.)

## ΚΕΦΑΛ. ΙϚʹ.

Ἥκω δὴ νῦν ἐπὶ τὰς γυναικῶν ἐπασκήσεις, καὶ καθ᾽ οὓς διάγειν εἰώθεσαν τρόπους. Τὴν μὲν οὖν Ναυσικάαν, καὶ τὰς περὶ αὐτὴν θεραπαινίδας, ἁρματηλατούσας τε, καὶ πλύνειν ἐνασχολουμένας, καὶ σφαίρας μεταξὺ παιδιᾷ τερπομένας παρίστησιν Ὅμηρος, (Ὀδυσ: Ζʹ.) ἐπὶ γὰρ τὸν ποταμὸν ἀπελευσομένων, τὸ μὲν βασιλικὸν Κόριον

„. . . Ἔλαβεν μάστιγα, καὶ ἡνία σιγαλόεντα,
„Μάστιξεν δ᾽ ἐλάαν, καναχὴ δ᾽ ἦν ἡμιονοῖϊν
„Αἱ δ᾽ ἄμοτον τανύοντο . . . . . . . . .

Ὡς δ᾽ ἐπὶ τὸν ποταμὸν ἥκασιν, αἱ ἀμφίπολοι

„. . Ἡμιόνους μὲν ὑπ᾽ ἐκπροέλυσαν ἀπήνης·
„Καὶ τοὺς μὲν σεῦαν ποταμὸν παρὰ δινήεντα
„Τρώγειν ἄγρωστιν μελιηδέα . . . . . . .

Ναυσικάα δ' αὖ ἐπὶ τὸ ἄστυ ἐπανελευσομένη, ἀναβᾶσα ἐπὶ τοῦ δίφρου

„ . . . . . Ἵμασεν μάστιγι φαεινῇ
„ Ἡμιόνους, αἳ δ' ὦκα λίπον ποταμοῖο ῥέεθρα.
„ Αἳ δ' εὖ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσσιν,
„ Ἡ δὲ μάλ' ἡνιόχευεν . . . . . . . . .

Εἰκών τις Ναυσικάας ἁρματηλατούσης, Λάρνακά τινα διεκάλλυνεν, ἐν Προτεμενίσμασι Ναοῦ Ἥρας ἀποκειμένην (ἣ διέξεισι Παυσαν: ἐν „τοῖς Ἠλειακ:) Παρίστη δὲ ἡ εἰκὼν Παρθένους ἐπὶ ἡμι-„όνων, τὴν μὲν ἔχουσαν ἡνίας, τὴν δὲ ἐπικειμένην „κάλυμμα ἐπὶ τῇ κεφαλῇ· Ναυσικᾶν τε νομίζου-„σιν εἶναι τὴν Ἀλκίνου, καὶ τὴν θεράπαιναν ἐλαύ-„νουσαν ἐπὶ τοὺς πλυνούς. Ὁ τὰ Παυσανίου διερμηνεύσας Ῥώμυλος Ἀμασαῖος, τὴν ἐν καταρχῇ τῆς ῥήσεως λέξιν, οὕτως ἐκφέρει: Jam vero insidentes cisto virgines duas (ἤδη δ' ἐπὶ τοῦ δίφρου καθημένας παρθένους δύω:) Ὁμήρῳ μᾶλλον, ἢ τῷ ἰδίῳ στοιχῶν συγγραφεῖ: ἀλλ' οὐδὲν διοίσει, ἐὰν τὸ κατὰ Παυσανίαν: ἐπὶ ἡμιόνων: ἀντὶ τῆς ὅλης παραληφθῇ ἀπήνης, τῆς ὑπὸ τῶν ἡμιόνων ἐφελκομένης, τοῦ μέρους δηλ: ἀντὶ τοῦ ὅλου συνεκδοχικῶς νοουμένου.

Καὶ ἑτέραν δὲ τῆς Ναυσικάας εἰκόνα, ὑπὸ Πρωτογένους γραφεῖσαν, ἐν τῷ προπυλαίῳ τοῦ ἱεροῦ τῆς Παλλάδος Ἀθήνησι κεῖσθαι, Πλίνιος ἱστορεῖ (Βιβλ: ΛΕ'. Κεφ: Ι'.) λέγων οὕτω: Fecit nobilem Paralum et Hemionida, quam quidem Nausicaam vocant.

(Ἐποίησε τὸν ἀριδείκετον Πάραλον, καὶ τὴν Ἡμιο-
„νίδα, ἣν δὴ Ναυσικάαν καλοῦσιν.) Οἱ δ' ἄλλως, ἀντὶ τῆς ἡμιονίδα φωνῆς, ἀνθυποβάλλοντες τὴν Ἑρμιονίδα, ἢ Ἀμμονίδα, ἢ Ἀμμονιάδα: (ἣν ἐγκρίνει καὶ ἡ Βαταβικὴ ἔκδοσις, σὺν ταῖς ὑπὸ διαφόρων παρασημειώσεσι·) τὸ Πλινίου ὕφος διαφθείρουσι, μὴ συνορῶντες, τὴν ἐπὶ ἀπήνης ὑπὸ ἡμιόνων ἐφελκομένης ἐφεζομένην Ναυσικάαν, καλῶς ἂν δυνηθῆναι ἡμιονίδα προσειρῆσθαι.

Τὴν δὲ τῆς ὑπὸ ἡμιόνων ἀγομένης ἀπήνης χρῆσιν, παλαιάν τε ἅμα καὶ ἐπίσημον οὖσαν ἀποδεικνὺς Γεζεκιὴλ ὁ Σπαγχέμιος, (ἐν τοῖς περὶ χρήσ: καὶ τιμιότ: τῶν παλ: Νομισμ: Διαλέξ: Η'.) εἰς δεῖγμα προύθηκε τὴν παρ' Ὁμήρῳ ἀπήνην, ἐφ' ἧς Πρίαμος (Ἰλ: Ω'.) τῷ Ἀχιλλεῖ προσήγαγε τὰ ὑπὲρ τῶν λειψάνων τοῦ υἱοῦ αὐτοῦ Ἕκτορος ἄποινα, ἤτοι λύτρα. Ἀλλ' ἦν προσφυέστερον, ἴσως, τὸ ὄχημα προθέσθαι, ἐφ' οὗ Ναυσικάα καθῆστο, Βασίλεια Κόρη, αὐτουργοῦσα τὴν ἔλασιν.

Ὡς οὖν ἐπὶ τὸν ποταμὸν ἀφίκοντο (τοῦθ' ὅπερ ἦν τῆς ὀχήσεως το σκοπούμενον:) αἱ μὲν ἀμφίπολοι,

„. . . . . . . . ἀπ' ἀπήνης
„Εἵματα χερσὶν ἕλοντο, καὶ ἐσφόρεον μέλαν ὕδωρ,
„Στεῖβον δ' ἐν βόθροισι θοῶς ἔριδα προφέρουσαι.
„Αὐτὰρ ἐπεὶ πλῦνάν τε, κάθηράν τε ῥύπα πάντα,
„Ἑξείης πέτασαν παρὰ θῖν' ἁλὸς, ἧχι μάλιστα
„Λάϊγγας ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα.

Παυσανίας (ἐν Ἀττικ:) περὶ τῦ τῆς Θέμιδος ἱερῦ λέγων, „φησὶν, ὅτι καὶ Πολύγνωτος ἔγραψε, πρὸς τῷ „ποταμῷ, ταῖς ὁμῦ Ναυσικάᾳ πλυνέσαις ἐφιςά- „μενον Ὀδυσσέα.

Ἐν δὲ τοῖς Πλυτάρχυ Συμποσιακοῖς Προβλήμασιν (Βιβλ: Α΄.) „τὸ Θ΄. τῶν Προβλημ: τοιαύτην ἐςὶν ἐπιγραφὴν ἔχον: Διατὶ „τῷ ποτίμῳ μᾶλλον ἢ τῷ θαλαττίῳ πλύνεται τὰ ἱμά- „τια; ἔνθα τις Θεμιςοκλῆς ὄνομα Στωϊκὸς, πυν- „θάνεται: δὶ ἣν αἰτίαν Ὅμηρος, ἐν ποταμῷ πλύνο̣υ- „σαν, ὐκ ἐν τῇ θαλάττῃ, καίπερ ἐγγὺς ὔσῃ, τὴν „Ναυσικάαν πεποίηκεν; (Ὅρα τὸ μνημονευθὲν πρό- βλημα:)

„. . . . Ποταμοῖο ῥόον περικαλλέ' ἵκοντο
„Ἐνθ' ἤτοι πλυνοὶ ἦσαν ἐπηετανοὶ· πολὺ δ' ὕδωρ
„Καλὸν ὑπεκπροῤέει, μάλαπερ ῥυπόωντα καθῆραι.

Ἐν ᾧ δ' ἂν τὰ πλυνθέντα ἱμάτια ταῖς ἀμφ' ἡλ'υ αὐγαῖς ἀφα- ναυθείη

„Σφαίρῃ ταί τ' ἄρ' ἔπαιζον, ἀπὸ κρήδεμνα βαλῦσαι,

Καὶ μετὰ βραχὺ δέ τι:

„Σφαῖραν ἔπειτ' ἔῤῥιψε μετ' ἀμφίπολον Βασίλεια,
„Ἀμφιπόλυ μὲν ἅμαρτε, βαθείῃ δ' ἔμπεσε δίνῃ.

Γυναῖκα δή τινα Κερκυραίαν, ᾗ ὄνομα Ἀγαλλὶς, τὴν εἰς τὸ σφαιρίζειν ἄσκησιν τῇ Ναυσικάᾳ παραδῦναι, μαρτυρεῖ Ἀθήναιος (ἐν „Βιβλ: Α΄.) Ὀρχήσεις εἰσὶ παρ' Ὁμήρῳ, αἱ μέν τινες

„τῶν Κυβιστητήρων, αἱ δὲ διὰ τῆς σφαίρας, ἧς τὴν „εὕρεσιν Α᾿γαλλὶς ἡ Κερκυραία Γραμματικὴ, „Ναυσικάᾳ ἀνατίθησιν, ὡς πολίτιδι χαρι- „ζομένη.

Εὐστάθιος ἐν τῷ σχολιογραφεῖν, προσημειώσας σφαιριστικοὺς γενέσθαι, ἐν μὲν πόλεσι κοινῇ Λακεδαιμονίους, ἐν δὲ Βασιλεῦσι τὸν μέγαν Α᾿λέ- „ξανδρον, ὑποσυνάπτει: Ι᾿διωτῶν δὲ, Σοφοκλῆς ὁ Τραγι- „κὸς· ὃς, καὶ ὅτε, φασὶ, τὰς πλυντρίας ἐδίδασκε, „τὸ τῆς Ναυσικάας πρόσωπον σφαίρᾳ παιζούσης „ὑποκρινόμενος, ἰσχυρῶς εὐδοκίμησεν.

Η῾ μὲν οὖν ἁρματηλασία, καὶ ἡ σφαιρικὴ, γενναίας τε καὶ ἀῤ- ῥενικὰς τὰς τῶν Φαιακίδων Νεανίδων παριστῶσι ψυχάς. Κοινὰ δ᾿ οὖν ἐστὶ ταύταις μετὰ τῶν ὑπολοίπων γυναικῶν, τὰ ἑπόμενα: Ναυσικάα καὶ γὰρ, περὶ Α᾿ρήτης τῆς μητρὸς αὐτῆς διεξιοῦσα πρὸς Ο᾿δυσσέα (ἐν Ζ΄. Ο᾿δυσ:) φησίν:

„. . . Η῾ δ᾿ ἧσται ἐπ᾿ ἐσχάρῃ, ἐν πυρὸς αὐγῇ
„Η᾿λάκατα στρωφῶσ᾿ ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι·
„Κίονι κεκλιμένη, δμωαὶ δέ οἱ εἵατ᾿ ὄπισθεν.

Ο᾿δυσσεὺς δέ τοι τὸ ἀνάκτορον εἰσιὼν, πεντήκοντα ἐκεῖ γύναια, περὶ μυλῶνας, καὶ ἔρια, καὶ ἱστοὺς σπουδάζοντα κατείληφεν (Ο᾿δυσ: Η΄.)

„Πεντήκοντα δέ οἱ δμωαὶ κατὰ δῶμα γυναῖκες
„Αἱ μὲν ἀλετρεύουσι μύλους ἔπι μήλοπα καρπὸν,
„Αἱ δ᾿ ἱστοὺς ὑφόωσι, καὶ ἠλάκατα στρωφῶσιν
„Η῾μεναι, οἷά τε φύλλα μακεδνῆς αἰγείροιο·
„Καιροσέων δ᾿ ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον·
„Τόσσον Φαίηκες πέρι πάντων ἴδριες ἀνδρῶν,



ΔΗΜΟΚΡΑ… ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

„ Νῆα θοὴν ἐνὶ πόντῳ ἐλαυνέμεν· ὡς δὲ γυναῖκες
„ Ἱςὸν τεχνῆσαι· πέρι γάρ σφισι δῶκεν Ἀθήνη
„ Ἔργα τ' ἐπίςασθαι περικαλλέα, καὶ φρένας ἐσθλάς.

Δύω τινὰ ἐςὶ τὰ ἐπὶ τῶν τελευταίων τέτων ἐπῶν τὲς Σχολιαςὰς ἀνασκολοπίζοντα: ἥ, τε παράθεσις δηλονότι ἐκείνη: οἷα τε φύλλα μακεδνῆς αἰγείροιο· Καὶ τὸ παραυτίκα ταύτῃ ἐγγὺς ἑπόμενον: Καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον. „ Πρὸς μὲν ἓν τὸ πρῶτον, ὅτως ὁ Δίδυμος: Οἱ μὲν, ὅτι ἡ λιοτερο- „ π λ ὴ ν τάξιν ἐπεῖχον καθήμεναι θεατροειδῶς· οἱ „ δὲ, ὅτι πεπύκνωνται τὸ δένδρον τοῖς φύλλοις. Φύλ- „ λα δὲ, ἤτοι διὰ τὸ πλῆθος, ἢ διὰ τὸ εὐκίνητον „ τῶν χειρῶν ἐν τῷ ςρέφειν τὴν κρόκην. Ὡς καὶ τὰ „ φύλλα τῆς αἰγείρε ἀντεςραμμένα ἀλλήλοις, καὶ „ εὐκίνητα ῥαδίως καὶ ὑπὸ τυχέσης αὔρας. — Τὰ δ' αὐτὰ χεδὸν καὶ Εὐςάθιος, ᾧπερ ἀρέσκει ὅτω πως παρεικασθῆναι τὰς ἀμφιπόλες διά τε τὸ εὐκίνητον, καὶ τὸ συνεχὲς τῆς αὐτῶν ἐργασίας, καὶ ἀδιάλειπτον. Εἰς δὲ δὴ τὸ δεύτερον, ὁ ῥηθεὶς Δίδυμος ἔχει: „ Ἤτοι ὅτως ἦσαν πυκναὶ αἱ ὑφαὶ, ὡς μηδὲ ἔλαιον δι' „ αὐτῶν ἐλθεῖν· ἢ ἔξωθεν ὡς ἔλαιον ἔςιλβον διὰ τὴν „ λευκότητα· ἢ τρυφεραὶ ἦσαν, ὡς δοκεῖν ἀποῤῥεῖν· „ ἢ ὅτως ἀποςίλβειν τὸν μῖτον, ὡς δοκεῖν ἔλαιον „ ἀποβάλλειν. Εἰς ταυτὸ δὲ τείνει καὶ τὰ παρ' Εὐςαθίῳ ἀναγινωσκόμενα.

# ΚΕΦΑΛ. ΙΖ΄.

Ψυχὴν δ' ἀγαθὴν ταῖς γυναιξὶ Φαιάκων τὴν Ἀθηνᾶν ἐνθέσθαι, ȣ̓ μόνον τὰ περὶ τῆς Ἀρήτης ὑπὸ Ὁμήρȣ εἰρημένα ἐμφαίνει, ἀλλὰ καὶ τὰ περὶ τῆς Ναυσικάας νῦν ἐιρησόμενα (ἐξ Ὀδυσ: Ζ΄.) τῆς αἰδοῖ παρθενικῇ περικεκοσμημένης Βασιλόπαιδος.

Ἐπειδὴ Παλλὰς τὰ περὶ τῆς Ὀδυσσέως ἐπανόδȣ ἐπὶ τὴν πατρίδα πολυωρȣ̃σα, εἰς ὑπαντὴν αὐτῷ ἐλθεῖν ᾠκονόμησε τὴν Ναυσικάαν, ταύτῃ γε ȣ̔́τως ἐντυχȣ̃σα κατ' ὄναρ προσδιελέξατο:

„Ναυσικάα, τί νυ σ' ὧδε μεθήμονα γείνατο μήτηρ;
„Εἵματα μέν τοι κεῖται ἀκηδέα, σιγαλόεντα·
„Σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
„Ἕννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν, οἵ κε σ' ἄγωνται.
„Ἐκ γάρ τοι τȣ́των φάτις ἀνθρώπȣς ἀναβαίνει
„Ἐσθλή· χαίρȣσιν δὲ πατὴρ, καὶ πότνια μήτηρ,
„Ἀλλ' ἴομεν πλυνέȣσαι . . . . . . . .

Οἷς δὴ προστίθησιν:

„. . . Οὔ τοι ἔτι δὴν παρθένος ἔσσεαι,
„Ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
„Πάντων Φαιάκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῇ.
„Ἀλλ' ἄγ' ἐπότρυνον πατέρα κλυτὸν, ἠῶθι πρὸ
„Ἡμιόνȣς καὶ ἄμαξαν ἐφοπλίσαι, ἥκεν ἄγῃσι
„Ζῶστρά τε καὶ πέπλȣς, καὶ ῥήγεα σιγαλόεντα.

„ Καὶ δέ σοι ὧδ᾽ αὐτῇ πολὺ κάλλιον, ἠὲ πόδεσσιν
„ Ἔρχεσθαι· πολλὸν γὰρ ἄπο πλυνοὶ εἰσὶ πόληος.

Ναυσικάα ἐπὶ τῷ ὀνείρατι ἐκπλαγεῖσα, ὡς αὐτίκα ἐξέγρετο, τῷ πατρὶ ἐντευξαμένη, ἐπιτρέψαι αὐτῇ ἐξητήσατο, τῇ ἐπὶ τὸν ποταμὸν ἀπελθοῦσαν τὰς ἐσθῆτας πλυνεῖν. Τά γε μὴν περὶ τοῦ γάμου αἰδημόνως ἐσίγησεν· ἔφη καὶ γάρ:

„ Πάππα φίλ᾽, οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
„ Ὑψηλὴν, εὔκυκλον, ἵνα κλυτὰ εἵματ᾽ ἄγωμαι
„ Ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
„ Καὶ δέ σοι αὐτῷ ἔοικε μετὰ πρώτοισιν ἐόντι,
„ Βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ᾽ ἔχοντα·
„ Πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
„ Οἱ δὲ, ὀπυίοντες, τρεῖς δ᾽ ἠΐθεοι θαλέθοντες·
„ Οἱ δ᾽ αἰεὶ ἐθέλουσι, νεόπλυτα εἵματα ἔχοντες
„ Ἐς χορὸν ἔρχεσθαι· τὰ δ᾽ ἐμῇ φρενὶ πάντα μέμηλεν·
„ Ὣς ἔφατ᾽, αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
„ Πατρὶ φίλῳ· ὁ δὲ πάντα νόει . . . . . . .

Καὶ αἰδῶ δὲ παρθενικὴν ἡ Ναυσικάα ἐνέφηνεν, ἡνίκα τὸ σὺν Ὀδυσσεῖ τὴν πόλιν εἰσιέναι φεύγουσα, τοιάδε προὐβάλλετο:

„ Καὶ νύ τις ἂν εἴπῃσι κακώτερος ἀντιβολήσας:
„ Τίς δ᾽ ὅδε Ναυσικάᾳ ἕπεται καλός τε μέγας τε
„ Ξεῖνος; ποῦ δέ μιν εὗρε; πόσις νύ τοι ἔσσεται αὐτῇ·
„ Ἤ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς,

,, Ἀνδρῶν τηλεδαπῶν· ἐπεὶ οὔτινες ἐγγύθεν εἰσίν.
,, Ἤ τίς οἱ εὐξαμένη πολυάρητος θεὸς ἦλθεν
,, Οὐρανόθεν καταβάς; ἕξει δέ μιν ἤματα πάντα
,, Βέλτερον, εἰ κ' αὐτή περ ἐποιχομένη πόσιν εὗρεν
,, Ἄλλοθεν· ἦ γὰρ τοὺς δέ γ' ἀτιμάζει κατὰ δῆμον
,, Φαίηκας, τοί μιν μνῶνται πολέες τε ϗ ἐσθλοί.
,, Ὣς ἐρέουσιν, ἐμοὶ δὲ κ' ὀνείδεα ταῦτα γένοιτο·
,, Καὶ δ' ἄλλῃ νεμεσῶ, εἴ τις τοιαῦτά γε ῥέζοι,
,, Ἥ τ' ἀέκητι φίλων πατρὸς ϗ μητρὸς ἐόντων
,, Ἀνδράσι μίσγηται, πρὶν γ' ἀμφάδιον γάμον ἐλθεῖν.

Καί περ ἀλλ' οὖν τοσοῦτον ὑπῆρχεν ἡ Ναυσικάα προσέχουσα, τοῦ μή τινα τῶν κακοτρόπων πολιτῶν φαῦλον τι περὶ αὐτῆς καθυπονοῆσαι, οὐδόλως γεμὴν ἐνέλιπον οἱ εἰς ἀναίδειαν τρέψαντες ἣν εὐχὴν ηὔξατο, ἑαυτῆς πόσιν ἐφιεμένη τοῦ Ὀδυσσέως τυχεῖν:

,, Αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
,, Ἐνθάδε ναιετάων, ϗ οἱ ἅδοι αὐτόθι μίμνειν.

Ἀλλ', ἐντεῦθεν οὖν πάντη ὁ Πλούταρχος τῆς βασιλείου κόρης κατα-
,, ψηφίζεται, διαιρέσει χρησάμενος τοιᾷδε: Εἰ μὲν ἡ Ναυσικάα
,, ξένον ἄνδρα τὸν Ὀδυσσέα θεασαμένη, ϗ πα-
,, θοῦσα τὸ τῆς Καλυψοῦς πάθος πρὸς αὐτόν, ἅτε
,, δὴ τρυφῶσα, ϗ γάμων ὥραν ἔχουσα, τοιαῦτα
,, μωραίνει πρὸς τὰς θεραπαινίδας, ψεκτέον τὸ
,, θράσος αὐτῆς, ϗ τὴν ἀκολασίαν. Εἰ δὲ τοῖς λό-
,, γοις τοῦ ἀνδρὸς τὸ ἦθος ἐνιδοῦσα, ϗ θαυμάσα-
,, σα τὴν ἔντευξιν αὐτοῦ πολὺν νοῦν ἔχουσαν, εὐχε-

„ται τοιέτῳ συνοικεῖν μᾶλλον, ἢ πλωτικῷ τινι, καὶ
„ὀρχηστικῷ τῶν πολιτῶν, ἄξιον ἀγαθαι.

Οὐκ οἶδ' ὅθεν ὁ Πλέταρχος ἔχεν ἡγήσαθαι, τὴν Ναυσικάαν ἐκ τῆς ἐντεύξεως τὸ εὐφυὲς τῦ ἀνδρὸς ἐπιγνῦσαν, καὶ τὸ ἔχέφρον ἐπαγασαμένην τῶν λόγων τῷ Ὀδυσσεῖ προσεκκαῆναι· ὁπότε ταύτην ἐκ τῆς ὥρας τῦ σώματος ἐκεῖνυ ἁλῦσαν, προδήλως ἐμφαίνει τὰ ἡγησάμενα τῶν ἐπῶν, ἐν οἷς ἀναγινώσκεται περὶ τῦ Ὀδυσσέως:

„Αὐτὰρ ἐπεὶ πάντα λοέσσατο, καὶ λίπ' ἄλειψεν,
„Ἀμφὶ δ' εἵμαθ' ἕσσαθ' ἅ οἱ πόρε παρθένος ἀδμής,
„Τὸν μὲν Ἀθηναίη θῆκεν, Διὸς ἐκγεγαυῖα,
„Μείζονά τ' ἐσιδέειν, καὶ πάσσονα, καδ δὲ κάρητος
„Οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.

Ἐχομένως δὲ:

„Ἕζετ' ἔπειτ' ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης
„Κάλλει καὶ χάρισι ςίλβων· θηεῖτο δὲ κέρη.

Τὸ τοίνυν τῦ σώματος γάνος, ἐκεν τὸ ἐπὶ τῆς ἐντεύξεως φρενήρες τὸν Ὀδυσσέως, πόθον τῇ Ναυσικάᾳ ἐνέςαξεν. Ἐφ' ᾧ δὲ μὴ ἀπαιδείας ἀγαγεῖν ὑπ' εὐθύνην, τοῖς ὑπὸ τῆς παιδὸς εἰρημένοις προσέχωμεν, δι' ὧν τό τε κάλλος καὶ τὴν χάριν τῦ σώματος, τὴν συνημμένην θειοτέρῳ τινὶ ψυχῆς παραςήματι ἀγαθῆναι τὸν Ὀδυσσέα, αὐτὴ μαρτύρεται;

„Οὐ πάντως ἀέκητι Θεῶν, οἳ ὄλυμπον ἔχεσι,
„Φαιήκεσσ' ὅδ' ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισι.

„ Πρόσθεν μέν γὰρ δή μοι ἀεικέλιος δέατ' εἶναι,
„ Νῦν δὲ Θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.

Εἰκὸς οὖν ἐκ τῆς σωματικῆς καλλονῆς, τὸ τῆς ψυχῆς εὐφυὲς τὴν Ναυσικάαν φάναι τεκμηριώσασθαι, ὡς καὶ αὐτὴν περὶ τοῦ Ὀδυσσέως εἰπεῖν δυνηθῆναι, ὃ καὶ τὴν Ἀρήτην περὶ αὐτοῦ εἰρηκυῖαν εὑρίσκομεν. (Ὀδυσ: Λ'.)

„ Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅγε φαίνεται εἶναι,
„ Εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας;

Παντὸς οὖν οὕτως ἀναιδείας μώμου τῆς Ναυσικάας ἀπολυθείσης, τοσούτῳ μείζονος ἀξία θαύματος ἡ ἁγνεία παρίσταται, ὅσῳ γε δὴ καὶ μᾶλλον ἐπηγλαΐζετο, ἐπισήμως συνημμένη τῇ ὡραιότητι. Ἦν γὰρ, ὡς ἐν καταρχῇ τῆς Ζ'. Ὀδυσ: γέγραπται:

„ . . . . Ἀθανάτῃσι φυὴν καὶ εἶδος ὁμοίη.

Αὐτῇ δ' Ὀδυσσεὺς ἐντυχὼν, οὑτωσὶ τὸ κάλλος ἐξαίρει:

„ Γουνοῦμαι σε Ἄνασσα· Θεός νύ τις, ἦ βροτός ἐσσι;
„ Ἠ μέν τις Θεὸς ἐσσὶ, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
„ Ἀρτέμιδι ἔγωγε Διὸς κούρῃ μεγάλοιο,
„ Εἶδός τε, μέγεθός τε, φυήν τ' ἄγχιστα ἐΐσκω.
„ Εἰ δέ τις ἐσσὶ βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσι,
„ Τρισμάκαρες μὲν σοίγε πατὴρ καὶ πότνια μήτηρ,
„ Τρισμάκαρες δὲ κασίγνητοι· μάλα πού σφίσι θυμὸς
„ Αἰὲν ἐϋφροσύνῃσιν ἰαίνεται εἵνεκα σεῖο,

„ Λευσσόντων τοιόνδε θάλος χορὸν εἰσιχνεῦσαν·
„ Κεῖνος δ' αὖ πέρι κῆρι μακάρτατος ἔξοχον ἄλλων,
„ Ὅς κε σ' ἐέδνοισι βρίσας οἶκον δ' ἀγάγηται.
„ Οὐ γάρ πω τοιοῦτον ἴδον βροτὸν ὀφθαλμοῖσιν
„ Οὔτ' ἄνδρ', οὔτε γυναῖκα, σέβας μ' ἔχει εἰσορόωντα.

Μικρὸν δὲ πρόγε τούτων, Ναυσικάαν σὺν ταῖς ἀμφιπόλοις σφαιρίζουσαν, τῇ Ἀρτέμιδι κατὰ θήραν μετὰ τῶν Νυμφῶν ἐνασχολουμένῃ ὁ Ποιητὴς παρετίθετο. Αὕτη δ' ἐστὶν ἡ παράθεσις, ἣν οὐκ ἐῤῥωμένως ἀπομιμήσασθαι ἔδοξεν Οὐαλερίῳ τῷ Πρόβῳ (ὥς οἱ ἐκείνῳ μαθητιῶντες Αὔλῳ παρέδωκαν τῷ Γελλίῳ) Οὐΐργίλιος, τῇ αὐτῇ Ἀρτέμιδι τὴν Διδῶ παραβάλλων: Et quoniam de transferendis ſententiis loquor, memini audiſſe me ex Valerii Probi diſcipulis, docti hominis, et in intelligendis penſitandisque veteribus ſcriptis bene callidi, ſoliti eum dicere, nihil quicquam tam improſpere Virgilium ex Homero vertiſſe, quam verſus hos amoeniſſimos, quos de Nauſicaa Homerus „fecit. (Ἐπεὶ δὲ περὶ ἐννοιῶν μετακομίσεως πρόκειταί μοι λόγος, μέμνημαι δήποτε ἀκηκοὼς, „τῶν παρὰ Οὐαλερίῳ μαθητιόντων τῷ Πρόβῳ, „ἀνδρὶ σοφῷ, καὶ τὰ ὑπὸ τῶν παλαιοτέρων συγ„γραφέντα συνιέναι τε, καὶ ταλαντεύειν ἐμπειρο„τάτῳ, ὡς λέγειν οὗτος εἰώθει, μηδέν τι οὕτως „ἀπροσδιονύσσως τὸν Οὐΐργίλιον ἐκ τῶν Ὁμηρι„κῶν μεταφράσασθαι, ὡς τὰ ἔπη τάδε τὰ κάλ„λιστα, ἃ περὶ Ναυσικάας Ὅμηρος ἐποίησεν.) Οὕτω Γέλλιος ἐν Βιβλ: ΙΑ'. Κεφ: Θ'. Εἶτα καὶ τὰ ἔπη προτιθέμενος, τά τε Ὁμηρικὰ, καὶ τὰ Οὐϊργιλιακὰ: κἀκείνων ταῦτα πολλῶν ἕνεκα μακρῷ ἐνδεέστερα εἶναι διατεινόμενος, τελευταῖον τοῖς δὲ τοῖς

ῥήμασι τὸ Κεφάλαιον ἐπισφραγίζει: Praeter ista omnia, florem istius totius loci videri Virgilium omisisse; quid hunc „Homeri versum exigue secutus est. (Παρὰ ταῦτα „πάντα, τὸ ἄνθος τοῦδε κομιδῇ τοῦ χωρίου ἐοικέ-„ναι, φησὶ, τὸν Μάρωνα παραλελοιπέναι, τῷ „Ὁμηρικῷ τῷδ' ἔπει ἔλαττον παρακολουθήσας).

„Ῥεῖα δ' ἀριγνώτη πέλεται· καλαὶ δέ τε πᾶσαι.

Quando nulla major, cumulatiorque pulchritudinis laus, quam quod una inter omnes pulchras excelleret, una „facile ex omnibus nosceretur. (Ὁπότε οὔτις ἐστὶν „ὡραιότητος ἔπαινος μείζων, ἢ ὅτι μία μέσον „ὡραίων ὑπέρκειταί τε καὶ ὑπερῆρεν ἐν ἁπάσαις „γνωριζομένη.) Μέτιθι Ἰούλιον Καίσαρα Σκαλίγερον, ἐν τῇ Ποιητικῇ τέχνῃ (Βιβλ: Ε'. Κεφ: Γ'.) τὸν τὰ Ὁμηρικὰ καὶ Οὐϊργιλιακὰ ἔπη, ἐπὶ τῆς δε τῆς παραθέσεως διεξοδικώτερον παρεξετάζοντα. καί γε ὑπὲρ τῶν Οὐϊργιλιακῶν, ἧπερ αὐτῷ σύνηθες, σφοδρότατα ὑπεραγωνιζόμενον.

Τελευταῖον δὲ (Ὀδυσ: Θ'.) ὁ Ποιητὴς ἀπονέμει τῇ Ναυσικάᾳ κάλλος τι θεῖον·

„. . . . Ναυσικάα δε, Θεῶν ἄπο κάλλος ἔχουσα.

Ἄχρι δὴ τοῦδε τὰς Κερκυραίων ἀρχαιολογίας ἐξ Ὁμήρου διῆλθον· ὧν περὶ τὴν ἐξίχνευσιν ἡ Ἀνδρέου τοῦ Μαρμαρᾶ ἱστορία οὐδὲν ἐμοὶ ἐπιβοήθημα προσενείκατο· ὥστε καὶ τοὐναντίον, εἴπου καὶ τῇ ἐκείνου ἐκδιηγήσει ἐπεβαλόμην πιστεῦσαι, βαρύτατά μοι ἐξαμαρτήσεσθαι πέπρωτο. ἐν γὰρ τῷ τοιῷδε συγγράμματι, τοσάγε ἁπαντᾷ διημαρτημένα, ὅσα μικροῦ δεῖν εἰρημένα. Διέξεισιν αὐτὸς ἐπὶ τῆς ἐν Κερκύρᾳ χαράδρας τὸν Ὁ-

δυσσέα συν πάσαις αὐτῦ ταῖς ναυσὶ ναυαγῆσαι. Τὴν τῆς Τρωϊκῆς ἁλώσεως ἱςορίαν πολλάκις Ἀλκινόῳ αἰτησαμένῳ ἐπανειληΦέναι. Περὶ Ἐχενῆος τῦ Κερκυραίων ςρατηγῦντος ἐπὶ Τροίας, ὅτι Ἕκτορός τε καὶ Ἀχιλλέως τῇ ἰχύϊ ὃ δεύτερος ὤφθη, αὐτῦ Ὀδυσσέως ἀνακηρύττοντος, δάκρυα τῷ Ἀλκινόῳ ἀπ' ὀφθαλμῶν ἀπέῤῥει. Ναυσικάαν πρὸς Ἀλκινόυ τῷ Ὀδυσσεῖ μνηςευθῆναι, καὶ ἐν μὲν Κερκύρᾳ τὺς γάμυς ἐκτελεσθῆναι, συνάμα δὲ τῇ γαμετῇ τὸν Ὀδυσσέα ἐπὶ Ἰθάκης τῆς ἰδίας πατρίδος ἐπανελθεῖν· ἐν οἷς περ ἅπασιν ἀπὸ τῶν Ὁμήρυ διηγημάτων, ὐδ' ἔςι Φᾶναι, ὅσον ὁ Μαρμαρᾶς ἐκπεπλάνηται· μᾶλλον δὲ καὶ τῶν παλαιῶν ξυγγραφέων ἁπαξαπάντων, ὐδ' ἑνὸς γῦν Φερομένυ, (ἢ αὐτὸς εἰμὶ ἐν ἀπάτῃ ἐγὼ·) ὃν ἄν τις ἐξέλοιτο. Διὸ, ὐδὲ τῶν νεωτέρων οἶμαι τὶς εὑρεθήσεται, ὃς ἂν ἐπὶ τῶν τοιύτων πλασμάτων ἡγεμὼν τῷ Μαρμαρᾷ γένοιτο. Τὴν τοίνυν ναυαγίαν ἐκείνην, τὴν Ἐχενῆος ςρατηγίαν, τὰ Ἀλκινόυ δάκρυα, τὺς Ναυσικάας γάμυς, αὐτὸν εἰκαίως ἐπινενοηκέναι τὸν Μαρμαρᾶν, διπλάσια ἀνθ' ἁπλῶν, αὐτὸς ἂν ἐγὼ ςήσαιμι.

Ῥᾶον ἄν τις τῶν ἀναγινωσκόντων, δίκαια κρίνων, τῷ ἀσκητῇ συγγνοίη τῷ νέῳ, τῷ Συλλέκτορι τῦ πίνακος (ὃν Βερνάρδος ὁ Μοντφαυκώνιος ἐν τῇ Κοϊσλιανῇ Βιβλιοθήκῃ κατὰ τὴν αὐτῷ σύνηθη ἀκριβῆ ἐπιμέλειαν κατελέξατο.) Ὅτι Ἀλκινόῳ τῷ Φαιάκων Ἄνακτι τῷ υἱῷ Ναυσιθόυ, τὴν ἔςιν ὃ, τῦ Ἀλκινόυ Πλατωνικῦ ἀνδρὸς πραγματείαν, (τὴν περὶ τῶν Πλάτωνος δογμάτων ἐπιγραφεῖσαν) Φέρων ἀνέθηκε. Καὶ τυτὶ μὲν τὸ ἁμάρτημα πρέπτον. ὁ γὰρ Συγγραφεὺς ἐκεῖνος, κατ' ἀρχὰς τῆς δευτέρας τῶν ἀπὸ Χριςῦ τῦ Σωτῆρος ἐνιαυτῶν ἑκατοςύος ὑπὸ τῶν Σοφωτέρων ἀνάγεται, τριακοσίοις πυ δηλονότι ἐπὶ τοῖς χιλίοις ἔτεσι, τῦ Φαιακίυ Ἀλκινόυ ὕςερος γεγονώς. Καὶ εἴτε ἐξ ἀπαιδευσίας (ὃ μόλις ἂν πιςεύσαιμι) εἴτ' ὖν, καὶ ἐκ τῆς ἄγαν κατεσπευσμένης χειρὸς τῦ γράφοντος: (οἷα πυ καὶ ἐξ ἄλλων Φαίνεται τῶν μὴ καλῶς κειμένων ἐπὶ τῦ αὐτῦ Πίνακος.) Τόγε ἐξαμαρτηθὲν τῦτο, κῦφον ὁπωσῦν ἀναφαίνεται παρὰ τὰ ψεύδη παρακρινόμενον, ὧν ἔμπλεως ἐςὶν ἡ Ἀνδρέυ τῦ Μαρμαρᾶ διήγησις. Ὅτι δὲ ἄρα ὑπὸ τῦδε

τῦ Συγγραφέως, σύμπαντες οἱ τῆς ἀληθῦς ἱςορίας ὅροι ἄνω τε καὶ κάτω πεποίηνται παρεκτὸς τῶν ἐς τόδε φθασάντων εἰρῆσθαι, ἐκ περιυσίας δεῖξει καὶ τὰ καθεξῆς εἰρησόμενα· ὥςε μὴ αὐτὸν τὴν ἱςορίαν τῆς Κερκύρας, ἀλλὰ τῦς Ἀλκινόυ τῷ ὄντι ἀπολόγυς, τοῖς Κερκυραίοις δικεῖν ἐπιβαλέσθαι συντάξαι, καὶ τὴν Γ'εβεναλίυ χολὴν δεόντως καθ' ἑαυτῦ ἐπισπάσασθαι.

Tam vacui capitis populum Phaeaca putavit?

„Τῶς οἱ Φαιήκων κενεὸν κάρα δόξε φρενῶν γε; )

## ΚΕΦΑ'Λ. ΙΓ'.

Ὅτε Ὀδυσσεὺς ἀπὸ Κερκύρας ἀπῆρε, τότε δὴ καὶ Αἰνείας, ἀκτὰς παραμείβων τὰς Φαιακίυς, μετὰ τὸν ἐμπρησμὸν τῆς αὐτῦ πατρίδος, ἐπὶ γαίας μετανας εύων μακρὰν ἀποκειμένας, μετὰ ςόλυ νηῶν δυεῖν ἐπὶ εἴκοσι. Πλέων δὲ, καὶ εἰς τὴν Ἤπειρον προσωρμίσατο, ἔνθα πρὸς Ἑλένυ κατὰ ξενίαν ὑποδοχῆς ἔτυχεν. Αὐτὸς ἐςὶν Αἰνείας, ὁ παρὰ Ὀυϊργιλίῳ ἐν Βιβλ: Γ'. τῆς Αἰνειάδος τὰ κατ' αὐτὸν ὅτω διεξιών:

Protinus aërias Phaeacum abſcondimus arces,
Littoraque Epiri legimus, portuque ſubimus
Chaonio, et celſam Buthroti aſcendimus urbem.
Hic incredibilis rerum fama occupat aures;
Priamidem Helenum Grajas regnare per urbes,
Conjugio Aeacidae Pyrrhi, ſceptrisque petitum,
Et patrio Andromachen iterum ceſſiſſe marito.

Ἅτινα δὴ ὅτως ἔχει καὶ Ἑλληνιςὶ ἐκφερόμενα:

„ Αὐτίκα ἠερίους Φαιήκων κρύπτομεν ἄκρας,
„ Ἀκτάς τ' Ἠπείρου παραμείβομεν· αὐτὰρ ἐν ὅρμῳ
„ Χαονίῳ κέλσαντες, ἀνείρπομεν ὑψικάρηνον
„ Βουθρωτοῖο ἀν' ἄστυ, ἀλιζόνου ἐπὶ πέτρης.
„ Ἔνθ' οὐ πιστή τις φάτις, αἶψα πρὸς οὔασι βάλλεν
„ Πριαμίδην Ἕλενον πόλεσ' Ἑλλήνων ἐπιάρχειν·
„ Πύρρου τ' Αἰακίδου ἄλοχον, καὶ σκῆπτρα λαχόντα,
„ Ἀνδρομάχην πατρίῳ τ' αὖ κληρωθῆναι ἀκοίτην.

Καὶ μετὰ βραχέα:

. . . . . . . sese a moenibus Heros
Priamides multis Helenus comitantibus affert;
Agnoscitque suos, laetusque ad moenia ducit.

„ . . . . . Εὖ τ' ἐκ τειχῶν ἄστεος Ἥρως
„ Πριαμίδης Ἕλενος, πολλοῖς σὺν ὀπάοσιν ἐλθὼν
„ Ἔγνω τ' οἰκείους, χαίρων τ' ἀνὰ τείχε' ἐπῆγεν.

Ἀλλ' ἰδοὺ παρ' αὐτὸ οἷον τὸ Ἀνδρέου τοῦ Μαρμαρᾶ πλάσμα ἡμῖν προσαντᾷ. Τὸν Ἕλενον οὗτος καθιστορεῖ, ἐπὶ τὴν Κασσιόπειαν ἀκτὴν τῆς Κερκύρας καταίραντα θύειν ἐπιβαλέσθαι· τὴν δὲ βοῦν τῷ αὐχένι πληγεῖσαν ἐν ᾧ ἔμελλε θύεσθαι τὰς ἱερέων ἀπεκφυγεῖν χεῖρας, καὶ τὸ θαλάσσης κῦτος διανηξαμένην, ἐπὶ τὴν ἀντίπεραν χέρσον ἐξικέσθαι. Τὸν δὲ Ἕλενον ἐπιδιώξαντα παρὰ χρῆμα, ἐπὶ τῶν θινῶν τῆς Ἠπείρου τὴν βοῦν ἐκπνέουσαν κατειληφέναι, κἀνταῦθα δὴ πόλιν τὸ Βουθρωτὸν κτίσαντα, τὴν βασιλείαν ἑαυτῷ καθιδρύσασθαι. Ἀλλὰ γὰρ τὸν Ἕλενον πλέοντα ἐπὶ Κερκύρας καταίρειν, οὐδαμοῦ γέγραπται.

„ Στέφανος δὲ ὁ Βυζάντιος τὸ γεγονὸς ἔτω διέξεισι: Βȣθρωτὸς
„ Χερρόνησος περὶ Κέρκυραν. Ἐςὶ καὶ πόλις. Ἐκ-
„ λήθη δέ, οἱ μὲν φασὶν, ἀπὸ τȣ̃ οἰκιςȣ̃. Οἱ δὲ
„ μυθεύονται, ὅτι Ἑλένῳ ἐκ Τροίας πλέοντι εἰς
„ ἑσπέραν, θύσαντι ἀποβατήρια ἐν Ἠπείρῳ, τὸ
„ θῦμα, ἡ βȣ̃ς ἀποδράσασα ἐκ τȣ̃ βȣπλῆγος, ᾤχε-
„ το φεύγȣσα διὰ τȣ̃ μεταξὺ πόντȣ εἰς τὸν κόλ-
„ πον, καὶ ἐς τὴν χέρσον ἐμβᾶσα, (καὶ γὰρ τρῶ-
„ μα ἐν τῇ δειρῇ εἶχεν.) αὐτȣ̃ ἤριπε καὶ ἔθανε, καὶ
„ κληδόνι Ἕλενος χρῆται· ἵνα ἔθηκε Βȣθρωτὸς ὄνομα,
„ ὡς φησὶ Τεῦκρος ὁ Κυζικηνός. Ταῦτα δὲ καὶ ὁ Συγγραφεὺς
ἔχει τȣ̃ μεγάλȣ ἐτυμολογικȣ̃, ἐκ τȣ̃ αὐτȣ̃ Τεύκρȣ τȣ̃ Κυζικηνȣ̃. Οὐκ οἶδ' ἄρ' ὁπόθεν τῷ Μαρμαρᾷ κατὰ νȣ̃ν ἐπῆλθεν, εἰς Κέρκυραν πρότερον καταίραντα τὸν Ἕλενον, κἀκεῖ θύειν τὰ ἀποβατήρια ἐπιχειρȣ̃ντα, ἐξιςορῆσαι. Ἀλλὰ περὶ τὰ ὑπὸ τȣ̃ Συγγραφέως τȣ́τȣ λεγόμενα, συχνότατά μοι συμβαίνει, τȣτί με καὶ μόνον εἰδέναι, ὅτι ȣ̓δὲν οἶδα.

Τὰς Αἰνείȣ νῆας, τὰς εἰς εἴδη Νυμφῶν μεταμορφωθείσας, τὸν σκόπελον ἡ Ναῦς Ὀδυσσέως μετεπεποίητο θεασαμένας, γεγηθείας ἐπασμενίσασθαι γράφει Οὐίδιος ἐν τῷ ΙΔ΄. Βιβλ: τῶν Μεταμορφώσεων.

Neritiae que ratis viderunt fragmina lactis
Vultibus, et laetae videre rigeſcere puppim,
Cautibus Alcinoi, ſaxum que increſcere ligno.

„ ( Νηριτίȣ νηός τε ἐσεῖδον θραύσματα φαιδραῖς
„ Ὄψεσι, καὶ γήθȣσ' ὥρων ῥιγόȣσαν πέτραις
„ Πρύμνην Ἀλκινόȣ, αὔξοντά τε λᾶν ἐνὶ δȣ́ροις.)

Περὶ δὲ δὴ τȣ̃ τοιȣ́τȣ σκοπέλȣ, ȣ̃ πλέον ἢ ἅπαξ ἐμνήσθημεν, ȣ̓ παραλειπτέον ὧδε, τὸ παρὰ Προκοπίῳ (ἐν τοῖς περὶ τȣ̃ Γοτθικȣ̃

Πολέμε Βιβλ: Γ΄. Κεφ: 27.) ἐν ἀμφισβητησίμοις ἀνακαλέμενον:

Εἰ τὸ ἐν εἴδει Νηὸς παρὰ τὰς ἀκτὰς τῆς Φαιακίας ὁρώμενον νησίδιον, τὴν Ναῦν παρίςησι, τὴν Ὀδυσσέα ἐπὶ Ἰθάκης διαπορθμεύσασαν; φησὶ γάρ: „Τὸ πλοῖον ἀμέλει, ὅπερ ἐν γῇ τῇ Φαιακίδι, „ἐκ λίθε λευκε πεποιημένον παρὰ τὴν ταύτη „ἀκτὴν ἕςηκεν, ἐκείνην τινὲς εἶναι τὴν Ναῦν οἴονται, ἢ τὸν Ὀδυσσέα ἐς τὴν Ἰθάκην ἐκόμισεν, ἡνίκα ξεναγεῖσθαι αὐτὸν ἐνταῦθα ξυνέβη, καίτοι ἐ μονοειδὲς τὸ πλοῖον τἔτ᾿ ἐςὶν, ἀλλ᾿ „ἐκ λίθων ὅτι μάλιςα πολλῶν ξύγκειται· ᾗ γράμ„ματα ἐν αὐτῷ ἐγκεκόλαπται. Καὶ διαῤῥήδην βοᾷ, „τᾶν τινα ἐμπόρων ἐν τοῖς ἄνω χρόνοις ἱδρύσα„σθαι τὸ ἀνάθημα τἔτο Διὶ τῷ Κασίῳ. Δία γὰρ Κάσιον „ἐτίμων ποτὲ οἱ τῇδε ἄνθρωποι. Ἐπεὶ καὶ ἡ πόλις, „ἐν ᾗ τὸ πλοῖον τἔτο ἕςηκεν, ἐς τόν δε χρόνον, Κασ„σιώπη ἐπικαλεῖται.

Ὁ αὐτὸς δ᾿ αὐτόθι Προκόπιος, καὶ περὶ σκυλαίε διεξιὼν τἔ ἄςεως, καὶ λῆρον εἶναι δεικνὺς τὸ αὐτόθι γυναῖκα θηριώδη τινὰ παροικῆσαι: Τὸ γὰρ ὄνομα (φησὶ) τἔ Σκυλαίε εἴληπται, ἐκ τἔ πολλὲς ἐν ἐκείνῳ τῷ πορθμῷ ἰχθύων σκύλακας (ἤτοι κύνας θαλασσίες) ἐμφιλοχωρεῖν. Προςίθησι δὲ, ὡς ἐν ἀρχῇ μὲν σύμφωνα τοῖς πράγμασιν εἰώθει ἐπιτίθεσθαι τὰ ὀνόματα. Περιφερομένων δ᾿ ἐφεξῆς τέτων καὶ παρ᾿ ἄλλοις ἀνθρώποις ἐξ ἀγνοίας τἔ ἀληθἔς, ἀπάτας ταῖς τῶν ἀγνοἔντων ψυχαῖς ἐναπογεννᾶσθαι· καὶ τἔ χρόνε προϊόντος, εἰς μῦθον ἀποκαθίςασθαι τὲς ποιητὰς ἐπιμαρτυρἔντας εὑρίσκοντα, οἷς τισι τὸ μυθολογεῖν προσηκόντως ἡ τέχνη ἐνδίδωσιν. Εἰς δὲ παράδειγμα τέως τἔ συμβαίνοντος, τὴν τῆς Κυνὸς κεφαλῆς,

„ἐπὶ τῦ Κερκυραϊκῦ Ἀκρωτηρίȣ ἐπωνυμίαν, ὁ Προκόπιος ἐπεισάγει. Ταῦ-
„τα τοι (λέγων) ἐν παλαιῦ μὲν ὠνόμασαν οἱ Ἐπιχώριοι,
„Κυνὸς κεφαλὴν ἄκραν τὴν μίαν Κερκύρας τῆς Νή-
„σȣ, ἣ πρὸς ἀνίσχοντα ἥλιον ἐςὶν. Ἄλλοι δὲ ἀπ' αὐτῦ Κυνο-
„κεφάλȣς τινὰς εἶναι βȣ́λονται τȣ̀ς τῇδε ἀνθρώπȣς.

Τελευταῖον δὲ (ὡς ἂν καὶ τόδε προσθείην·) λόγον ὁ Προκόπιος καθισὰς περὶ τῦ Ναυτικῦ ςόλȣ, ᾧ δὴ Τοτίλας ἀπὸ τῦ Σικελικῦ πορθμῦ ἄχρι Κερκύρας πλεύσας μηδὲν ἐδυνήθη διαλυμήνασθαι, καὶ „τὴν αἰτίαν, ἀποδιδȣ̀ς ὕτω φησὶ: Νῆσον γὰρ ȣ̓δεμίαν ἐν τῷ „δε τῷ διάπλῳ οἰκȣμένην ξυμβαίνει εἶναι, ἐκ τῦ κα- „τὰ τὴν Χάρυβδιν πορθμῦ μέχρις ἐς τὴν Κέρκυ- „ραν· ὥςε πολλάκις ἐγὼ ἐνταῦθα γενόμενος διηπο- „ρȣ́μην, ὅπȣ ποτε ἄρα τῆς Καλυψῦς ἡ Νῆσος εἴη; „ταύτης γὰρ τῆς θαλάσσης ȣ̓δαμῇ νῆσον τεθέ- „μαι, ὅτι μὴ τρεῖς, ȣ̓ πολλῷ ἄποθεν τῆς Φαιακίδος, „ἀλλ' ὅσον ἀπὸ ςαδίων τριακοσίων, ἄγχιςά πη ἀλ- „λήλων ȣ̓́σας, βραχείας κομιδῇ, καὶ ȣ̓δὲ ἀνθρώπων „ἐχȣ́σας οἰκίας, ȣ̓δὲ ζώων, ȣ̓δὲ ἄλλων τὸ παράπαν „ȣ̓δέν. Ὀθονοὶ δὲ τὰ νῦν καλȣ̃νται αἱ Νῆσοι αὗται. „Καὶ φαίη ἄν τις τὴν Καλυψῶ ἐνταῦθα γενέσθαι, „καὶ ἀπ' αὐτῦ τὸν Ὀδυσσέα, γῆς τῆς Φαιακίδος „ὄντα ȣ̓ πολλῷ ἄποθεν, ἢ σχεδίᾳ (ὥς φησὶν Ὅμηρος) „ἢ ἄλλῳ τῷ τρόπῳ, νηὸς τινὸς χωρὶς, ἐνθένδε δια- „πορθμεύσασθαι.

Ἡ τῶν εἰρημένων ὅμως Νήσων ἀπὸ τῆς Φαιακίδος βραχεῖα ἀπό-ςασις, τῇ εἰκασίᾳ ἀντιτείνει τῦ προκοπίȣ, ὅσα ἀνήκει τῇ περὶ τῆς Καλυψῦς Νήσȣ. Ἐντεῦθεν καὶ γὰρ, ȣ̓ρίȣ πνέοντος, Ὀδυσσεὺς ἀπάρας (Ὀδυσ: Ε΄.)

„ Ἑπτακαίδεκα μὲν πλέεν ἤματα ποντοπορεύων
„ Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
„ Γαίης Φαιήκων . . . . . . . .

## ΚΕΦΑΛ. ΙΘ'.

Ἔξω γενόμενοι τῶν τῆς ποιητικῆς Μυθολογίας ἀδύτων, ἀπαντῶμεν τοῖς ἐκ Κορίνθου ἐπὶ Κερκύρας ἀποίκοις, ὑπὸ τῇ Χερσικράτους ἡγεσίᾳ ἐξωστρακισμένοις. Περὶ δὲ δὴ τοῖς ἀποικίας ταύτης ὁ Στράβων διέξεισιν ἐν „Βιβλ: ς'. Πλέοντα τὸν Ἀρχίαν εἰς τὴν Σικελίαν „καταλιπεῖν μετὰ μέρους τῆς στρατείας τοῦ τῶν „Ἡρακλειδῶν γένους Χερσικράτην, συνοικιοῦντα „τὴν νῦν Κέρκυραν καλουμένην, πρότερον δὲ Σχε„ρίαν· Ἐκεῖνον μὲν οὖν ἐκβαλόντα Λιβυρνοὺς κατέ„χοντας οἰκῆσαι τὴν Νῆσον. Συμφώνως δὲ περὶ τούτου καὶ ὁ Σχολιογράφος Εὐστάθιος, (ἐν τῷ τοῦ περιηγητοῦ Διονυσίου ποιήματι, „ὅπερ οὐχ ἅπαξ ἐμνήσθημεν·) Κορινθίων ἀποικία ἐστὶν ἡ „Κέρκυρα· Συνᾴδει δ' ἐν τούτῳ καὶ Κόνων, ἐν Διηγήματι Γ'. παρὰ „Φωτίῳ: Ὕστερον δὲ ἐπῴκισαν αὐτὴν μοῖρα Κοριν„θίων, καὶ τότε εἰς Κερκύραν μετέβαλεν. Αὐτὸ δὲ τοῦτο καὶ Θουκυδίδης πολλαχοῦ διδάσκων ἐστὶ, περὶ οὗ κατωτέρω.

Χερσικράτην δὲ ἐκ τῶν Βακχιαδῶν γενέσθαι μανθάνομεν ἐξ Ἀπολλωνίου τοῦ Ῥοδίου, ὡς καὶ τοῦ εἰς τὰ τούτου Σχολιογραφήσαντος, τὸν τοῦ ἀποικισμοῦ διδασκόμεθα χρόνον. Ὁ μὲν γὰρ (ἐν τῷ Δ'. τῶν Ἀργοναυτικῶν) περὶ τῶν Κόλχων γράφων, τῶν ἐν Κερκύρᾳ ὑποδοχῆς τυχόντων, αὐτοῦ, φησὶ, τοῖς Φαίαξιν ἐκείνους συνοικισθῆναι.

„ Εἰς ὅτε Βακχίαδαι γενεὴν ἐφύρηθεν ἰόντες
„ Ἀνέρες ἐνάσσαντο μετὰ χρόνον· οἱ δὲ περαίην
„ Νῆσον ἔβαν, κεῖθεν δὲ Κεραύνια μέλλον Ἀβάντων
„ Οὔρεα, Νεσαίους τε καὶ Ὤρικον εἰσαφικέσθαι.]

Ὁ δέ τοι Σχολιογράφος: Βάκχιας (λέγει) ἐγένετο υἱὸς „Διονύσου· ἐν Κορίνθῳ δὲ διέτριβεν· ἦσαν δὲ εὐγε-„νέστατοι οἱ ἀπ' αὐτοῦ τὸ γένος ἕλκοντες, οἵτινες „ἐξεβλήθησαν ἐκ Κορίνθου διὰ τὸν Ἀκταίωνος θά-„νατον: (εἶτα τὴν ἔξωσιν διελθὼν προστίθησι:) Χερσικράτης δὲ „εἷς τῶν Βακχιαδῶν ἔκτισε Κέρκυραν ἐκβαλὼν τοὺς ἐνοικοῦν-„τας Κόλχους. (ὅσα δέ γ' ἐπὶ τὸν χρόνον ἀνήκει, τὴν ἐκ Τιμαίου μαρτυρίαν „προσβάλλεται.) Τίμαιος δὲ φησὶ, μετὰ ἔτη ἑξακόσια τῶν „Τρωϊκῶν, Χερσικράτη ἀπόγονον τῶν Βακχιαδῶν, „εἴτε ἐκπεσόντα τῆς Κορίνθου, εἴτε καὶ ἑκόντα, „ἀπελθεῖν διὰ ἀτιμίαν, καὶ κατῳκηκέναι τὴν „Νῆσον.

Τοῦ γοῦν τοιούτου ὑπολογισμοῦ οὐ πολύ τι ἀπέχον ἐστὶ τὸ διάστημα τοῦ χρόνου, ὅπερ οἱ ἀκριβέστεροι τῶν χρονολογούντων μεταξὺ τιθέασι, τῆς τε Τρωϊκῆς ἁλώσεως, καὶ τῆς Βακχιαδῶν ἐξελάσεως τῆς ἀπό γε Κορίνθου. Τὴν μὲν γὰρ προτέραν τῶν ἐποχῶν ὑποτίθενται, ἐν ἔτει τῆς Ἰουλιακῆς περιόδου 3530. Τὴν δ' ὑστέραν ἐν ἔτει 4056. Ἀλλὰ γὰρ πορρωτέρω τοῦ ὑπολογισμοῦ ἀφίστανται, οἱ σὺν Οὔββωνι τῷ Ἐμμίῳ περὶ τῶν τῆς ἀρχαίας Γραικίας, ἐκ τοῦ Α΄. Βιβλ: τῶν Ἡροδότου, τὴν Κέρκυραν ὑπὸ Κορινθίων κτισθῆναι διαβεβαιούμενοι, κατὰ τὴν ΙΖ΄. τῶν Ὀλυμπιάδων. Ἐπειδὴ γὰρ ἀπὸ Τροίας ἁλούσης, ἕς γ' ἐπὶ τὴν Ὀλυμπιάδα τὴν πρώτην, κατὰ ψῆφον τῆς δοκιμωτέρας χρονολογίας, ἔτη χωρεῖ 408. οὐδ' ἂν ἐνιαυτοὶ πεντακόσιοι παριόντες εἶεν, οἱ μεταξὺ τῶν ἐποχῶν παραρρεύσαντες. Πόρρω δὲ καὶ τῶν Στράβωνος ῥημάτων ὁμοι-

ως ἀπέχει ὁ αὐτὸς Ἔμμιος γράφων αὐτόθι: ἐν μὲν τῷ Α΄. ἔτει τῆς ΙΑ΄. Ὀλυμπιάδος τὰς ἐν Σικελίᾳ Συρακούσας κτισθῆναι ὑπὸ Κορινθίων Ἀρχίου ἄρχοντος. Ἔπειτα μετ᾽ ἐνιαυτοὺς Ϙ. ἐπὶ τῆς ΙΖ΄. Ὀλυμπιάδος, ὑπὸ τῶν αὐτῶν Κορινθίων τὴν ἀποικίαν ἐπὶ Κερκύρας τῆς Νήσου ἐπενεχθῆναι· καὶ γὰρ ὁ Στράβων κατὰ χρόνον ἅμα τὸν αὐτὸν, ἀμφοτέρας τὰς ἀποικίας προεξηνέχθαι παρέδωκε, καταλειφθέντος Χερσικράτους ἐν Κερκύρᾳ ὑπὸ Ἀρχίου, ἐν ᾧ αὐτὸς ἐπὶ τῷ κτίσασθαι Συρακούσας τὸν πλοῦν ἀνειλήφει.

Ἀλλὰ γὰρ πολλῷ μᾶλλον σημειωθῆναι ἀξία ἐστὶν ἡ διαφωνία, ἡ μέσον τῆς Τιμαίου ὑποψηφίσεως, καὶ τῆς Θουκυδίδου ἐν τῷ ς΄. Βιβλ: ἐκδιηγήσεως, ἐξ ἧσπερ ἔχομεν τῶν Γραικῶν τοὺς Χαλκιδέας Θεοκλέους ἡγουμένου, τὴν ἐν Σικελίᾳ δείμασθαι Νάξον· ἐν δὲ τῷ ἔτει τῷ ἑπομένῳ, τὸν Κορίνθιον Ἀρχίαν, τὰς Συρακούσας. Καὶ κατὰ τὸν αὐτὸν δὲ χρόνον, καὶ τὸν Μεγαρέα Λάμιν, πρῶτα μὲν ἐπὶ τῆς αὐτῆς Νήσου δομῆσαι Τρώϊλον, εἶτα δὲ Θάψον· τοῦ δέ τοι Λάμεως τεθνηκότος, τοὺς Θάψου ἐποίκους, Ὕβλεως τοῦ Σικελῶν Ἄνακτος ἡγησαμένου, τοὺς Μεγαρεῖς καταστήσασθαι, Ὑβλαίους κληθέντας. Τοὺς δὲ μετὰ ἔτος τοὐντεῦθεν 145. ἔκ τε τοῦ ἄστεος, καὶ ἐκ τῶν ἀγρῶν, ἀπεξελαθῆναι ὑπὸ Γέλωνος τοῦ Συρακουσίων ἀνάσσοντος. Αὕτη ἡ τελευταία τοῦ χρόνου παρασημείωσις διδασκαλίαν ἐπιχορηγεῖ βεβαίαν Φιλίππῳ τῷ Κλουβερίῳ (ἐν τοῖς περὶ τῆς παλ: Σικελ: Βιβλ: Α΄. Κεφ: Β.) ὅτι Νάξος ἐκτίσθη ἐν τῷ Α΄. ἔτει τῆς ΙΑ΄. Ὀλυμπιάδος, ἔτει μετὰ τὴν Τρωϊκὴν μάχην 448. τῷ δ᾽ ἐγγὺς ἑπομένῳ ἐνιαυτῷ καὶ τὰς Συρακούσας· περί γε μὴν τῆς Νάξου, καὶ τὴν Εὐσεβίου ἐν τῷ χρονικῷ μαρτυρίαν ἀρίδηλον προσεκτίθησι.

Καὶ ταῦτα μὲν ὡς ἄριστα προβαίνει· ἐξ ὧν ἐπαγαγεῖν ἂν ἐξείη τὴν Χερσικράτους ἐπὶ Κερκύρας κάθοδον, εἰς τὸ μετά γε τὰ Τρωϊκὰ 449 ἔτος ἀνήκειν ὅτε Ἀρχίας καὶ τὰς Συρακούσας κατῴκισεν. Ἀλλ᾽ ἡ ἐπενεχθεῖσα ὑπὸ τοῦ εἰς τὰ Ἀπολλωνίου σχολιογραφήσαντος μαρτυρία, ἡ ἐκ Τιμαίου, μετὰ τῆς ὑπὸ Χερσικράτους εἰς Κέρκυραν ἐπενεχθείσης ἀποικίας, ἐπεὶ

ἐς ἔτος ἑξακοσιοστὸν μετὰ τὰ Τρωϊκὰ χρονολογεῖται. Κἀι ἀμφισβητήσιμον τὸ περὶ ὃ ὁ λόγος καθίστησιν. Ὁ μέντοι τόπος ἐκεῖνος (ὁ τοῦ Τιμαίου) οὔτε δὴ Κλουβερίῳ, οὔτε τῷ ἄλλῳ τῶν τὰ τοιαῦτα πραγματευσαμένων, ὃν ἂν αὐτὸς εἰδείην, δῆλος πάντῃ ἐγένετο. Οὐ δέ γε ἄλλως παρ᾽ οὐδὲν θέσθαι δέον τὴν τοιάνδε μαρτυρίαν, καὶ γάρ τοι καὶ Σικελὸς ἦν τὸν οἶκον ὁ Τίμαιος, καὶ παρὰ ταῦτα, καίπερ ἐν τοῖς περὶ τῶν Ἀγαθοκλεῖ πεπραγμένων (ὡς τῷ Σουΐδᾳ, καὶ ἄλλοις τῶν παλαιῶν παρατετήρηται·) οὐ πολλῆς ἔδοξε πίστεως εἶναι ἄξιος, παρὰ τὴν εἰς τὸ ἐπιτιμᾶν τε καὶ ἐπικακίζειν ῥοπήν τε καὶ ἔφεσιν, ᾗ καὶ περὶ ἑτέρους προσεχρήσατο· ἐξ οὗ καὶ Ἐπιτίμαιος (ἣ Διόδορος μαρτυρεῖ ὁ Σικελιώτης ἐν Ε΄. Βιβλ:) ἀλλ᾽ ἐκεῖνον, τοῦ ἀληθοῦς τῆς ἱστορίας πεποιῆσθαι λόγον, ὁ αὐτὸς αὐτόθι ἐπιμαρτυρῶν ἐστὶ Σικελιώτης Διόδορος, „τοιάδε γράψας: Τιμαῖος μὲν οὖν μεγίστην πρόνοιαν πεποι-„ημένος τῆς τῶν χρόνων ἀκριβείας, καὶ τῆς πολυπειρίας „πεφροντικὼς, διὰ τὰς ἀκαίρους καὶ μακρὰς ἐπιτιμή-„σεις εὐλόγως διαβάλλεται.

Πρὸς τοῖς εἰρημένοις τὴν κατὰ τὰ Τροϊκὰ χρονικὴν ἐποχὴν, ἐπὶ τῷ στήσασθαι τὴν τῶν Ἑλληνικῶν ἀποικισμῶν ἐν Σικελίᾳ καταρχὴν, καὶ Στράβων ἐχρήσατο ἐν Βιβλ: ϛ΄., καὶ Σκύμνος ὁ Χῖος: ἀλλ᾽ οὐδετέρου τούτων τὸ ὕφος ἐρρῶσθαι οἱ Κριτικοὶ διατείνονται. Παρὰ μὲν γὰρ τῷ Στράβωνι, ὡς ἐκ τῶν Ἐφόρου ἀναγινώσκεται, τὰς ῥηθείσας ἀποικίας ἐπενεχθῆναι: **τῇ γενεᾷ τῇ μετὰ τὰ Τρωϊκά:** κατὰ δὲ τὸν Σκύμνον: **ἀπὸ τῶν Τρωϊκῶν δεκάτῃ γενεᾷ μετὰ ταῦτα.** Ἐφ᾽ ᾧ οὖν τὸν Στράβωνα, τῷ Σκύμνῳ συμβῆναι, παρὰ μὲν ἐκείνῳ ἀναγνωστέον εἶναι παραινεῖ Ἰωσὴφ ὁ Σκαλίγερος (ἐν ταῖς σημειώσ: ταῖς εἰς τὸ Εὐσεβ: χρονικόν.) κατ᾽ ἔτος τὸ Α΄βρ: 1281 **τῇ δεκάτῃ γενεᾷ:** (Ὁ δὲ Κλουβέριος τῇ **πεντεκαιδεκάτῃ.**) Παρὰ δὲ τῷ Σκύμνῳ ὡσάυτως, (ὃν οἱ ῥηθέντες Συγγραφεῖς, ὑπὸ τῇ ὑποβολιμαίᾳ κλή-

σει ἀναφέρεσι Μαρκιανȣ τȣ Ἡρακλεέως:) δεκάτη γενεᾷ μετὰ πέντε.

Τῆς τοίνυν Κερκυραίων ἀρχοειδȣς καταβολῆς (ὡς ἂν ἐς αὐτὴν ἐπανέλθοιμι) ἔνδειξιν ἡμῖν κοινοφανεςέραν, ἐπιχορηγȣσιν ἐςιν ἄττα τῶν Κερκυραϊκῶν Νομισμάτων, ἐν οἷς ἐπίσημον ὁρᾶται ἐπικεχαραγμένος ὁ Πήγασος. Ἐπεὶ γὰρ σύνηθες ἦν τοῖς πάλαι, ἐξ ὧν εἶχον λαβȣσαι τὴν πρώτην καταβολὴν, ἤτοι ἐκ τῶν ἰδίων Μητροπόλεων, ἐξ ὧν δηλονότι σφίσιν αἱ πόλεις ἐκτίσθησαν, ἢ γȣν ἀπῳκίσθησαν, ςηρίζεσθαί τε ὑπ' αὐτῶν ἐκείνων, καὶ ἐπ' ἐκείναις περισεμνύνεσθαι, καὶ τȣτων μάλιςα τοῖς συμβόλοις προσφῆσθαι ἐν τοῖς ἰδίοις Νομίσμασιν, ὁ Πήγασος τὸ Κορινθίων ἐπίσημον, τȣς ἐκ Κορίνθȣ προγόνȣς τῶν Κερκυραίων σαφῶς ἀποδείκνυσι. Τῆς τοιᾶς δὲ τῶν ἀποικήσεων τῆς πατρίδος αὐτῶν τῆς γε ἐνεςώσης, πρὸς τὴν ἀρχῆθεν κοινωνίας τε καὶ οἰκειότητος, πολλάκις ἥψατό τε καὶ ὑπεμνήσθη, ἐν τῷ περὶ χρείας τε καὶ χρήσεως τῶν ἀρχαίων νομισμάτων Ἰεζεκιὴλ ὁ Σπαγχέμιος πληρέςερον δὲ καὶ ἀκριβέςερον, ἐν τῇ Θ'. τῶν αὐτȣ Διατριβῶν ἔνθα ἧττον ἀπηκριβῶσθαι γράφει τὰ ὑπὸ Ἰωάννȣ Ἀρδȣίνȣ τὰ περὶ τῶν Νομισμάτων διαληφθέντα διαφόρων ἐθνῶν τε καὶ πόλεων. Ἐντεῦθεν ȣν τοῖς Κερκυραίων Νομίσμασιν ὁ Πήγασος ἐγκεκολαμμένος ἐνορᾶται τὸ Κορινθίων ἐπίσημον, ὅτι Κερκυραῖοι συνῳκείοντο Κορινθίοις. Τȣς δὲ Κερκυραίȣς ἐκ Κορινθίων γενέσθαι ἀποίκȣς, πάντως διατείνεται ὁ ῥηθεὶς Σπαγχέμιος. Ἀλλὰ γὰρ εἴπερ τοῖς ὑπὸ τȣ Στράβωνος, καὶ Ἀπολλωνίȣ τȣ Ῥοδίȣ εἰρημένοις ἀτενέςερον ἐπιςήσειέ τις, ȣχ' ȣτως οἱ Κερκυραῖοι Κορινθίων ἄποικοι νομιςέοι εἰσὶ γενέσθαι, ὡς μὴ κατὰ τὸ αὐτὸ νομίζεσθ' ἂν, πρὸς τȣς αὐτȣς καὶ ἑταιρείαν ἐσχηκέναι· ἢ γὰρ Ἀπολλώνιος παρέδωκεν εἰς Κέρκυραν κατάραντες οἱ ἀπὸ Κορίνθȣ, τὰς τῶν Κόλχων ἱδρύσεις, (ὡς ὁ Σχολιαςὴς τρανώτερον ἀναπτύσσει:) ἢ γȣν τὰς τῶν Λιβυρνῶν (ὡς φησὶν ὁ Στράβων) ἐπικατέλαβον. Οὐδέτερον δὲ τȣτων ὑπεμφαίνει, τὸ ἐκ τῆς χώρας τηνικαῦτα ἐξεῶσθαι

τοὺς Γ'Ἰθαγενεῖς Φαίακας. Ὥστε φανερὸν εἶναι, ὅτι Κερκυραῖοι, ὃν τρόπον τοὺς Κόλχους τὸ πρότερον, ὡς ἑταίρους μᾶλλον καὶ συμπολίτας καὶ συνοικιστάς τε, καὶ συνεποίκους, ἢ ὡς καθιδρυτὰς καὶ πατέρας τοὺς Κορινθίους παρὰ σφίσιν ὑποδεχθῆναι μένειν, ὅσα γε ἐξ Ἀπολλωνίου ἔνεστι, καὶ ἐκ Στράβωνος ὑπολαβεῖν. Περὶ μὲν οὖν τῶν Κόλχων ἀνωτέρω συνείδομεν: περὶ δὲ τῶν Λιβυρνῶν, πότερον ἀπόγονοι Φαιάκων οὗτοι ὑπῆρξαν; ἢ γοῦν ἐξελάσαντες Φαίακας, τὴν τούτων χώραν εἰς τόδε κατέχον, ἄδηλον τοῦτο λανθάνειν Ἔμμιος, ἐν τῇ περιγραφῇ τῆς Κερκυραίων πολιτείας ἀποφαίνεται. Ἀλλὰ γὰρ ὑπὸ τῷ Λιβυρνῶν ὀνόματι, ὅτι καὶ οἱ Κόλχοι αὐτοὶ ὑποσημαίνεσθαι ἔχουσιν, (ἵν, οὕτω καὶ συμβιβασθείη τὰ εἰρημένα Ἀπολλωνίῳ καὶ Στράβωνι) ἐξ αὐτῶν ἔπεστιν εἰκάσαι τῶν τοῦ Ἀπολλωνίου (ἐν τῷ Δ'. τῶν Ἀργοναυτ:) τοῦ τὸν Ἀργοναυτῶν διάπλουν γενέσθαι διὰ τοῦ Ἀδριατικοῦ περιγράφοντος.

„ . . . . . Τὰς δ' ἀπέλειπον ὅσοι Κόλχοισι πάροιθεν
„ Ἑξείης πλήθοντο Λιβυρνίδες εἰν ἁλὶ νῆσοι.

Περὶ τοῦ τοιοῦδε ἀποικισμοῦ, καλὸν ἑκατέρου τῶν δήμων ἀκοῦσαι, ἀντιδιατεινομένων πρὸς ἀλλήλους παρὰ Θουκυδίδῃ ἐν τῷ Α'. τῆς ἱστορίας: „Ἢν δὲ λέγωσιν (οἱ Κερκυραῖοι περὶ τῶν Κορινθίων „λεγόντων ἀποτεινόμενοι:) ὡς οὐ δίκαιον τοὺς σφε„τέρους ἀποίκους ὑμᾶς δέχεσθαι, μαθέτωσαν ὡς „πᾶσα ἀποικία, εὖ μὲν πάσχουσα τιμᾷ τὴν Μητρό„πολιν, ἀδικουμένη δὲ, ἀλλοτριοῦται. Οὐ γὰρ ἐπὶ τῷ „δοῦλοι, ἀλλ' ἐπὶ τῷ ὅμοιοι τοῖς λειπομένοις εἶναι „ἐκπέμπονται. (Οἱ δὲ δὴ Κορίνθιοι ἀντιβάλλον„τες:) Ἄποικοι δ' ὄντες, ἀφεστᾶσί τε διὰ παντὸς, „καὶ νῦν πολεμοῦσι, λέγοντες: ὡς οὐκ ἐπὶ τῷ κακῶς „πάσχειν ἐκπεμφθείησαν· ἡμεῖς δὲ, οὐδ' αὐτοί φαμεν „ἐπὶ τῷ ὑπὸ τούτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ' ἐπὶ τῷ „ἡγεμόνες τε εἶναι καὶ τὰ εἰκότα θαυμάζεσθαι. Αἱ

„γοῦν ἄλλαι ἀποικίαι τιμῶσιν ἡμᾶς, καὶ μάλιστα
„ὑπὸ ἀποίκων στεργόμεθα.

Πρὶν ἢ δὲ Χερσικράτην παρῶμεν, καλὸν ἰδεῖν καὶ ὅπως ἡμῖν Ἀνδρέας ὁ Μαρμαρᾶς, τὸ παλαιὸν ἄστυ κτισθῆναι ὑπὸ τοῦ Χερσικράτους τούτου παρίστησι: τὴν γὰρ εἰκόνα, ἤτοι τὴν ἰχνογραφίαν τῆς πόλεως, οὕτω γραφικῶς διηκριβωμένην ἐκτίθησιν, ὡς ἐν αὐτῇ τούς τε ἀνακτορικοὺς δόμους οἷον ὑπ᾽ ὀφθαλμοῖς παρέχειν ὁρᾶσθαι· καὶ τὰ ἐπὶ κατασκευῇ τοῦ κέρματος ἀργυροκοπεῖα, καὶ τὰ τῶν Δικαστῶν πρυτανεῖα, καὶ κρήνας, καὶ Ναοὺς καὶ ἀνδριάντας, καὶ λιμένας, καὶ ὁπλοθήκας, καὶ ἁπάσας κομιδῇ τὰς ἐν μέρει οἰκοδομίας· καὶ οἷ ἕκαστα ἔκειτο, καὶ οἵας μορφῆς τε καὶ σχήματος λελάχει ἐπὶ λεπτοῦ καταδείκνυσθαι. Οὕτως ἐπὶ τηλικαύτης τῆς ἀρχαιότητος ὑπενδοιάζειν μηδόλως ὁ Μαρμαρᾶς ἐοικὼς, ἢ περιδεδιέναι, μὴ ἄλλως πως ἕκαστα εἶχεν, ὡς εἴγε ταῦτα, εἴτε ἐξ ἐρειπίων τῶν ἔτι περιόντων, εἴτε ἐκ σαφῶν ἐπιμαρτυρήσεων τῶν ἀνέκαθεν διὰ συγγραφῆς μνείαν πεποιημένων, ἀσφαλέστατα ἅπαντα καταμάθοι. Ἀλλ᾽ ἀριδηλότατον ἐστὶν αὐτὸν ἄνευ τῶν τοιούτων ὑπομνημάτων τὰ ῥηθέντα ἐξ ἑαυτοῦ διασχεδιάσαι, καὶ πόλιν ἀνατυπώσασθαι τηλικαύτην, οἵαν οὔτε Χερσικράτης ἐκεῖνος, οὔθ᾽ ἕτερός τις, ἀλλ᾽ αὐτὸς μόνος καθ᾽ ἑαυτὸν ὁ Μαρμαρᾶς, πρὸς τὸ δοκεῖν ἀρχιτεκτονήσας, ἀπεδομήσατο· Ἔστι μὲν γὰρ χῶρός τις ἐν Κερκύρᾳ, ὃν παλαιόπολιν οἱ ἐπιχώριοι ἔτι καὶ νῦν ὀνομάζουσιν, ἐν ᾧ ἔθ᾽ ἅττα, παλαιοτέρας τινὸς καὶ ἐπισήμου γενομένης ποτε πόλεως, ἐρείπια διαφαίνεται· οὐ μέν τοιγε ὥστε καὶ τὴν πρὸς τοῦ Μαρμαρᾶ ὑποτυπωθεῖσαν, οὐδὲ βραχὺ γοῦν, οἷα πιστώσασθαι. Τὸν αὐτὸν οὖν τρόπον ὁ Μαρμαρᾶς προσέτι, οὐδενὸς αὐτῷ ἐπὶ μαρτυροῦντος, ἀνεβάλετο ἱστορῆσαι, καὶ ὅτι τελευτήσαντος Χερσικράτους, Ἀλχεμέα οἱ Κερκυραῖοι ἑαυτοῖς ἐβασίλευσαν· μεθ᾽ ὃν ἀποβεβιωκότα ἐφεξῆς, Λυκόφρονα· ἴσῃ καὶ γὰρ τῇ ἀναιδείᾳ, ὥσπερ τὴν πάλαι τῆς Κερκύρας πόλιν διετεκτήνατο, οὕτω καὶ τοὺς ἐν αὐτῇ ἡγεμονεύσαντάς τε καὶ βασιλεύσαντας, ἐκ τοῦ ἰδίου ἐγκεφάλου ἐπικατέστησεν. Ἄλλως τε γὰρ ἡμῖν καὶ ὁ Ἀλχεμεὺς ἐκεῖνος τὸ παράπαν

ἐςὶν ἀγνοούμενος, ὅς τις ποτὲ καὶ ἦν. Λυκόφρονα δ' ἴσμεν τὸν Περιάνδρου τοῦ Κορινθίου, ὑπὸ μὲν τοῦ πατρὸς εἰς Κέρκυραν ἀπεξελαθῆναι· ὑπὸ δὲ Κερκυραίων, ἐφ' ᾧ μὴ Περίανδρος κατὰ τῆς ἑαυτῶν χώρας ἐπιςρατεύσειεν, ἀποκτανθῆναι.

## ΚΕΦΑ'Λ. Κ'.

Ἀλλ' ἤδη καὶ τὰς ὑπὸ τῶν Κερκυραίων αὐτῶν ἐκπεμφθείσας ἀποικίας σκεψώμεθα· τήν τε εἰς Ἐπίδαμνον, ὅπερ τὸ νῦν ὑπάρχει Δυῤῥάχιον, καὶ τὴν εἰς Ἀπολλωνίαν.

Τῆς Ἐπιδάμνου, μόνους τοὺς Κερκυραίους ἀποικιςὰς γενομένους Στράβων τε, καὶ Στέφανος, καὶ Σκύλαξ παρέδωκαν. Στράβων καὶ γὰρ ἐν „τῷ Ζ': Ἐπίδαμνος (φησὶ) Κερκυραίων κτίσμα, ἡ νῦν „Δυῤῥάχιον, ὁμωνύμως τῇ Χεῤῥονήσῳ λεγομένη, „ἐφ' ἧς ἵδρυται. Ταὐτὰ ἀναγινώσκεται καὶ παρὰ Στεφάνῳ· παρ' ὅσον ὑπὸ τούτου, καὶ ὁ Ξυγγραφεὺς προςίθεται ἐξ οὗ παρείληφεν· ἤτοι ὁ Φίλων, ὁ ἐπὶ Τραϊανοῦ βιώσας, καὶ τὰ περὶ πόλεων τριάκοντα Βιβλία συντάξας· περὶ οὗ Σουΐδας τε γράφει, καὶ ὁ τοῦ Μεγάλου ἐτυμολογικοῦ πατὴρ, καὶ ἄλλοι. Ἐπὶ δὲ τοῖς ῥηθεῖσι τέως καὶ Σκύμνος ὁ Χῖος ἐν τῇ Περιηγήσει, οὕτω:

„ Πρὸς τῇ θαλάττῃ δ' ἐςὶν Ἐπίδαμνος πόλις
„ Ἑλληνὶς, ἣν Κέρκυρ' ἀποικίσαι δοκεῖ.

Ἐκπροελθοῦν δὲ τὴν δε τὴν ἀποικίαν ἐκ Κερκυραίων, ἀλλὰ Φαλίου τοῦ Κορινθίου ἡγησαμένου, καὶ τινων Κορινθίων ἑταίρων αὐτοῦ, καὶ ἄλλων ἐκ γένους καταγομένων τοῦ Δωρικοῦ, ὁ Θουκυδίδης (ἐν Βιβλ: Α'.) „φησὶν: Ἐπίδαμνος ἐςὶ πόλις, ἐν δεξιᾷ ἐσπλέοντι

„τὸν Ἰώνιον Κόλπον· προσοικοῦσι δ' αὐτῇ Ταυλάντιοι Βάρβαροι, Ἰλλυρικὸν ἔθνος. Ταύτην ἀπώκισαν μὲν Κερκυραῖοι, οἰκιστὴς δ' ἐγένετο Φάλιος „Ἐρατοκλείδου Κορίνθιος, γένος τῶν ἀφ' Ἡρακλέους, κατὰ δὴ τὸν παλαιὸν νόμον ἐκ τῆς Μητροπόλεως κατακληθείς· ξυνῴκισαν δὲ καὶ τῶν Κορινθίων τινές.

Καὶ οἱ Ἐπιδάμνιοι δὲ αὐτοὶ Κορινθίους ἐπεγίνωσκον τοὺς ἰδίους ἀποικιστάς· κατὰ χρησμὸν γὰρ τὸν αὐτοῖς δοθέντα εἰς Κόρινθον ἦλθον, „τὴν ἐκεῖθεν ἐπικουρίαν αἰτούμενοι: τὸν οἰκιστὴν ἀποδεικνῦντες σφῶν, ἐκ Κορίνθου ὄντα: ὡς ἐν τῷ Α΄. Βιβλ: „Θουκυδίδης διέξεισι παρ' ᾧ δὴ πρόσκειται, καὶ ὅτι „Κορίνθιοι ἑτοίμως εἶχον Ἐπιδαμνίοις ἐπαμύναι, „ἅτε δὴ τὴν Ἐπίδαμνον ἡγούμενοι, οὐχ ὅπως „ἑαυτῶν εἶναι, ἢ Κερκυραίων.

Τοὐναντίον δὲ Κερκυραῖοι, οὐδενὶ λόγῳ τὴν Ἐπιδάμνου ἀποικίαν προσήκειν διετείνοντο Κορινθίοις, διὸ δὴ παρὰ Θουκυδίδῃ ἐν τῷ αὐτῷ Βιβλίῳ, τὰς παρὰ τούτων φρουρὰς ἐξ Ἐπιδάμνου ἐκέλευον ἀποπεμφθῆναι, „ὡς οὐ μετὸν αὐτοῖς: οἷς εἴγε σφίσιν ἀπονέμοντες „ἐπιμένοιεν οἱ Κορίνθιοι, δίκας ἤθελον δοῦναι ἐν „Πελοποννήσῳ παρὰ πόλεσιν, αἷς ἂν ἀμφότεροι „ξυμβῶσιν ὁποτέρων δ' ἂν δικασθῇ εἶναι τὴν ἀποικίαν, τούτους κρατεῖν. Ἤθελον δὲ καὶ τῷ ἐν Δελφοῖς „Μαντείῳ ἐπιτρέψαι· Πόλεμον δ' οὐκ εἴων ποιεῖν. Ἀλλ' ἡ Κερκυραίων ἰσότης τὰ τοῦ πολέμου ἀποσεῖσαι εἰκῇ ἐσπούδασεν. Ἐντεῦθεν γὰρ ὁ χαλεπώτατος ἐξῆπται πόλεμος ὁ καλούμενος Πελοννησιακός.

Περὶ τῆς ἐς Ἀπολλωνίαν δὲ ἀποικίας μαρτυροῦσι Στράβων τε, καὶ Σκύμνος ὁ Χῖος ἀμφότεροί γε μὴν ἐπὶ τὴν ταύτης ἐξαγωγὴν τοῖς Κερκυραίοις ἅμα τοὺς Κορινθίους συνάπτουσι Στράβων καὶ γὰρ (ἐν τῷ Ζ.

Βιβλ:) μεθ' ἃ περὶ Δυῤῥαχίου ἀνωτέρω παρεθέμην, αὐτίκα προσέ-
„θηκεν: Εἶθ' ὁ Α'ψος ποταμὸς, καὶ ὁ Α'ωος, ἐφ' ᾗ Α'πολ-
„λωνία πόλις εὐνομωτάτη, κτίσμα Κορινθίων καὶ
„Κερκυραίων τοῦ ποταμοῦ μὲν ἀπέχουσα σταδίους δέ-
„κα, τῆς θαλάττης δὲ ἑξήκοντα. Ο' δὲ Σκύμνος ὁ Χῖος.

„. . . . . . . ἡ Α'πολλωνία
„Κορινθίων, Κερκυραίων τε καὶ κτίσις.

Κορινθίοις δ' οὖν μόνοις τὴν ἀποικίαν ἐκείνην ἀποδίδωσι Θουκυδίδης ἐν τῷ
„Α'. Βιβλίῳ. Ε'πορεύθησαν δὲ πεζῇ ἐς Α'πολλωνίαν Κοριν-
„θίων οὖσαν ἀποικίαν. Ω'σαύτως δὲ τῶν Κορινθίων ἐπεμνήσθη μό-
νων καὶ Πλίνιος (ἐν Βιβλ: Γ'. Κεφ: 21.) Apollonia quondam Corin-
„thiorum colonia (Α'πολλωνία ἡ Κορινθίων πάλαι ἀποικία.)
Καὶ Διονύσιος δὲ ἐν τῷ ΜΑ'. τῆς ἱστορ: Κορινθίαν ἀποκαλεῖ τὴν
„Α'πολλωνίαν. Καὶ Στέφανος δὲ: Α'πολλωνία (φησὶ) πρώτη πό-
„λις Ἰλλυρίας, ἣν ᾤκουν Ἰλλυριοὶ κατ' Ε'πίδαμνον. Υ'στε-
„ρον διακοσίων Κορινθίων ἀποικία ἐς αὐτὴν ἐστά-
„λη, ἧς ἡγεῖτο Γύλαξ, ὃς Γυλακίαν ὠνόμασε. Ψεῦ-
δος δὲ τῷ χωρίῳ ἐμφιλοχωρῆσαι τᾶδε ὑφορῶν ἔδοξεν Α'βραὰμ ὁ
Βερχέλιος ἐν τῷ ὑπομνήματι: καὶ ἀντὶ τοῦ διακοσίων Κορινθίων
ἀποικία, ἀναγινώσκειν ἡγήσατο δεῖν: διακοσίων Κορκυραίων
τε καὶ Κορινθίων ἀποικία: ὡς ἂν, τυχὸν Στράβωνί τε καὶ
Σκύμνῳ σύμφωνον τὸν Στέφανον ἀναδείξειε· καίπερ ἄλλως ὁμολογῶν
τῆς προτέρας ἀναγνώσεως ἔχεσθαι τοὺς Κώδικας ἀπαραλλάκτως. Α'λλὰ
γὰρ ἐν ᾧ φησὶ τὸν Θουκυδίδην μόνον τὴν Α'πολλωνίαν εἰρηκέναι ἀποικίαν
τῶν Κορινθίων, ἔοικε μηδαμῶς ἐντετυχηκέναι, οἷς Πλίνιός τε καὶ Διο-
νύσιος γεγράφατον.

Τὴν Κερκυραίων ἅμα καὶ Κορινθίων ἑταιρείαν τε καὶ συνδρομὴν ἐπὶ τῷ Ἀπολλωνίας κτίσματι ἐπιβεβαιοῖ καὶ τὰ (ἐν τοῖς Προτέρ: Ἠλειακ:) „ ὑπὸ Παυσανίου λεγόμενα: Ἀποικισθῆναι φάσκοντος ἐκ Κερ- „ κύρας τὴν Ἀπολλωνίαν. Οἱ δὲ Κορινθίοις αὐτοῖς „ μετεῖναι λαφύρων, φασίν.

Ἐπὶ τούτοις δὲ τὴν Κέρκυραν, ὡς πάλαι πατρίδα σφίσι γενομένην Ἀπολλωνιάται, καὶ οἱ ἐκ Δυῤῥαχίου νενομίκασιν ὡς ἐπιμελῶς Σπαγχέμιος ἐν τῇ ῥηθείσῃ αὐτοῦ Θ΄. διατριβῇ παρετήρησεν: Ἐπεὶ τὰ τῶν Δήμων ἀμφοτέρων νομίσματα, τοῖς αὐτοῖς ἑκατέρωθεν ἐκτυπώμασιν ἐπισημανθέντα καὶ νῦν καθορῶμεν· τετραγωνικὴν δηλονότι παριστῶντα μήλω μετὰ ὀπωρῶν, καὶ βοῦν μετὰ μόσχου θηλάζοντος: οἷα περ κἄν τισι τῶν Κερκυραϊκῶν Νομισμάτων φέρεται καθορώμενα. Ὅσα δὲ τὰ πρὸς τὴν Ἀπολλωνίαν ἀνήκει, ἐκ τῆς Νηὸς διαπιστώσασθαι ἔχει, τῆς ἔν τινι τῶν ἐκείνης Νομισμάτων (Πατίνου τε καὶ Ἀῤδουίνου συμμαρτυρούντων·) ἐπιφαινομένης. Ἦν δὴ καὶ τῶν Κερκυραίων εἶναι σύμβολον ἀρίγνωτον, ἀνωτέρω συνέφην. Νόννιον μὲν οὖν τὸν Γολτζίου διερμηνευτὴν Σπαγχέμιος ἐπιμέμφεται, ὡς μηδὲν ἐπὶ τοῖς προτέροις καθεωρακότα τυπώμασι· πολλῷ δὲ ἄρα δικαιότερον κακίσειέ τις Ἀῤδουῖνον, τὸν ἐν τῷ δευτέρῳ, τήν τε τῶν Ἀπολλωνιατῶν, καὶ τὴν τῶν Κερκυραίων Ναῦν, ὡς εὐδαιμονίας ἐξειληφότα γενικὸν σύσσημον, μηδὲν δὲ τὸ σύνολον προστεθεικότα περὶ τοῦ κατὰ τὴν Ναυτιλλίαν κλέους, καθ᾽ ἣν Κερκυραῖοι διαφερόντως ὑπερεῖχον, ἧς τε πρὸς ἔνδειξιν ἀναμφιλέκτως, καὶ τῷ τῆς Νεὼς παρασήμῳ ἐχρῶντο ἐν τοῖς ἰδίοις αὐτῶν Νομίσμασι.

Περὶ τοῦ χρόνου καθ᾽ ὃν ἡ ἐπὶ τὸ Δυῤῥάχιον ἀποικία ἐστάλη, οὐδὲν ἔχω λέγειν, ἢ ὅτι ὑπὸ Ἐμμίου, (ἐν τοῖς περὶ τῶν Ἑλλάδος ἀρχαιοτήτων) ἐπὶ τὸ τρίτον ἔτος τῆς τριακοστῆς ὀγδόης Ὀλυμπιάδος ἀνήνεκται. Πότερον δ᾽ ἄρα, τῶν παλαιῶν τινὰ Συγγραφέων συνεπιμαρτυροῦντα αὐτῷ, ἐκείνου ἔχοντος; ἀγνοῶ. Ἀλλ᾽ ἡ τοῦ Ἀπολλωνίας κτίσματος ἐποχὴ ὑπὸ Πλουτάρχου δηλοῦται ἐν τῷ Βιβλίῳ, οὗ ἐπιγραφή: **Περὶ τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων.** Ὅπου τὰς

ἐκ τῆς μελλήσεως τῆς ἐπενεχθησομένης ποινῆς ὠφελείας καταλέγων, „μηδ᾽ τὴν Α᾽πολλωνίαν οἰκισθῆναι ἂν ἔφη, εἰ Περίανδρος ἐκολάσθη „μὴ μετὰ πολὺν χρόνον. Ε᾽βασίλευσε δὲ Περίανδρος ὁ τȢ Κυψέλȣ ἐν Κορίνθῳ, ἀπὸ τȢ πρώτȣ ἔτȣς τῆς τριακοςῆς ὀγδόης Ο᾽λυμπιάδος, ἕως ἐπὶ τὸ τέταρτον τῆς ὀγδόης ἐπὶ τῇ τεσσαρακοςῇ. Α᾽νθ᾽ ȣ̃ δὴ τȣ́τȣ τȢ ἀριθμȢ τȢ ὑςέρȣ παρὰ Πεταβίῳ, (ἐν τῷ Λογιςηρίῳ τῶν χρόνων Μέρει Β΄. Βιβλ: Β΄.) εἴτε παρὰ τῶν χειρογραφέων, εἴτ᾽ ȣ̃ν καὶ παρὰ τῶν τυποθετȣ́ντων, ἐσφαλμένως φέρεται ὁ ἀριθμὸς, 84.

Παρὰ τὸ Δυῤῥάχιον καὶ τὴν Α᾽πολλωνίαν (ὡς περὶ τῆς ἐλάσσονος Κερκύρας ἐν τῷ Β΄. Κεφαλαίῳ ἡμῖν εἴρηται·) καὶ ἄλλας προσέτι πόλεις τὴν ἰδίαν ἑαυτῶν καταβολὴν τῇ Κερκύρᾳ ἐπωφληκέναι, λίαν ἐςὶ πιθανὸν, ἅτε τῶν Κερκυραίων ἐν τοῖς τηνικαῦτα χρόνοις, δι᾽ ἁπάσης πέριξ θαλάσσης ἐπικρατȣ́ντων· ἐξ ȣ̃ καὶ Κορινθίȣς Κερκυραῖοι ἐδόκȣν ὀλίγȣ τίθεσθαι, καθάπερ ὁ Θȣκυδίδης ἐν τῷ Α΄. τῆς συγγραφῆς „αὐτοῦ ἱςορεῖ: ὡς καὶ δυνάμει ὄντες κατ᾽ ἐκεῖνον τὸν „τρόπον ὅμοια τοῖς Ε᾽λλήνων πλȣσιωτάτοις, καὶ „τῇ ἐς πόλεμον κατασκευῇ δυνατώτεροι. Ναυ„τικῷ δὲ καὶ πολὺ προέχειν ἔςιν ὅτε ἐπαιρόμενοι, „καὶ κατὰ τὴν τῶν Φαιάκων προενοίκησιν τῆς „Κερκύρας κλέος ἔχοντες τὰ περὶ τὰς ναῦς. Περὶ δὲ τȢ ἐπὶ τῇ Ναυτικῇ τῶν Φαιάκων κλέȣς, μάρτυρα ἔχει τὸν Ο῞μηρον ὁ Θȣκυδίδης ἐχέγγυον (ὡς ἐν ἰδίῳ τόπῳ καὶ αὐτοὶ συνείδομεν.) Παρὰ γὰρ Θȣκυδίδῃ, οἷάπερ καὶ παῤ Ο῾μήρῳ: οἱ Κορίνθιοι ἐπὶ τῆς Α᾽θηναίων ἐκκλησίας ὁμολογȣ̃σι, μὴ συχνὴν εἶναι τοῖς Κερκυραίοις τὴν πρὸς ἀλλοτρίȣς ἐπιδημίαν, καὶ τὴν παρὰ τȣ́τοις παραμονὴν καὶ συγκατασκήνωσιν· συχνὴν δὲ τὴν τῶν ἄλλων, παῤ αὐτȣ̀ς καταίρειν ἀναγκαζομένων ὑποδοχὴν καὶ φιλοφροσύνην· ἐν οἷς τῶν Κερκυραίων, κατὰ σπȣδὴν κοσμιότητος, καὶ σεμνοπρεπείας τȣ̃το ποιεῖν ἀπολογȣμένων, ὥσπερ καὶ διὰ τȢ Ο῾μηρικȢ ὑπεμφαίνεται ἔπȣς·

„ . . . . Οὐδέ τις ἄμμι βροτὸς ἐπιμίσγεται ἄλλος.

Οἱ Κορίνθιοι τὴν τοιαύτην σπȣδὴν εἰς Φλαῦρον μεθερμηνευκότες ἀπήντησαν: ὅτι τὸ τοιόνδε εὐπρεπὲς, ἄσπονδον καὶ ἀσυνάλλακτον εἰσὶ προβαλλόμενοι, ȣ̓χ ἵνα μὴ ἑτέροις ξυναδικῶσιν, ἀλλ᾽ ὅπως κατὰ μόνας ἀδικῶσι· καὶ ἵνα, ἐν ᾧ μὲν ἂν κρατῶσι, βίαν προσενέγκωσιν, ȣ̔ δ᾽ ἂν λάθωσι, τὸ πλέον ἔχωσιν: ἢν δέ πȣ τι προσλάβωσιν, ἀιαισχυντῶσι. Τὴν τοιαύτην ἀλλ᾽ ȣ̓͂ν τῆς Φαιάκων ἀγωγῆς μεθερμήνευσιν, τὰ ἐξ Ὁμήρȣ ἀνωτέρω προενεχθέντα δαψιλῶς ἐξελέγχȣσιν.

## ΚΕΦΑΛ. ΚΑ΄.

Ἐπὶ τȣ̃ ἐν χερσὶ Κεφαλαίȣ ἔσθ᾽ ἅττα ἡμῖν ἀποτεταμίευται προσεπεκτεθησόμενα νῦν, ἀρχαῖα μὲν αὐτὰ, τῷ δὲ χρόνῳ ἄδηλα καὶ ἀόριστα.

Παυσανίας ἐν τοῖς Προτέρ: Ἠλειακ: πρός γε τὸ τέρμα, περὶ „τȣ̃ ὑπὸ Κερκυραίων ἀνατεθέντος Ὀλυμπιάσι Βοὸς τοιάδε ἔχει: Ἀν„θότȣ μὲν οἱ Κερκυραῖοι, τόν τε ἐν Ὀλυμπίᾳ, καὶ ἕτε„ρον βȣ̃ν ἐς Δελφȣ̀ς ἀνέθεσαν, δηλώσει μοι τὰ ἐς „Φωκέας τȣ̃ λόγȣ. Ἐπὶ δὲ τῷ Ὀλυμπιάσιν αὐτῶν „ἀναθήματι, συμβῆναι τοιόνδε ἤκȣσα: Παῖς μι„κρὸς ὑπὸ τȣ́τῳ καθήμενος τῷ βοῒ, ἐς τὸ κάτω νενευ„κὼς ἔπαιζεν· ἀνακύψας δὲ ἐξαίφνης τὴν κεφαλὴν, „κατεάγη τε αὐτὴν πρὸς τὸν χαλκὸν καὶ ἐκ τȣ́του ἡμέ„ραις ὕστερον ἀπέθανεν ȣ̓ πολλαῖς. Ἠλεῖοι μὲν ȣ̓͂ν τὸν „βȣ̃ν, ἅτε αἵμασιν ἔνοχον ἐβȣλεύοντο ἐκκομίσαι, „τῆς Ἄλτεως· ὁ δὲ σφᾶς, ὁ δὲ Θεὸς ὁ ἐν Δελφοῖς, „κατὰ τὸ ἀνάθημα, καθάρσια ἔχρα ἐπ᾽ αὐτῷ ποι-

„ησαμένους,, ὁπόσα Ἕλληνες ἐπ' ἀκουσίῳ φόνῳ νομί-
„ζουσι.

Α' δὲ ἐν τοῖς Φωκαϊκοῖς ὁ Παυσανίας περὶ τῶν ἀναθημάτων ἐκεί-
„νων ἐξέθετο, τοιαῦτα ἐστὶν: Εἰσελθόντι δὲ ἐς τὸ τέμενος
„(τῶν Δελφῶν) χαλκοῦς Ταῦρος, τέχνη μὲν Θεο-
„πρόπου ἐστὶν Αἰγινήτου, Κερκυραίων δὲ ἀνάθημα.
„Λέγεται δὲ ὡς Ταῦρος ἐν τῇ Κερκύρᾳ καταλιπὼν
„τὰς ἄλλας Βοῦς, καὶ ἀπὸ τῆς νομῆς κατερχόμενος,
„ἐμυκᾶτο ἐν τῇ θαλάσσῃ· γινομένου δὲ ἐπὶ ἡμέρᾳ
„πάσῃ τοῦ αὐτοῦ, κάτεισιν ἐπὶ θάλασσαν ὁ Βουκό-
„λος, καὶ εἶδεν ἰχθύων τῶν θύννων ἀτέκμαρτόν
„τι ἀριθμῷ πλῆθος· καὶ ὁ μὲν, δῆλα τοῖς ἐν τῇ πό-
„λει Κερκυραίοις ἐποίησεν· οἱ δὲ, (ἑλεῖν γὰρ τοὺς
„θύννους προαιρούμενοι τηνάλλως ταλαιπωρίαν
„εἶχον.) θεωροὺς ἀποστέλλουσιν εἰς Δελφοὺς· καὶ οὕτω
„Ποσειδῶνί τε ἐκεῖνον θύουσι τὸν Ταῦρον, καὶ αὐ-
„τίκα μετὰ τὴν θυσίαν αἱροῦσι τοὺς ἰχθῦς· καὶ
„σφίσι τὸ ἀνάθημα, ἐν Ὀλυμπίᾳ τε καὶ ἐν Δελ-
„φοῖς ἐστὶν ἡ δεκάτη τῆς ἄγρας.

Καὶ ἐξ ἑτέρας δὲ ἄγρας δεκάτη ἐπὶ τῆς Ἠλείων ἀγορᾶς, στοά
τις ἀνῳκοδόμηται, ἧς Παυσανίας καὶ αὐτῆς ἐν τοῖς Ἠλειακοῖς μέμνη-
„ται τοῖς ὑστέροις. Τῇ στοᾷ (φησὶν) ἔνθα οἱ Ἑλλανοδίκαι
„διημερεύουσιν, ἐστὶν ἐγγὺς ἄλλη στοά· τὸ μεταξὺ
„αὐτῶν ἀγυιὰ μία. Ταύτην ὀνομάζουσι Κερκυραϊ-
„κὴν οἱ Ἠλεῖοι. Ναυσὶ γὰρ ἐς τὴν σφετέραν ἀπὸ
„τῶν Ἠλειακῶν ἀγρῶν Κερκυραίους ἐλθόντας,
„ἐλάσαι μοῖραν τῆς λείας λέγουσι· λαβεῖν τε ἔπει-
„τα (νέα μοι τοὺς Ἠλείους) ἐκ τῆς Κερκυραίων πολλα-
„πλάσια (ἦγον πολλῷ πλείονα τῶν σφίσιν ὑπὸ
„Κερκυραίων πρότερον ἡρπαγμένων) καὶ οἰκοδο-
„μήσασθαι ἀπὸ τῶν λαφύρων τῆς δεκάτης.

Τελευταῖον Παυσανίας ἐν τῷ αὐτῷ Βιβλίῳ, τὰς ἐκ τῆς Κριτίȣ σχολῆς καταλέγων ζωγράφȣς, Πτόλιχόν τινα Κερκυραῖον ἡμῖν ὑποβάλ„λει, ἐκείνȣ μὲν μαθητὴν, Ἀμφίωνος δὲ διδάσκαλον. Πτόλιχος „μὲν γὰρ ἔμαθεν ὁ Κερκυραῖος παρ᾽ αὐτῷ Κριτίᾳ, „Πτολίχȣ δὲ ἦν μαθητὴς Ἀμφίων.

Ὥσπερ ȣ̃ν δυοῖν ὑπεμνήσθη Παυσανίας ἀναθημάτων Κερκυραϊκῶν, ȣ̃τω καὶ ἑτέρȣ μνημονεύοντα εὑρίσκομεν Στράβωνα, ἐν τῷ Ζ΄. ἔνθα περὶ τȣ̃ Δωδωναίȣ Λέβητος· ἢ μᾶλλον (ὅπερ ἐςὶ φάναι) τὸν Στράβωνος Ἐπιτομέα. Οὐ γὰρ ὁλοσχερὲς περισώζεται καθ᾽ ἡμᾶς τὸ πρωτότυπον τȣ̃ Ζ΄. Βιβλ: τῶν τȣ̃ Στράβωνος· ἀλλ᾽ ἐξακέσασθαί πως τὴν ἀποβολὴν ἐπειράσαντο ἔκ τινων ἀποσπασματίων τῶν ἐκ τῆς Στράβωνος ἐπιτομῆς ὑπολειφθέντων, ὧνπερ (ἐν τῷ ῥηθέντι τȣ̃ Ζ΄. μέρει) ἐπὶ τὸν ἀνενυχθέντα Λέβητα προσανηκόντων, ἡ ἀρχὴ ἀναφέρεται. Ἐν αὐτοῖς δὲ ȣ̓ μόνον τȣ̃ Κορκυραϊκȣ̃ Ἀναθήματος γίγνεται μνεία, ἀλλὰ καὶ τῆς θρυλλȣμένης παροιμίας: Κερκυραίων Μάςιξ. Ἰδȣ̃ σοι δὲ τὰ αὐτȣ̃ ἀναγινωσκόμενα: Ὅτι ἡ παροιμία, τὸ ἐν Δωδώνῃ χαλκεῖον, ἐντεῦθεν ὠνομάσθη. Χαλκεῖον „ἦν ἐν τῷ ἱερῷ, ἔχον ὑπερκείμενον Ἀνδριάντα „κρατȣ̃ντα μάςιγα χαλκῆν· ἀνάθημα Κερκυραίων· „ἡ δὲ μάςιξ ἦν τριπλῆ ἁλυσιδωτὴ, ἀπηρτημένȣς „ἔχȣσα ἐξ αὐτῆς ἀςραγάλȣς, οἳ πλήττοντες τ᾽ „χαλκεῖον συνεχῶς, ὁπότε αἰωροῖντο ὑπὸ τῶν ἀνε„μων, μακρὰς ἤχȣς ἀπηργάζοντο· ἕως ὁ μετρῶν „τὸν χρόνον ἀπὸ τῆς ἀρχῆς τȣ̃ ἤχȣ μέχρι τέλȣς, „καὶ ἐπὶ 400 προέλθοιεν· ὅθεν καὶ ἡ παροιμία ἐλέχθη Κερκυραίων μάςιξ.

Πρὸ τȣ̃ τὴν τελευταίαν ταύτην παροιμίαν τοῖς ὑπὸ τῶν λοιπῶν Ἑρμηνέων εἰρημένοις ἐκθέσθαι ῥήμασι, τὰ τȣ̃ Συγγραφέως αὐτȣ̃ προθήσω, οἷς περ ἂν ἀρίδηλον γένοιτο καὶ πιςὸν, ὅτι τὸ περίπυςον τȣ̃

Δωδωναίε Διὸς ἱερὸν, ἐ πόῤῥω Κερκύρας ἦν ἀποκείμενον, ἀλλ' ἐπὶ τῆς ἀντιπέραν ἠπείρε ἱδρυμένον. Πρὸ γὰρ τῶν προενεχθέντων, τοιάδε ἀναγινώσκεται: „Τὸ δὲ ἐν Δωδώνῃ μαντεῖον ἐν τῇ Θεσπρωτίᾳ ἐςὶ· καὶ οἱ Ποιηταὶ Θεσπρωτίδα τὴν Δωδώνην „ἔφασαν. Σκύλαξ δὲ ὁ Χαριανδηνὸς ἐν τῷ Περίπλῳ, λέγων τὴν „Κέρκυραν Νῆσον εἶναι κατὰ Χαονίαν, προςίθησιν: Ἐπιβάλλει „δὲ ἡ Κέρκυρα καὶ ἐπὶ τὴν Θεσπρωτίαν, πλεῖον ἢ „ἐπὶ τὴν Χαονίαν.

Καὶ Σκύμνος δὲ ὁ Χῖος ἐν τῇ περιηγήσει:

„Κέρκυρα Νῆσος δ' ἐςὶ κατὰ Θεσπρωτίαν.

Παρίημι τὰ περὶ τῆς γνησίας ἀναγνώσεως τῆς φωνῆς Δωδώνη, καὶ περὶ τῦ ἐτύμε αὐτῆς, καὶ τὰ περὶ τῆς τῦ Δωδωναίε Μαντείε ἀρχαιότητος, καὶ περὶ τῆς πολλαπλασίονος αὐτῦ ἕδρας, καὶ τῶν ἐν αὐτῷ μαντικῶν περιςερῶν: Περὶ ὧν ἁπάντων μετιτέον Ἀβραὰμ τὸν Βερχέλιον, ἐν τοῖς εἰς τὸν Στέφανον αὐτῦ ὑπομνήμασι, καὶ Ἰάκωβον Γρονόβιον ἐν τοῖς Θησαυροῖς τῶν Ἑλληνικῶν Ἀρχαιοτήτων· καὶ Ἰάκωβον Τριγλαύδιον, αὐτ:, καὶ ἄλλες δὲ τῶν περὶ τὴν φιλολογίαν μάλιςα σπεδασάντων. Ἀλλὰ πρό γε πάντων μετιτέον τὸ περὶ τῆς Δωδώνης ἄρθρον, τὸ ἐν τῷ ἐπισήμῳ ἀποσπάσματι Στεφάνε περὶ Πόλεων, καὶ ἰδίᾳ ἐν τῇ Κοϊσλινιανῇ Βιβλιοθήκῃ· ἔνθα Βερνάρδος ὁ Μοντφαυκόνιος ἀπὸ τῶν ἐν ταῖς προλαβέσαις ἐκδόσεσιν ἐπιπολαζόντων σφαλμάτων περιεκάθηρε, καὶ ὡς ἐνῆν ἀκριβέςατα ἑρμηνεύσας ἐκδέδωκεν εἰς κοινὴν χρῆσιν ἐσόμενον.

Ἐκ τῶν ἀπὸ Στράβωνος προενεχθέντων εἰσβάλοι ἄν τις, καθ' οἵαν δὴ ἔννοιαν εἰς παροιμίαν προςεληλύθει τὸ Δωδωναῖον Χαλκεῖον, κατὰ τὴν αὐτὴν προςεληλυθέναι καὶ τὴν Κερκυραίαν μάςιγα: ὡς ἄνθρωπον ἐπισημαίνειν τὸν ἀκαίρως τε καὶ ἀτόπως καταδολεσχῦντα,

ϰ̀ τὴν ἠχὴν μιμεῖσθαι διαφιλονεικῦντα τῦ χαλκείυ ἐκείνυ, ϰ̀ (ὡς ὁ Καλλίμαχος ἐν τῷ εἰς τὴν Δῆλον ὠνόμασεν ὕμνῳ.) ἀσιγήτοιο λέβητος: τῦ διὰ τῆς Κερκυραίας μάςιγος κατακροτυμένυ. Ἀλλὰ τὴν Κερκυραίαν μάςιγα οἱ παλαιοὶ εἰς δήλωσιν ἐξειλήφασι χρήματος τῦ περιττῶς ἄγαν ἐπικεκοσμη„μένυ· ὅτω γὰρ Ἡσύχιος: Κερκυραία μάςιξ: Περιττὴν „τινα τὴν κατασκευὴν εἶχον αἱ Κερκυραῖαι μάςι„γες· οἱ δὲ, καὶ διπλᾶς αὐτὰς ἔφασαν εἶναι· εἶχον „δὲ καὶ ἐλεφαντίνυς κώπας, ϰ̀ τὰ μεγέθη περιτ„ταὶ ἦσαν. Ὡσαύτως ϰ̀ ὁ τῦ Ἀριςοφάνυς Σχολιαςὴς (ἐν Ὄρνισι) „λέγεταί τις Κερκυραία μάςιξ. Συνεχῶς Κερκυ„ραίοις ἀταξίαι γίνονται. Διὸ τὸ ςασιάζειν ὅν ἐπε„πόλασε παρ' αὐτοῖς ἡ μάςιξ, ὥςε διπλαῖς χρῆσθαι „καὶ ἐλεφαντοκώποις.

Καὶ εἰς τῦτο δὲ ὑπὸ τῶν παροιμιογράφων ἡ καλυμένη Κερκυραία ἐφέλκεται μάςιξ, καθ' ἣν Λυκῦργος ὁ Ῥήτωρ ἐπιτιμήσας ἐγένετο Ἀθηναίοις δημηγορῦντι αὐτῷ ἐπιθορυβῦσιν, ἣ διέξεισι Πλύταρχος (ἐν Ι'. „Βίων Ῥήτορ:) Ἦν δὲ ὁ Λυκῦργος παῤῥησιαςὴς διὰ τὴν „εὐγένειαν· Ἀθηναίων γάρ τοι ποτὲ ὐκ ἀνεχομένων αὐ„τῦ δημηγορῦντος, ἔκραγεν ἐκβαλλόμενος: ὦ Κερκυραία „μάςιξ, ὡς πολλῶν ταλάντων εἶ ἀξία! Δεσιδέριος δ' ἐν ταῖς χιλιάσιν, ἐπισεσημάνθαι φησὶν ἐντεῦθεν, δῆμον ἀλυσιτελῆ μὲν, πολλῦ δὲ θρεπτέον.

Τῆς Κερκυραϊκῆς μάςιγος, τήν τε εἰς τὸ τὴν περιττὴν δηλῦν περικόσμησιν ἐκδοχὴν, ὡς τῇ τῶν παλαιῶν παραδόσει ἐρειδομένην: ὡσαύτως δὲ καὶ τὴν εἰς τὸ τὴν συνήθη τε ϰ̀ συνεχῆ χρῆσιν τῆς ὕσπληγγος παρὰ Κερκυραίοις, ὡς λίαν ςασιάζυσι γενομένοις ὑπεμφαίνειν, ὐκ ἂν ἄξαρνος εἴην· ἀλλ' ἐκεῖνο μοι θαυμάζειν ἔπεισι, πῶς Ἔρασμος, καὶ οἱ λοιποὶ τῶν παροιμιογράφων, ὐδόλως καὶ αὐτῷ τῷ Δωδωναίῳ προσεῖχον λέβητι, τῷ ὑπὸ τῆς Κερκυραίας μάςιγος διηνεκῶς κατακροτυ-

μένῳ, ἐξ ὃ καὶ τὴν παροιμίαν ληφθῆναι ὁ Στράβων μαρτυρεῖ. Μᾶλλον γὰρ εἰκὸς τὸν ἐκτόπως ἀδόλεσχόν τε καὶ φλύαρον ὅτω παροιμιάζεσθαι.

Ὁ δὲ Πλούταρχος, καί τινας ἀποίκους Κερκύρας, τοὺς ἡμῖν ἄλλοθεν ἀγνοουμένους καθυποβάλλει. Τοὺς γὰρ Ἐρετριεῖς αἰτιολογῶν (ἐν τῷ Ι΄. τῶν Ἑλλην: προβλημ:) τί δήποτε ἀποσφενδόνητοι προσείρηνται; Κέρκυραν (φησὶ) τὴν Νῆσον Ἐρετριεῖς κατῴ„κουν· Χαρικράτους δὲ πλεύσαντος ἐκ Κορίνθου με„τὰ δυνάμεως καὶ τῷ πολέμῳ κρατοῦντος, ἐμβάν„τες εἰς τὰς Ναῦς οἱ Ἐρετριεῖς ἀπέπλευσαν οἴκα„δε. Ἐπειδὴ γὰρ οἱ τῆς πόλεως αὐτοὺς ἐν σφενδόναις „ἀπεῖρξαν, ἐκ τούτου τῶν ἀποσφενδονήτων αὐτοῖς „ἐπετέθη τοὔνομα.

## ΚΕΦΑΛ. ΚΒ΄.

Ἐπισφραγίζεται τὸ Βιβλιάριον, δυεῖν ἐπιγραφῶν Κορωνίδος δίκην προστιθεμένων, ἃς παρὰ Ἀποστόλου τοῦ Ζήνου Ἐνετίῃσι Μοντφαυκόνιος εἰς δῶρον λαβὼν, καὶ ἀπεκλατινίσας τῇ φράσει, διὰ τοῦ Ἰταλικοῦ Ἡμερολογίου τύποις δεδημοσίευκεν, ὑπόμνημα ἀρχαιολογίας ἐπίσημον, κατ' αὐτὸν εἰπεῖν, ἐσομένας. Τούτων δὴ τῶν ἐπιγραφῶν, τὴν μὲν προτέραν, ὡς μὴ Ἑλληνιστὶ, μόνον δὲ Λατινιστὶ ἡμῖν ἐκτεθεῖσαν· καὶ ταῦτα, οὐδὲ πρὸς τὸ ἀκριβὲς, (ὡς ὁ Συγγραφεὺς αὐτὸς ὑπηνίξατο·) ἐκπεφρασμένην· ἄλλως τε δὲ, καὶ διεξοδικὴν λίαν οὖσαν, καὶ μηδὲν φέρουσαν, ὅπερ ἄν καί τις βραχεῖα γοῦν, ἐν Κερκύρᾳ ἐφ' ἡμῶν ἐνδιασώζοιτο μνήμη: τούτων ἕνεκα παριόντες, τὴν δευτέραν ὧδε παρατιθέμεθα μόνην, παρὰ Μοντφαυκονίου ἀποκεκαθαρμένην, ἐκ Κυριακοῦ τοῦ Ἀγκωνιτανοῦ ληφθεῖσαν, καὶ ἐξ Ὠλστενίου, ἐν ταῖς παρασημειώσεσι, καὶ ἐπανορθώσεσι ταῖς εἰς τὸν Στέφανον: ἐν λέξει Σχερία. Ἔχει δ' ἑκατέρωθι οὕτως:

„ Πυνθάνεαι τὶς ἔφυν, ξένε; τίς δ' ἐγενήθην;
„ Α'ρόδειτα (ἴσ: ὦ παραδῖτα) μάθε, ςὰς ὀλίγον πρὸ
τάφων.
„ Γέννα μὲν Γλαῦκος με πατὴρ, τίκτεν δέ με μήτηρ
„ Χρυσογόνη, καὶ μεῦ δύσμορος ἐκ ὄνατο.
„ Τηλόθι γὰρ πάτρης βειθυνίδος ὤλεσα θυμὸν
„ Ναυτιλίῃ κε . . . (ἴσ κεχρίῃ.) νηῖτε μὴ πίσυνος.
„ Κεῖμαι δ' ἐν Σχερίῃ, παρὰ θεῖν ἅλος ἠνεμόεσσαν,
„ Ὕςατα λυγρὸν ἐμοὶ δερκόμενος πέλαγος.

Καὶ ἄλλας δὲ τινας ἐπιγραφὰς ἐπὶ ταῖς δυσὶ ταύταις, τῷ πρὸς Μοντ-φαυκόνιον δώρῳ προσέθηκεν ὁ ῥηθεὶς Α'ποςόλιος ὁ Ζῆνος, τὸν ἀριθμὸν τέσσαρας ἐπὶ εἴκοσι. Βραχυλογωτέρας μὲν αὐτὰς, ἐδὲν μέν τοι πρός γε τὸ προκείμενον ἡμῖν συντελέσας, ἃς κ̀ διὰ τῦτο παραλειπτέον· τὰ γὰρ ἐμφερόμενα ἐν ἐκείναις ὀνόματα, οἷα περ ὁ Νικάνωρ, καὶ ὁ Φιλώτας, καὶ ὁ Φιλωνίδας, παρὰ τὸ μηδὲν εἰς τὸν σκοπὸν φέρειν, κ̀ ἀπροσφυῶς, κ̀ ἀπροσδιονύσως ὁ Μαρμαρᾶς ἀνεγίνωσκεν, ἐπὶ τῶν Νομισμάτων οἷς ἐπικεχάρακτο· οἷον τὸ ἔχατον τῦ Φιλονίδα, ἄνευ τῶν ἐπιτελευτίων ςοιχείων, ὅτως ἐπιγραφὲν, ᾗπερ ἔθος: Φίλων: αὐτὸς Μαρμαρᾶς ἡρμήνευσε Λατινιςὶ: Amicorum. Ἔνθα δὲ ὁλογράφως ἔκειτο: Φιλωνίδας: αὐτὸς διῄρει: φίλον ἴδας, κ̀ μετέφραζεν, Amicorum vidifti. Εἶτα καὶ τὸ Κερκυραίων Νικάνωρ μετελθὼν: Corcyraei victores εἶπεν ἐκλατινίσας, μὴ συνορᾶν ἔχων τὸ κύριον ὄνομα Νικάνωρ. Καίτοιγε καὶ ἐπὶ τὸ προσηγορικὸν μετακυλίσας, τὸ Λατινικὸν ὕφος αἰδεσθῆναι γὰν ὤφειλε τῆς

συντάξεως· καὶ οὐχὶ Corcyraei victores, ἀλλὰ Corcyraeorum victor ἔδει εἰπεῖν· ἢ γοῦν, de Corcyraeis victor.

Ὡσαύτως δὲ τὸν Μάρμαραν ἰδεῖν ἐστὶ ληροῦντα, ἐν τῷ ἀναπτύσσειν τὰ Κ Ρ Κ, τὰ ἐν τοῖς Κερκυραϊκοῖς Νομίσμασι συνεχῶς ἀπαντῶντα, ἅπερ οὐδὲν σημαίνει ἀλλ' ἢ τὰ Κόρκυρα ἢ τὰ Κέρκυρα, καθάπερ εἰώθει λέγεσθαι ἐν τοῖς Ἐκκλησιαστικοῖς ὑπομνήμασιν ἡ Κερκύρα πολλάκις. Ἐξ ὧν τούτων ἁπάντων ἐμφανὲς γίνεται τὸν Μαρμαρᾶν ἐξ ἴσου ἐυδοκιμηκέναι, τό τε ἱστορικὸν εἶδος, καὶ τὸ Ἑρμηνευτικὸν μετερχόμενον.

Περὶ τούτου Βανδούριος ἐν τῇ Νομισματικῇ Βιβλιοθήκῃ τοιάδε ἔχει: Andreas Marmora, nobilis Corcyrensis, patriae suae Historiam Italico sermone scripsit, in octo libros distributam; quorum primi duo Historiam complectuntur, ex quo incoli coepit insula, donec libertatem amisit. Tertius eandem continuat, usque ad Constantinum. His libris addita sunt in quinque Tabellis aeneis Numismata ad sexaginta in Corcyrâ cusa. Qua in re cum de patria sua bene, tum etiam de litteratis non male meruit Marmora, tam etsi in eorum discriptione a vero saepiuscule aberraverit. „(Ἀνδρέας ὁ Μαρμαρᾶς Κερκυραῖος τῶν εὖ γεγο„νότων, συνέγραψεν Ἰταλιστὶ ἱστορίαν τῆς πατρί„δος αὐτοῦ ἐν Βιβλίοις ὀκτώ· ὧν τὰ μὲν πρῶτα δύο, „περιέχει τὰ ἐξ οὗπερ ἡ Νῆσος οἰκεῖσθαι ἤρξατο, „ἄχρις οὗ τὴν ἐλευθερίαν ἀφήρηται. Τὸ δὲ τρίτον „ἐφεξῆς, τὰ ἐς γ' ἐπὶ Κωνσταντῖνον τὸ Κράτος ἀνα„δυσάμενον. Τοῖς ῥηθεῖσι Βιβλίοις προσετέθεινται, „ἐν πέντε πίναξι χαλκοτύποις τὰ ἐπ' αὐτῆς Κερκύ„ρας χαραχθέντα Νομίσματα, τὸν ἀριθμὸν ὡς „ἑξήκοντα. Ἐφ' οἷς καὶ χάριν ἑαυτῷ περιεποιήσα-

„τὸ παρὰ τοῖς ὁμοπατρίοις ὁ Μαρμαρᾶς ἀγαθήν,
„καὶ μὲν δὴ καὶ παρὰ τοῖς ἄλλοις τῶν ἐλλογίμων,
„οὐδέν τι χείρονα: καίπερ ἐν τῇ περιγραφῇ τῇ τού-
„των ἐνίοτε τοῦ ἀληθοῦς παρενήνεκται.

Μᾶλλον μὲν οὖν καὶ λίαν συνεχῶς: οὐ μόνον γὰρ ἐν τῷ τὰ παλαιὰ Νομίσματα ἀναπτύσσειν, ἀλλὰ κἀν ὅλῃ τῇ συγγραφῇ τῆς κατ' αὐτὸν ἱστορίας, λίαν ἀποπεπλάνηται Ἀνδρέας ὁ Μαρμαρᾶς. Οἵαν δὲ ἄρα ἐπὶ τῷδε αὐτοῦ τῷ Φιλοπονήματι εὕρατο χάριν, αἱ ἐκείνων αἰτιάσεις τε καὶ ἐπιμέμψεις δηλοῦσιν, ἐν μηδενὶ λόγῳ τιθεμένων, τὴν τῶν ὑπ' ἐκείνου τῇ ἱστορίᾳ παραδοθέντων ἀλήθειαν.

Ἀλλ' ἐπειδὴ γοῦν πολλαχοῦ, ἐν τῷδε ἡμῶν τῷ Βιβλιαρίῳ τὸν Συγγραφέα αὐτὸν διετελέσαμεν ἀπελέγξαντες, οὐκ εὐσεβὲς ἡγούμεθα, τὸν τελευταῖον ὅρον τῷ πονηματίῳ ἐπιθέσθαι, πρὶν ἢ τῷ ἀναγινώσκοντι προϋποθέσθαι, ὅτι τὰ τοσαῦτα πλάσματα, οἱ τοσοίδε λῆροι, αἱ οὕτως ἀηδεῖς, καὶ πέρας ἀηδίας οὐδὲν ἔχουσαι κομψότητές τε καὶ αἱμυλίαι, αἷς ἡ ἱστορία ἐκείνη καταρρυπαίνεται, οὐδόλως τῷ Ἀνδρέᾳ τῷ Μαρμαρᾷ εἰσὶν ὀφειλόμεναι, ἀλλ' Ἰταλιώτῃ τινὶ Γραμματεῖ, τῷ (ὡς ἔκ τινων παρειληφὼς ἔτυχον) ἐπὶ τῇ συγγραφῇ τῆσδε τῆς ἱστορίας, τῷ Μαρμαρᾷ τὸν ἑαυτοῦ προσχρήσαντα κάλαμον. Ἐκ γὰρ τῆς τοῦ Ἰταλιώτου τούτου ὑπουργίας ξυνέβη, τὰ πρὸς κανόνα ἱστορίας ἐπαληθευούσης ὑπὸ τοῦ Μαρμαρᾶ συλλεγέντα, μυθοπλαστίας μᾶλλον, ἢ ἱστορικῆς ἐκθέσεως μόρφωσιν ἀμφιέσασθαι.

ΤΕΛΟΣ.

# Π α ϱ ο ϱ ά μ α τ α.

| Σελίδ: | σίχ: | ἀντὶ | ἀνάγνωθ: |
|---|---|---|---|
| 2 | 10 | καὶ γῆν | καὶ γῆν, |
| 3 | 1 | λόγῳ | λόγῳ, |
| — | 14 | Ὅμηρος | Ὅμηρος, |
| — | 18 | περιγράψαι· | περιγράψαι: |
| 4 | 5 | Παλλὰς τ', | Παλλάς τ' |
| — | 18 | παλαιοτέρων | Παλαιοτέρων |
| — | 23 | ἕπεσθαι | Ἕπεσθαι |
| 5 | 14 | Ἐρεχθεὺς | Ἐρεχθεύς, |
| — | 15 | κλειζόμενοι, | κλεϊζόμενος, |
| 7 | 4 | πάροδος, | πάροδος |
| 9 | 1 | δε | δὲ |
| — | 4 | ὅτι | ὅτι, |
| — | 17 | Σερβίϐ | Σερβίϐ: |
| — | 24 | θνήσκοντας, | θνήσκοντας· |
| — | 27 | βαλ' | βάλ' |
| 10 | 3 | γυναιξίν: | γυναιξίν |
| — | 10 | λέκτρασι, | λέκτροισι, |
| — | 18 | τεμένη | τεμένη, |
| 11 | 6 | Ἰερᾶς | Ἱεράς |
| — | 7 | ἀγρὸς | ἀγρὸς, |
| — | 16 | οκύκλος | ὁ κύκλος, |
| — | 17 | Ποληδεύκης | Πολυδεύκης |
| 12 | 17 | ἆζον. | ἆζον. |
| 13 | 7 | Ἐλλήνων | Ἑλλήνων |
| — | 9 | ἑλομένων, | Ἑλομένων |
| — | 12 | κᾶν | κἂν |

A

| Σελίδ: | στίχ. | ἀντὶ. | ἀνάγνωθι: |
|---|---|---|---|
| — | 13 | Ποσιδῶνος· | Ποσειδῶνος. |
| — | 21 | καθαρευούσῃ | καθαρευούσῃ , |
| 14 | 2 | ἐξειληφοσι | ἐξειληφόσι |
| — | 8 | διεξῶν | διεξιὼν |
| — | 9 | θύσοντας , | θύσοντας : |
| — | 17 | κόρυμβος | κόρυμβος , |
| — | 19 | αὐτῶν | αὐτὸν |
| 15 | 13 | τοιοῦτον | τοιοῦτον δὲ |
| — | 18 | Ποσιδῶνος | Ποσειδᾶνος |
| 16 | 19 | ἡ τῆς δεισιδεμονίας | ἡ τῆς δε τῆς δεισιδαιμονίας |
| — | 22 | Ἕλλησι | Ἕλλησι· |
| — | 26 | τὰ παλαιότερα , | τὰ δὲ παλαιότερα , |
| 17 | 1 | φαρίοις , | Φαρίοις , |
| — | 4 | χέσεις | χέσεις , |
| — | 6 | προπαρασκ. | Προπαρασκ. |
| — | 12 | τοῦς | τοὺς |
| — | 23 | συμβεβηκοσι | συμβεβηκόσιν |
| 18 | 10 | Μασεσιλίᾳ , | Μασσισιλίᾳ , |
| 19 | 14 | χρυσοῦ | χρυσοῦ , |
| 20 | 6 | μερῶν | μερῶν , |
| 20 | 11 | Ἱεροποιοῦς | Ἱεροποιοὺς , |
| — | 11 | ναοφύλακας | ναωφύλακας , |
| — | 21 | Ἐπείργεται. | ἀπείργεται. |
| 21 | 21 | το ὓς | τοὺς |
| 23 | 14 | ὑδρηναμένη , | ὑδρηναμένη , |
| — | 23 | νεοπληνεῖ | νεοπλυνεῖ |
| 24 | 15 | καλησι | καλῆσι |
| — | 22 | παρῆν | παρὸν , |
| 25 | 16 | Ἀλικαρν : | Ἁλικαρν : |
| 26 | 1 | ἐξιλαθεῦσαι | ἐξιλαςεῦσαι |

| Σελίδ. | ϛίχ. | | ἀνάγνωθ. |
|---|---|---|---|
| — | 1 | τῦ Ἱερέως | τῷ Ἱερεῖ |
| — | 6 | λήμη | λύμη |
| — | 7 | ὀνομαθέντος : | ὀνομαθέντος , |
| — | 21 | διδόναι τε | διδόναι τε , |
| — | 21 | ζητεῖν | ζητεῖν , |
| — | 22 | πρῶτον | πρῶτον : |
| 27 | 9 | Ὀδυσσεὺς Κοινῇ | Ὀδυσσεύς· κοινῇ |
| — | 10 | ἡγῦντο | ἡγῦντο , |
| — | 20 | Ἔρχεω | Ἔρχευ |
| — | 23 | Τῷτοι | Τῷ τοι , |
| — | 26 | αὐτὸς | αὐτὸς, |
| — | 29 | προσεπαγγέλλεται | προσεπαγγέλλεται , |
| 28 | 22 | ουςυχημάτων , | δυςυχημάτων , |
| 29 | 3 | ( ἐν Εἰδυλ | ( ἐν Εἰδυλ. |
| 29 | 10 | ἐρέψας | ἐρέψας , |
| — | 26 | Ὁμήρῳ τε | Ὁμήρῳ τε, |
| 30 | 13 | οἷς τισιν : | οἷς τισιν , |
| — | 15 | ὁ Παυσανίας | ὁ Παυσανίας |
| — | 24 | Τροϊάδες | Τρωϊάδες |
| 31 | 2 | ἄγουσαι | ἄγουσαι. |
| — | 12 | πέπλων | πέπλων |
| — | 13 | ἕξομεν. | ἕξομεν ; |
| — | 18 | ἅπτεσθαι , | ἅπτεσθαι |
| — | 22 | ἄνθρωποι | ἄνθρωποι , |
| 32 | 7 | κἂν | κἂν |
| — | 7 | δῶρα , ἢ θυσίας | δῶρα καὶ θυσίας , |
| — | 8 | καλονήν | καλλονήν |
| 34 | 7 | πρ σείρηνται | προσείρηνται, |
| — | 7 | Ἱερον | Ἱερόν |
| 35 | 5 | ὗσας | ὗσας , |
| — | 11 | ρωμαῖοι | ῥωμαῖοι |

# Παροράματα.

| Σελίδ. | ςίχ. | ἀντὶ | ἀνάγνωθ: |
|---|---|---|---|
| 36 | 7 | αἱ πάλαι | αἳ πάλαι |
| — | 16 | δὶ ἀλφίτȣ | δὶ ἀλφίτȣ, |
| 37 | 2 | Σφαγιασμῶν· | Σφαγίων· |
| 38 | 5 | ἑςιάσεσιν· | ἑςιάσεσιν· |
| — | 16 | γεωργος | γεωργός |
| 39 | 1 | ἡληκίᾳ | ἡλικίᾳ |
| — | 4 | ῥέζει | ῥέζει |
| — | 7 | Θαμὰ παμμέλωνες. | θαμὰ παμμέλανας. |
| — | 9 | πάλαγȣς | πελάγȣς |
| — | 19 | ἥ | ᾗ |
| — | 26 | κερα | κέρα |
| — | 27 | κέρησιν | κέρασιν |
| 40 | 16 | συνεχως | συνεχῶς |
| 41 | 11 | Aſtacio | altaria |
| — | — | Alſas | Altas |
| — | 12 | ( ὑψυλὰς ἄλλως : ) | (ὑψηλὰς ἀλωάς : ) |
| — | 13 | ἰνδολμάτων | ἰνδαλμάτων |
| — | 15 | πελάγȣς | πελάγȣς, |
| — | 15 | παρὰ τοῖς | παρὰ ταῖς |
| — | 17 | βωμον | βωμόν |
| — | 18 | ὑπερ | ὑπέρ |
| — | 21 | κἀν ἄλσεσι, κἀν | κἀν ἄλσεσι κἀν |
| — | 24 | Σπερχειȣ̃, | Σπερχειȣ̃ |
| — | 25 | ἔρεξαν | ἔρεξαν, |
| 42 | 6 | Πολιδέυκης | Πολυδέυκης |
| — | 15 | ὕπεθρον | ὕπαιθρον |
| — | 18 | βωμὸν | Βωμὸν , |
| — | 24 | δημοσία | δημοσίᾳ |
| — | 24 | θύειν, | θύειν |
| — | 26 | ἀεὶ | ἀεί |

| Σελίδ: | σίχ. | ἀντὶ | ἀνάγνωθ: |
|---|---|---|---|
| 43 | 15 | Ε᾽χερονίψαντο, | Ε᾽χερνίψαντο, |
| — | 20 | κἀν | κἀν |
| 44 | 6 | μαινο) | μαινομ:) |
| — | 11 | ἀνελοχυτεῖν. | ἀνελοχυτεῖν.) |
| — | 15 | χερνιβὰ τ᾽ | χέρνιβά τ᾽, |
| — | 16 | Α᾽θήνη | Α᾽θήνη |
| — | 23 | ἐδεήσεις, | αἱ δεήσεις, |
| 45 | 14 | ἠδειρὴ | ἡ δειρή |
| — | 15 | πρῶτα | πρῶτα, |
| — | 17 | χθονοὶ | χθονὸς |
| — | 23 | Μεσηνιακ: | Μεσσηνιακ: |
| 46 | 17 | Ο᾽μηρος | Ο᾽μηρος |
| — | 19 | Μνρεὺς | Μνρεύς τ᾽ |
| — | 22 | Αἴψα | Αἶψα |
| — | 22 | διέχευον. | διέχευαν· |
| 47 | 12 | πρεσήγετο: | προσήγετο: |
| — | 14 | Εἰδιλ: | Εἰδυλ: |
| 48 | 5 | περιφρανδέως | περιφρανδέως, |
| — | 9 | ἑπτά | ἑπτὰ |
| — | 13 | Αἰθιοπῆας | Αἰθιοπῆας, |
| 48 | 18 | Α᾽θήναιος | Α᾽θήναιος, |
| — | 18 | ᾽Αριςοτέλην | Α᾽ριςοτέλην, |
| — | 20 | θόινη, | θοίνη· |
| — | 20 | ἐκθόινης | ἐκ θοίνης, |
| — | 21 | ἐγένετο, | ἐγένετο· |
| — | 25 | ὑπαιδεμένοις | ὑπαιδεμένοις, |
| — | 27 | τῶν θνητῶν | τὸν θνητῶν |
| 49 | 3 | Τὰ δ᾽ ἄλλα | Τὰ δ᾽ ἄλλα, |
| — | 4 | ἡμέραις | ἡμέραις, |
| — | 14 | ὀλοῆς, | ἀλωῆς, |

| Σελίδ. | ςίχ. | ἀντὶ | ἀνάγνωθι. |
|---|---|---|---|
| — | 18 | ἐξόχως | ἐξόχως, |
| — | 22 | Ἱερῶν | Ἱερῶν, |
| — | 23 | ἀνήκοντα | ἀνήκοντα, |
| — | 24 | χερσί | χερσί |
| 50 | 13 | νεὼν | νεὼν, |
| — | 14 | ὄν τα | ὄντα, |
| 51 | 6 | Σοίδα | Σοίδα |
| — | 7 | ἐκκαίδεκα | ἑκκαίδεκα |
| 52 | 26 | πολυορκουμένης. | πολιορκουμένης· |
| 53 | 1 | καθωσιώσαντος· | καθοσιώσαντος· |
| — | 7 | διαδιεξάμενον, | διαδεξάμενον, |
| — | 19 | τελιυτόντων | τελευτώντων |
| — | 22 | αὖ δὴ | αὖ δή, |
| 55 | 2 | Ἐνιαυτὸν | ἐνιαυτόν, |
| — | 5 | Δαίμονας. | Δαίμονας: |
| — | 16 | τελετῆς | τελετῆς, |
| — | 21 | ἀναρύξας | ἀνορύξας |
| 56 | 15 | ἀπεκτείνατο | ἀπεκτείνετο |
| 57 | 5 | Βωμοῦς | Βωμούς |
| — | 13 | ἐὰ | ἐὰν |
| — | 18 | ὡς ὁ | ὡς οἱ |
| — | 20 | Ἀπόλλων.) | Ἀπόλλων.) |
| — | 21 | ἐναγίσματα | ἐναγίσματα, |
| — | 23 | φιλοςράτῳ | Φιλοςράτῳ |
| 58 | 19 | νιᾶτο | ἠνιᾶτο |
| 59 | 20 | Λοετροχύον | Λοετροχόον |
| 61 | 2 | μέλισσάν τε | μέλισσόν τε |
| — | 7 | ζεῖν | ζῆν |
| 62 | 15 | τόν δ' | Τό δ' |
| 64 | 19 | ἀπὸ τὸν | ἀπὸ τῶν |

| Σελίδ. | Στίχ. | ἀντὶ | ἀνάγνωθι |
|---|---|---|---|
| — | 22 | ἄλλοι | ἄλλοι: |
| 66 | 2 | Ἀχιλλεύς | Ἀχιλλεύς, |
| 67 | 12 | ἀνεβράχη. | ἀνεβρέχθη. |
| — | 19 | στονέεσσα | στονόεσσα, |
| — | 21 | κατεκαίετο | κατεκαίετο, |
| 68 | 1 | κήδει | κήδει, |
| 68 | 10 | λάρνακι ἐταμίευσε, | λάρνακι Ἀχιλλεύς ἐταμίευσε, |
| — | 21 | ὀνομάζει | ὀνομάζει, |
| 69 | 6 | προεσχεδίαστο | προεσχεδίαστο, |
| — | 24 | τρέχοις ) | τρέχοις, ) |
| 71 | 6 | Θεοκρίτος | Θεόκριτος |
| 73 | 4 | ψυχὰς | ψυχάς, |
| — | 4 | Ἅδε | Ἅδε, |
| 74 | 21 | Πλουτάρχῳ | Πλουτάρχῳ, |
| — | 25 | Ἱπποεδρομίας | Ἱπποδρομίας |
| 75 | 20 | Ὁμήρω | Ὁμήρῳ |
| 76 | 7 | πτήσεως | πτήσεως, |
| — | 11 | volucram | volucrum |
| — | 16 | Τηλεμάχῳ | Τηλεμάχῳ· |
| — | 25 | ἀπὸ | ὑπὸ |
| 77 | 19 | Ἐχομένως | Ἐχομένως |
| — | 29 | ὁμήρω | Ὁμήρῳ |
| 79 | 1 | ἐρχομένῳ το, | Ἐρχομένῳ τω |
| 80 | 7 | ἀπεφήνατο | ἀπεφήνατο |
| — | 11 | ἡ τοῖς | ἡ τῆς |
| — | 14 | ψυχάς | ψυχάς, |
| — | 18 | Αἴσωνα δὲ | Αἴσωνα δὲ, |
| — | 25 | Ὀδυσσέως | Ὀδυσσεύς |
| 82 | 13 | στοιχείος | στοιχείοις |
| — | 22 | Πρωτέως | Πρωτέως, |

| Σελίδ. | ςίχ. | ἀντὶ | ἀνάγνωθ: |
|---|---|---|---|
| — | 26 | δήμοις | δήμοις, |
| 83 | 7 | ἐπωδῶν | ἐπῳδῶν |
| 84 | 20 | Ἀκεςέρων | Ἀκεςόρων |
| 86 | 24 | Ἱςωριῶν | Ἱςοριῶν |
| 90 | 19 | ἀπιφαίνοιτο, | ἀποφαίνοιτο, |
| 92 | 6 | προσόδων | προσόδων, |
| — | 15 | ὄγκȣ | ὄγμȣ |
| 93 | 4 | Ἑδωτίνησι, | Ἑ δωτίνησι, |
| 94 | 6 | ἐπιςηρίζοντο: | ἐπεςηρίζοντο: |
| — | 22 | δεδῶναι | δεδωκέναι |
| — | 23 | θραύσανον κὲ | θραύσανον |
| — | 25 | ἐλαίας | ἐλαίας, |
| 95 | 11 | Perea | Per ea |
| — | 13 | habebant | habebant, |
| — | 13 | Graece | Graeci |
| 96 | 16 | ἐξȣσία | ἐξȣσία, |
| — | 17 | ἐξονόματος | ἐξ ὀνόματος |
| — | 19 | δικάζωντες, | δικάζοντες, |
| 101 | 22 | ῳ περ | ᾧπερ |
| 103 | 5 | ςρατȣ | ςρατȣ͂ |
| — | 18 | ἶξε | ἶζε |
| 104 | 9 | δημαγορήσας, | δημηγορήσας |
| 105 | 20 | ὅτω. | οὕτω. |
| — | 22 | αἰξιῶν | αἰζηῶν |
| 106 | 2 | θέμης | θέμις |
| — | 8 | εἶπεν | εἶπεν· |
| — | 21 | ἐμφιλοχορεῖν | ἐμφιλοχωρεῖν |
| 107 | 10 | βασιλέυσιν | βασιλεῦσιν· |
| — | 10 | ἐπὶ | ἐπεὶ |
| 108 | 21 | Πηλῆ, | Πηλῆ', |

| Σελίδ. | Στίχ. | ἀντὶ. | ἀνάγνωθ: |
|---|---|---|---|
| 110 | 4 | ἐξαργάσασθαι | ἐξεργάσασθαι |
| 112 | 9 | ἐμφαιέσματον, | ἐμφανέσατον, |
| — | 25 | Κλεωτοσύνῃ θ' | Κλεπτοσύνῃ θ', |
| — | 25 | ὅρκῳ τε | ὅρκῳ τε· |
| 113 | 22 | Πελίυς | Πυλίυς |
| — | 23 | ἦν | ἣν |
| 114 | 1 | προλυμηνόμενος, | προλυμηνάμενος, |
| 115 | 19 | amplitasse | emptifasse |
| — | 20 | ἐντυχεστέροις, | εὐτυχεστέροις, |
| 116 | 22 | ἑκατέμβοι | ἑκατόμβοὶ |
| 118 | 8 | διαστέλυσιν, | διαστέλλυσιν, |
| — | 24 | Δίο | Διό |
| 121 | 12 | νίκει | νίκῃ |
| — | 13 | Πινδάρω | Πίνδαρῳ |
| 125 | 19 | ἄλοχον | ἄλοχον |
| — | 24 | Ἥβης | ἥβης |
| 128 | 22 | φράζει | φράζει, |
| 130 | 12 | ἀρτίῳ, | ἀρτίῳ: |
| — | 12 | Σχολιαστὴν: | Σχολιαστὴν, |
| — | 21 | δαΐδω | δαΐδων |
| 131 | 1 | ὥσαύτως | ὡσαύτως |
| — | 2 | Πῦρ | Πῦρ |
| 133 | 5 | ειμαθ' | εἵμαθ' |
| — | 11 | ἀπελαύνεσαι | ἀπελαύνεσαι |
| — | 22 | καὶ τῷ ὕμνῳ | κἀν τῷ ὕμνω |
| 134 | 3 | ἐρύθαι. | ἐρύσθαι. |
| — | 15 | λέκτρον | λέκτρον, |
| 136 | 3 | καινωνίαν | κοινωνίαν |
| — | 10 | Ἥβης· | ἥβης· |

| Σελίδ. | ςίχ. | ἀντὶ | ἀνάγνωθ: |
|---|---|---|---|
| — | 16 | πράγμα | πρᾶγμα |
| 137 | 1 | palva | falva |
| — | 2 | frocis | profis |
| — | 7 | Μαυτινεῦσι | Μαντινεῦσι |
| — | 22 | φοίνιξ, | Φοίνιξ, |
| — | 23 | ὰς ἐπαρώμενος | ἅς ἐκεῖνος ἐπαρώμενος |
| — | 24 | καθ' ἑαυτȣ̃ | κατ' αὐτȣ̃ |
| 138 | 7 | ἔσσι | Ἔσσο |
| — | 25 | προίκας | προῖκας |
| 140 | 9 | ȣ̓κ ἠθέλησε | ȣ̓κ ἠθέλησε συγγενέσθαι |
| — | 16 | (ἐχ Βίβλ: | (ἐν Βίβλ: |
| 141 | 4 | ἀρχαιοτάτης | ἀρχαιοτάτοις |
| — | 22 | παυσανίας | Παυσανίας |
| 142 | 2 | ἀγωγής | ἀγωγῆς |
| — | 11 | ὁ σ' | ὅς |
| — | 17 | ȣ̓σι | ȣ̓σῃ |
| 143 | 1 | αἱ μητέρες | αἱ μητέρες |
| — | 13 | συτίζει, | σιτίζει, |
| — | 25 | μνήμης | μνήμης |
| 144 | 18 | φονῇ | φωνῇ |
| 145 | 19 | Φιλαμμονίδης | Φιλαμμωνίδης |
| 148 | 1 | πράγμα | πρᾶγμα |
| — | 26 | metuerunt | meruerunt |
| 149 | 12 | τις | τὶς |
| — | 15 | λῄσατο | λῄσσατο |
| 150 | 1 | δεδȣλομένην | δεδȣλωμένην |
| — | 3 | Achilieae | Achilleae |
| — | 10 | Ἀττικὰς | Ἀττικάς, |
| — | 23 | ἐξανδραποδιζόμεναι | ἐξανδραποδιζόμεναι |

| Σελίδ: σίχ. | ἀντὶ | ἀνάγνωθι |
|---|---|---|
| — 25 | (παρα | (παρὰ |
| 153 8 | ἐπειδὰν | ἐπειδὰν |
| — 12 | ἑτάρῳ | ἑτάρῳ |
| — 15 | Βȣκολιαδων | Βȣκολιαδῶν |
| 155 12 | ἔντο | ἕντο |
| 157 16 | διαθεσπιθεις | διαθεσπιθείς |
| — 21 | σπȣδῆς | σπȣδῆς· |
| — 25 | Θοίνην | θοίνην |
| 159 3 | πεφυτυμένα | πεφυτευμένα |
| — 7 | παρῆν | παρῆν |
| — 10 | ἐν αἷς τραπέζαις | ἐν τραπέζαις αἷς |
| — 16 | μεγάλη | πολλή |
| — 19 | (συμποσ. | (Συμποσ. |
| 160 1 | Ὁμήρω | Ὁμήρῳ |
| 161 7 | γὰρ | δὲ |
| — 16 | καὶ | καὶ |
| — 26 | ἐγκομιάζων· | ὀνομάζων· |
| 163 9 | παρεσκεύαθαι | παρεσκεύασαι |
| — 27 | ην, | ἦν, |
| 171 6 | ῷετο. | ᾤετο. |
| 172 1 | περιττοτέρος | περιττοτέρως |
| — 2 | ἀπετέθη, | παρετέθη, |
| — 13 | ἐν τοῖς | ἐν ταῖς |
| — 26 | ἔδρην | ἕδρην· |
| 173 3 | συμποσιακ: | Συμποσιαν: |
| — 14 | (αἰνειάδ: | (Αἰνειάδ: |
| — 21 | ſextic: | ſextii |
| — 23 | Επειτα | Ἔπειτα |
| — 24 | συνῆπται: | ὑποσυνῆπται: |

B 2

| Σελίδ. | ςίχ. | ἀντὶ. | ἀνάγνωθι |
|---|---|---|---|
| 176 | 7 | Ὁσαύτως | ὡσαύτως |
| 177 | 23 | το | τὰ |
| 178 | 3 | | |
| — | 6 | ςρατπώτη | ςρατιώτη |
| — | 14 | οἱ τοιάδε | ἢ τοιάδε |
| — | 19 | πάσιν | πᾶσιν |
| 179 | 12 | ἑςιασιν | ἑςίασιν |
| 180 | 3 | προσεγγυζέσης | προσεγγιζέσης |
| 181 | 11 | ἀπήεγοντο | ἀπήγαντο |
| — | 17 | truculento.) | Truculento ) |
| 182 | 2 | ἔντο | ἕντο |
| 184 | 3 | οἱ οχίτων· | ἐνχίτων· |
| 185 | 4 | Λῦνεν. | Δῦνεν. |
| — | 24 | ἔσαθ᾽ | ἕσαθ᾽ |
| 186 | 8 | περεβαλομένη | περιβαλομένη |
| 188 | 13 | ὗοι | ὑοι· |
| 189 | 13 | ἑρμηνέυει. | ἑρμηνεύει, |
| — | 22 | δἰ ου | δἰ οὗ |
| 190 | 16 | ἔνεικαν | ἔνεικαν. |
| 192 | 8 | δὲ συνάμματος | δὲ διὰ συνάμματος |
| — | 9 | ἀντιπρασκαλȣμενȣς, | ἀντιπροσκαλȣμένȣς, |
| 193 | 14 | παρασκευαζόμενος | παρασκευαζόμενος : |
| 194 | 3 | κατελάμβανον | κατελάμβανον. |
| — | 7 | δο ȣ | δοκȣ̃ |
| — | 7 | ἄχρις | ἄχρις ȣ̃ |
| 195 | 1 | συγχνάκις | συχνάκις |
| — | 2 | λεγων᾽ | λέγων : |
| — | 12 | καθυπερθεν | καθύπερθεν |
| — | 21 | δασείας τριχώδεις | δασείας, τριχώδεις, |

| Σελίδ. | ςίχ. | ἀντὶ. | ἀνάγνωθ: |
|---|---|---|---|
| 196 | 3 | οὕτω | οὕτω, |
| — | 10 | ςήθει | ςήθεϊ |
| 197 | 14 | γίνεται | γίνεται, |
| 198 | 7 | βιβλήαται | βεβλήαται |
| — | 8 | ( ἐν τᾶ | ( ἐν τῷ |
| — | 14 | σωκρ. | Σωκρ. |
| 199 | 6 | Δείπνῳ | Δείπνῳ |
| — | 19 | μηδαμῶς | μηδαμῶς, |
| — | 20 | χειρωθέντας | χειρωθέντας, |
| 200 | 5 | εξικμάσιαν | ἐξικμασίαν |
| — | 10 | προεληλυθέναι· | προεληλυθέναι, |
| — | 12 | παλαιοῖ | παλαιοί |
| — | 16 | ποιεῖν | ποιεῖν, |
| — | 22 | σηνήθως | συνήθως |
| — | 26 | ὄτωσὶ | οὑτωσὶ |
| 201 | 18 | λȣτρά | λȣτρά; |
| — | 23 | perfugis | pertugio |
| 202 | 8 | οὕτως | ὅτως |
| — | 18 | ἐυσσμων | ἐυόσμων |
| — | 27 | τȣ́τȣ | τȣ́τȣ, |
| 204 | 8 | ( ἐντῶ | ( ἐν τῷ |
| 206 | 27 | ἁγνως | ἁγνὼς |
| 208 | 1 | Α᾽λκινόοιο | Α᾽λκινόοιο. |
| 211 | 25 | Γηναικωνίτις | Γυναικωνίτις |
| 212 | 10 | ταμεῖα | ταμεῖα, |
| — | 14 | Ο᾽δυσσέως | Ο᾽δυσσέως |
| — | 14 | ( Ο᾽δ | ( Ο᾽δ: |
| — | 19 | ἐπέρησε | ἐπέρυσε |
| — | 23 | τὰς τȣ . | τὰς τȣ͂ |

| Σελίδ: | στίχ. | ἀντί. | ἀναγνωθ: |
|---|---|---|---|
| — | 25 | ἀπέλλυσε | ἀπέλυσε |
| 213 | 4 | κὰν τικρύ | κατάντικρύ |
| — | 11 | ἐκδομήσωσιν | ἐκδομήσωσιν, |
| 215 | 4 | ἄναξ | ἄναξ, |
| 216 | 22 | ὠνόμαζον | ὠνόμαζον. |
| 218 | 22 | ἔφατ' | ἔφατ', |
| 222 | 4 | ἐναβρυνόμενος | ἐναβρυνόμενος. |
| — | 11 | Ὀδυσσέως | Ὀδυσσέως, |
| — | 12 | τῷ Πολυφύμῳ, | τῷ Πολυφήμῳ, |
| 224 | 16 | φιλας | φίλας |
| 224 | 23 | Λατινοις, | Λατίνοις, |
| 226 | 24 | Homines | Hominis |
| 230 | 1 | Ἀχιλλεῖ τε | Ἀχιλλεῖ τε, |
| 232 | 1 | Ἀχιλλευς: | Ἀχιλλεύς: |
| 234 | 1 | Αλλως | Ἄλλως |
| 237 | 1 | ἐπάργυρος | ἐπάργυρος, |
| — | 8 | διεκμετρίσεως | δι' ἐκμετρήσεως |
| — | 15 | ἐγκρινομεύοις | ἐγκρινομένοις· |
| 238 | 17 | χάριν κατεσκευάζοντο, | χάριν καὶ σταθμοὶ κατεσκευάζοντο, |
| 240 | 22 | ἔμφανές | ἐμφανές |
| — | 22 | Ἱέρας | Ἱερᾶς |
| 243 | 1 | Βένθεσι | Βένθεσιν |
| 244 | 9 | Κεβοιόνην, | Κεβριόνην, |
| 250 | 20 | το τῆς ᾅδης, | τὸ τῆς ᾅδης, |
| 255 | 1 | οἱ Δηλιάδες | αἱ Δηλιάδες |
| 262 | 1 | Ὀλιμπιάσι | Ὀλυμπιάσι |
| — | 6 | Ῥαψῳδίας | Ῥαψῳδίας, |
| 264 | 12 | πότεροι | πότερος |
| — | 18 | Ἐπωȣ̃ | Ἐπειȣ̃ |

| Σελίδ. | Στίχ. | ἀντὶ. | ἀνάγνωθ: |
|---|---|---|---|
| — | 26 | Terre | Ferre |
| 266 | 1 | ὀλα | ὅλα |
| 268 | 13 | μετά τὸν | μετὰ τῶν |
| 277 | 8 | αλλων | ἄλλων |
| — | 8 | την | τὴν |
| 278 | 12 | ἐλατος | ἔλατος |
| — | 15 | χαλκον. | χαλκόν. |
| 279 | 14 | ἀπηώρησο | ἀπηώρητο |
| 288 | 23 | πέριΦήτης | ΠεριΦήτης |
| 289 | 10 | Μεμνονέιȣ | Μεμνωνέιȣ |
| — | 13 | μέρος, τὸ ἄκρον τὰ | μέρȣς, ἢ τοῦ ἄκρȣ τȣ̃ |
| — | 17 | Εὐτέρπη | Ἐυτέρπη |
| — | 24 | κνήμας | κνημίδας |
| 290 | 3 | ἔργοις | Ἔργοις |
| — | 7 | Δȣκρήτιος | Λȣκρήτιος |
| 293 | 2 | ἄργον | Ἄργον |
| — | 9 | Ἡλιακοῖς | Ἡλιακοῖς |
| 297 | 12 | παρήρον | παρόρον |
| 301 | 7 | μιλτοπάρῃσι. | μιλτηλιφέες |
| 308 | 25 | ἐθλȣς, | ἐθλȣ̀ς, |
| 310 | 3 | συνεχεσθαι | συνέχεσθαι |
| 311 | 19 | ἀλαηλτὸν | ἀλαλητὸν |
| 315 | 5 | Νίξ | Νίζ |
| — | 13 | γȣ̈ν | γȣ̃ν |
| 316 | 1 | Φλεγμονᾶς | Φλεγμοναῖς |
| 318 | 12 | αὐτȣς | αὐτȣ̀ς |
| 319 | 22 | τη μὲν | τῇ μὲν |
| 321 | 1 | χ. | ς. |
| 326 | 3 | παρεδωκεν | παρέδωκεν |

| Σελίδ. | ςίχ. | ἀντὶ. | ἀνάγνωθ: |
|---|---|---|---|
| 329 | 16 | μετοχετέυθησαν. | μετωχετέυθησαν. |
| 333 | 12 | Ἑρμόλαος | Ἑρμόλαος, |
| 334 | 13 | ὑπέθεσο, | ὑπέθετο, |
| 335 | 3 | ὠνομαθῆναι | ὀνομαθῆναι |
| — | 4 | Ἄλ λοι | ἄλλοι |
| — | 21 | πόντω | πόντῳ |
| 336 | 13 | ὀκ χήματι | ὀκ ἐν χήματι |
| — | 15 | πος | πως |
| 337 | 2 | Σχολιαςής | ὁ Σχολιαςὴς |
| — | 15 | ἐκ τοῖς | ἐκ τῆς |
| — | 19 | θηγατερων | θυγατέρων |
| — | 22 | πολ· | Πόλ: |
| 338 | 7 | Εἰρηνικῶς | Εἰρηνικῶς, |
| — | 8 | καθάπερ | καθάπερ, |
| — | 23 | γραφη | γραφῇ |
| 339 | 14 | Γέωργ: | Γεωργ: |
| — | 20 | ὑψικόρυμβος | ὑψικόρυμβος, |
| 340 | 1 | ἄλλοι | ἄλλοι |
| 349 | 1 | αλοχον | ἄλοχον |
| — | 11 | ἐν τῆς περὶ τοῖς | ἐν τοῖς περὶ τῆς |
| 350 | 14 | ἐξεφαάθη | ἐξεφαάνθη |
| 352 | 18 | θάλαμος | θάλαμος, |
| 352 | 23 | τελετῇ | τελετῇ, |
| 354 | 14 | ναυαγήσας | ναυαγήσας, |
| 356 | 1 | πλάνης | πλάνης, |
| — | 16 | πενταкηνὴν | Ποντακηνήν |
| — | 24 | ὑποβολιμαία | ὑποβολιμαία, |

| Σελίδ: | Στίχ. | ἀντὶ. | ἀνάγνωϑ : |
|---|---|---|---|
| 357 | 2 | περὶ δὲ τάτȣ | περὶ δὲ τὰ τȣ̃ |
| 364 | 6 | δόμων | δομάτων |
| 366 | 6 | οὐδ' ἥμοὶ | Οὐδ' οἱ μοί |
| — | 11 | Οἶ ἔποτε | Ὁὶ ἔποτε |
| 369 | 18 | ἥμων | ἥ μᾶν |
| 371 | 17 | Οἶ | Οἷ |
| 372 | 23 | διὰ τῆς | διὰ τῆς |
| 378 | 24 | ἀχλήν | ἀχλύν |
| 380 | 8 | πεφιλοπονημένοις | πεφιλοπωνημένοις |
| — | 12 | παρατηρήσεσι, | παρατηρήσεως. |
| — | 25 | ἄραρος | ἀραρὸς |
| 383 | 5 | ἀπωτέρω | ἀσσοτέρω |
| 387 | 2 | ἰρχηθμοῖο ; | ὀρχηθμοῖο· |
| — | 10 | πόλυβος | Πόλυβος |
| — | 16 | ἀμειβομενῷ ; | ἀμειβομένω, |
| 393 | 27 | πεποιμένων, | πεποιημένων, |
| 394 | 18 | ἀσελγενειν, | ἀσελγαίνειν, |
| 395 | 20 | οταν | ὅταν |
| 398 | 14 | ὀπορῶν | ὀπωρῶν |
| 401 | 2 | καταμηύσωσι | καταμηνύσωσι |
| — | 19 | παρεχηκόσι | παρεχήκασι |
| — | 23 | Ὅμηρας | Ὅμηρος |
| 402 | 1 | Ι'ȣβενάλιος ; | Ι'ȣβενάλιος γȣ̃ν, |
| — | 12 | Cyanes | cyanea |
| — | 14 | Porcis | porcis· |
| 403 | 3 | οἰνόλειπτος | οἰνόληπτος |

| Σελίδ: | Στίχ. | ἀντὶ. | ἀνάγνωθ: |
|---|---|---|---|
| — | 18 | ἐμεν | ἔμεν |
| 404 | 12 | Λȣκιανὸς | Λȣκιανὸς δὲ |
| 409 | 17 | παταμὸν | ποταμὸν |
| 419 | 1 | Εἶναι | Ἵναι, |
| 423 | 1 | ὄροι | ὅροι |
| — | 2 | πεποίηνται | πεπόιηνται, |
| — | 12 | ἀποκειμένας, | ἀποκειμένας προσέπλει, |
| 424 | 19 | πληγεῖσειν | πληγεῖσαν |
| 427 | 25 | ἀπόστασις | ἀπόστασις |
| — | 26 | προκοπίȣ, | Προκοπίȣ. |
| 428 | 6 | χερσικράτȣς | Χερσικράτȣς |
| — | 7 | περὶ δὲ δὴ τοῖς | περὶ δὲ δὴ τῆς |
| — | 17 | φωτίῳ | Φωτίῳ |
| 430 | 17 | Τρεΐλον, | Τρωΐλον, |
| 431 | 3 | ἔτέ τῷ | ἕ τέ τῳ |
| — | 12 | Διόδορος, | Διόδωρος, |
| — | 17 | Τροϊκὰ | Τρωϊκὰ |
| — | 20 | διατείνονται | διατείνονται· |
| 432 | 7 | λαβȣ̃σαι | λαβȣ̃σι |
| — | 10 | προσρῆσθαι | προχρῆσθαι |
| — | 17 | Α᾽ρδȣΐνȣ | Α᾽ρδȣΐνȣ, |
| — | 19 | ἐνορᾶται | Ἐνορᾶται, |
| 434 | 25 | ἐπὶ μαρτυρȣ̃ντος, | ἐπιμαρτυρȣ̃ντος, |
| 435 | 7 | σεκψώμεθα | σκεψώμεθα |
| 436 | 9 | ἀποικηστὰς. | ἀποικιστὰς. |
| 437 | 23 | ἀπαραλλάκτως | ἀπαραλλάκτως. |
| 439 | 17 | τὸν τ᾽ ροπον | τὸν τρόπον |
| — | 18 | τ, ῇ | τῇ |
| — | 19 | Ναυτ, ικῶ | Ναυτικῷ |
| 440 | 22 | ἐκκομίσαι, | ἐκκομίσῃ, |

| Σελίδ: | Στιχ. | ἀντὶ | ἀνάγνωθ: |
| --- | --- | --- | --- |
| — | 23 | ὁδὲ Θεὸς ὁ ἐν | Θεὸς ὁ ἐν |
| 441 | 2 | νομίζȣσι· | νομίζȣσιν. |
| — | 20 | δεκάτη | δεκάτη, |
| 442 | 1 | Κριτȣ | Κριτίȣ |
| — | 13 | ἀνενυχθέντα | ἀνενεχθέντα |
| 443 | 21 | τὶ χαλκεῖον | τὸ χαλκεῖον |
| — | 7 | πλεῖον ἢ | πλεῖον ἢ |
| — | 9 | περιηγήσει: | Περιηγήσει: |
| 444 | 14 | παροιμιογράφων | Παροιμιογράφων |
| — | 28 | παροιμιογράφων | Παροιμιογράφων |
| 445 | 7 | Ερ τριεῖς | Ἐρετριεῖς |
| 446 | 6 | Βειθυνίδος | Βηθυνίδος |

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ